THVCYDIDIS

DE

BELLO PELOPONNESIACO

LIBRI OCTO

AD

OPTIMORVM CODICVM FIDEM, ADHIBITIS DOCTORVM VIRORVM OBSERVATIONIBVS, RECENSVIT, SVMMARIIS ET NOTIS ILLVSTRAVIT, INDICESQVE RERVM ET VERBORVM

ADIECIT

CHRISTOPH. FRID. FERD. HAACKIVS

GYMNASII STENDALIENSIS RECTOR

VOL. I.

LIPSIAE

SVMPTIBVS LIBRARIAE HAHNIANAE

CIↃIↃCCCXX.

PRAEFATIO.

Thucydides, si quis alius, dignus est, qui non solum ab iis, qui grammaticae criticaeque arti omne suum studium consecrarunt, sed etiam ab eruditis quibusvis hominibus, maxime vero a politicis, quam studiosissime legatur. Quam enim Polybio prae ceteris tribuunt *pragmaticam* rerum descriptionem, eadem non minus insignis est Thucydides, qui ubique res gestas luculenter exposuit, earum causas diligenter indagavit, effectus accurate edocuit, iisque, qui ex historia non minus utilitatem quam voluptatem quaerunt, gravissimum utilissimumque reliquit documentum.

Sed quo minus eam utilitatem ac suavitatem ex praestantissimi Scriptoris opere perciperent homines liberalibus studiis exculti, impedimento fuit editionum huc usque vulgatarum ratio ita comparata, ut magis deterreant ab Auctoris subinde obscurioris lectione, quam ad eam invitent alliciantque. Cum enim Thucydidis libri ne a provectioribus quidem in Graecae linguae et antiquitatis cognitione sine difficultate

intelligantur, ceteris autem, nisi commentariis illustrentur, impeditissimam praebeant lectionem: editionibus iis, quae absque notis vel critico apparatu prodierunt, priorumque editionum vitia propagarunt, non poterat Thucydidis studium magnopere adiuvari. Nec vero maiores illae, Duckeriana, Bipontina, Lipsiensis, quae per Germaniam omnium maxime erant pervulgatae, praeter grammaticos et historicos, quibus necessaria Historici nostri lectio est, ullum alium lectorem diu tenere valeant. Nam et in notis, non sine taedio devorandis, saepissime frustra quaeras obscurorum locorum accuratam explicationem; et ipsius Auctoris orationem, uberrimae variarum lectionum farragini superstructam, inveteratis sed apertis et ex ipsis codicibus cognoscendis vitiis inquinatam exhibent. Ea enim Thucydidis scriptis fortuna obtigit, ut editores partim superstitiosa vulgatae lectionis reverentia praepediti, partim suis ipsi verissimis rationibus minus, quam par erat, confisi, textum Stephanianum, tamquam rem sacram a maioribus traditam, usque servarent, et vel optimas plurimorumque codicum consensu confirmatas lectiones negligerent. Cuius superstitionis et importunae religionis ne Gailius quidem, novissimus Thucydidis editor, expers est; qui, quamquam criticum apparatum novis iisque praestantissimis praesidiis magnopere auxit, et codicibus conferendis operam navavit maximi aestimandam, tamen suis ipse non usus est copiis ad Thucydidis historiam castigatius et ad fidem librorum scriptorum propius edendam. Immo, si idoneis arbitris fides ha-

benda est, Gailius non solum aperta vitia intacta reliquit, sed etiam in particulis, temporibus, modis ea commentus est, quae in Germania vix quisquam hodie dicere audeat. *) Quare non nimis dolendum mihi videtur, quod ipsa quidem Gailiana editione, non parvo parabili, uti mihi non contigerit; codicum tamen Parisiensium lectionis varietatem recentiores Critici, *Poppo*, *Benedictus* et maxime *Bredovius* **) consignatam suppeditabant.

Itaque cum dudum nobis defuisset Thucydidis editio in lectorum aliqua doctrina eruditorum, et imprimis iuvenum his litteris deditorum, usum comparata: iam ante hos sex annos, cum hunc Scriptorem diligentius tractarem, eius illustrandi et edendi consilium ceperam. A quo consilio exsequendo mox Popponis, praestantissimi viri, et communibus his in Thucydidem curis necessitudine quadam mecum coniuncti, professio novae Historici nostri editionis parandae haud dubie me avertisset, nisi cognovissem, illius editionis rationem a meo instituto longe discrepare. Illum enim maius opus moliri, et principis Historicorum Graecorum editionem, omni tum critico tum exegetico apparatu instructam, meditari intelligebam; ipse autem nihil aliud, quam lectoribus iis, quos supra indicavi, hac mea opera consultum volebam. Quod fieri posse videbatur duobus voluminibus non ita magnis, in quibus textus quidem ex fide codi-

*) Cf. Poppo Obss. critt. p. 11.

**) Qui omnes Parisinorum librorum lectiones ulla ex parte memorabiles se attulisse profitetur in Fasciculo Annott. p. 4.

cum, adhibitis subsidiis criticis, quae adhuc prodierant, tum emendatior, tum, meliore distinctione inducta, intellectu facilior exhiberetur; annotationum autem is modus teneretur, ut non nisi obscuriora scriptoris verba et sententiae illustrarentur, receptarum lectionum causae demonstrarentur, rarius aliorum coniecturae et commenta vel laudarentur, vel redarguerentur, nec omnino quidquam arcesseretur, quod ad Auctorem intelligendum minus necessario pertineret, lectoremque in obscura eius oratione occupatum magis etiam impediret vel turbaret. Atque ut non verebar, ne idoneis harum rerum indicibus hoc institutum displiceret; ita aliquanto post comperi, et ab iis viris doctis, qui observationes meas in quintum Thucydidis librum *) in Annalibus litterariis Heidelbergensibus et Lipsiensibus iudicio suo comprobarunt, et ab aliis maximi mihi aestimandis, consilium meum non solum per se temporum nostrorum rationibus aptum, sed etiam Popponis instituto non impeditum indicari. Quo indicio erectus et confirmatus, sedulo inchoatum opus persecutus sum, et tantum non absolvi. Nam indicem Graecitatis, qui huic editioni adiiciendus est, cum Poppo Lexicon Thucydideum amplissimum promittat, ad compendium conferre licuerit.

Summariis instruxi Thucydidis libros, partim quod inde quoque aliquantum auxilii peti potest ad Scriptoris mentem recte capiendam, partim ut eorum

---

*) Kritischer Beitrag zum 5. Buche d. Thucyd. Stendaliae 1817.

rationibus inservirem, qui Historicum nonnisi rerum ab eo tractatarum causa evolvunt, et partem quandam narrationis raptim transcurrere volunt. Quamobrem ad lectorum usus aptius mihi videbatur, illa summaria per singulas, quo pertinerent, paginas distribuere, quam continua libris singulis praemittere; praesertim cum vidissem, eam rationem certe in historicis quibusdam aliis adhibitam plerisque placuisse.

In genuina Scriptoris lectione indaganda et restituenda non videmur nobis aut leves, aut nimis difficiles fuisse. Numquam enim merae coniecturae, quamvis probabili, postposuimus librorum scriptorum lectionem, nisi haec ab omni parte vitiosa, aut plurimis certissimisque indiciis corrupta videretur. Aliquanto tamen magis aliorum, quam nostris coniecturis fidem habuimus. Ut autem non facile absque codicum praesidio quidquam statuere ausi sumus, ita lectiones, non ex numero, sed praestantia codicum expensas, probavimus, neque umquam ea nobis satis certa correctio visa est, qua non appareret probabilis corruptionis causa. Quam rationem plerumque tam constanter secuti sumus, eandemque etiamnum adeo probamus, ut et raro ab aliis nos abripi passi simus, et ubicumque hoc evenerit, iam nos poeniteat facti. Ita libro I. cap. 45. cum recentioribus Criticis particulam *τέ* in verbis *καὶ Κερκυραίους τε* expunximus, sine probabilitate, cum verisimilius sit, *δέ*, quod praebent codd. Cass. Aug. Gr. Mosq., in *τε* corruptum esse. Vid. ad 8, 68.

Operae pretium videtur, hoc loco paucis monere de grammaticis quibusdam minutiis, in quibus tamen iudicio certo et constanti ratione opus est, quid ipse potissimum secutus sim. Scripsi igitur ubique *ἀεί* pro *αἰεί*, *ἐς* pro *εἰς*, *πῃ* pro *πῇ*, ab initio verborum ξ pro σ, σσ pro ττ, ϱσ pro ϱϱ in quibusdam vocabulis, e. c. *θάλασσα*, *θαρσέω*, *χερσόνησος*; quae omnia praestantissimorum codicum auctoritate plurimis locis confirmantur. In aliis minus constans sit scriptura, necesse est, nisi tuum constantiae studium fraudi esse velis Scriptori. Ita non solum *μόλις*, sed nonnunquam etiam *μόγις* retinui, *μέχρι* et *μέχρις* scripsi ante verba a vocali incipientia. Vid. notas ad 1, 12. 7, 40. 4, 4. Item 2, 18. *ηὐτρεπίζοντο*, et passim *ἠβούλοντο*, *ἠδύναντο* (cf. ad 2, 2.), porro *πλέων* (vid. ad 1, 77.) et alia huiusmodi servavi, cum non absurde existimes, Thucydidem promiscue *ἠβούλοντο* et *ἐβούλοντο*, *ἠδύναντο* et *ἐδύναντο*, *πλέων* et *πλείων* usurpasse. Quo in genere non minimam difficultatem habet nominativus pluralis verborum in *ευς* exeuntium. Vide not. ad 1, 27. Praestantissimi codices Cass. et Aug. in hoc uno maxime differunt, quod ille plerumque terminationem in *εῖς*, hic in *ῆς* vel *ῇς* praebet. Ceteri codices in hoc genere aut minus sibi constant, ut Reg. et Graev., qui tamen saepius cum Cass., quam cum Aug. faciunt (vid. 5, 72. 73. 81. 6, 67 bis, 70.), aut minoris sunt auctoritatis, ut Ar. C. Dan. Mosq., qui tantum non semper formam *εῖς* habent, et sic plerumque etiam vett. edd. Vid. varias lectt. ad 4, 81. 109. 120. 124 bis, 134 bis, 5, 6. 9. 29. 32.

44. 47. 50 bis, 57. 58 bis, 59. 61. 62. 65. 67 quater, 71. Conf. Benedict. ad 4, 95., 5, 9. Itaque cum codicum scriptura fluctuans constantiam editoris ab utraque parte intercludere videretur, neque tamen in vulgata lectione, quae saepenumero vel optimis libris adversaretur, acquiescendum esset: eam adhibui rationem, ut maxime Casselani, vetustissimi et optimi codicis, fidem sequerer, nec sine eius aut omnium aliorum melioris notae librorum auctoritate formam in ῆς relinquerem. Quod ita factum est 1, 27. in *Παλῆς* et *Ἑρμιονῆς*, 3, 96. in *Βωμιῆς* et *Καλλιῆς*, 5, 101. in *Ἀμφισσῆς*, 4, 67 extr. bis in *Πλαταιῆς*, 4, 75. ut et 74. bis in *Μεγαρῆς*, 5, 55. in *Δικτιδιῆς*, et sic iterum cap. 82.

Ceterum litteras maiusculas pro minusculis ab initio periodorum induxi, ratus, minoribus litteris suum relinquendum esse locum, ubicumque brevius quoddam membrum praecedenti periodo, propter sententiae propinquitatem, annectitur. Et in vocabulis compositis ς finale typis describi iussi. Qua in re si forte quid neglectum fuerit, aut si non solum in notis, sed etiam in textu subinde operarum errores occurrant, non mihi succensebunt benevoli lectores, qui longius absum ab ea urbe, ubi haec typis exscribuntur, et qui graviorum vitiorum indicem, singulis voluminibus suffigendum, parabo. Sed cuius ipse erroris auctor sum, eum h. l. confitebor et corrigam. Nam 1, 44. ad verba *ὥςτε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν* de *Neutralibus* locutus sum, quorum nulla ibi mentio. Male ceperam illa verba, quasi scriptum es-

set: ὥστε αὐτοὺς μήτε ἐχθροὺς, μήτε φίλους νομίζειν. Sententia non obscura est: ita, ut eosdem (homines vel civitates) pro inimicis et amicis haberent, quos ipsi Corcyraei.

Haec habebam, quae de huius editionis consilio et ratione cum lectoribus communicanda putarem; quibus ut neque inutile, neque iniucundum sit studium meum, etiam atque etiam apto.

Scribebam Stendaliae mense Augusto
exeunte MDCCCXIX.

DE

THVCYDIDIS VITA, DICENDI GENERE, CODICIBVS MANV SCRIPTIS ET EDITIONIBVS.

Exstat ex antiquitate liber ignoti cuiusdam Grammatici saeculi haud dubie quarti vel quinti:

- *Μαρκελλίνου περὶ τοῦ Θουκυδίδου βίου καὶ τῆς ἰδέας αὐτοῦ ἀπὸ τῆς ὕλης ξυγγραφῆς παρεκβολή*, quae Dissertatio ad calcem Ed. Lipsiensis adiecta est Tom. II. p. 719 — 731. Eam tamen sub finem aliorum quorundam additamentis auctam et interpolatam esse, certis indiciis, veluti contradictionibus, repetitionibus correctionibusve, persuasum nobis habemus.
- Deinde incerti cuiusdam Auctoris de Thucydide narratio item Graece scripta, ibid. p. 732; quae scatet absurdis fabulis.
- Tum e recentioribus maxime memorabilis est *Henrici Dodwelli*, A. M. Dubliniensis, Apparatus ad Annales Thucydideos, cum vitae Thucydidis Synopsi chronologica. Ibid. p. 591 — 611.
- *G. G. Bredovius* Dissertationem de vita et stilo Thucydidis, Germanice scriptam, Annotationibus suis in Thucydidem (Lemgoviae, 1808) praemisit.

Thucydides, Atheniensis, Olori [1]) filius, quem ad Miltiadis genus pertinere volunt, [2]) natus est Ol. 77, 2. ante Chr. 471., si vera sunt, quae ex Pamphilae Aegyptiae libris tradit A. Gellius Noct. Att. 15, 23.,

1) Vid. Bredov. l. l. p. 5 sq. Frustra Marcellinus defendit scripturam *Ὀρόλου*.

2) Marcellinus l. l. p. 722. Anonymus ibid. p. 732. Suidas voc. *Θουκυδ.* Plutarch. in Cimone. Cicero Brut. 10. *summo loco natum* dicit.

Thucydidem initio belli Peloponnesiaci quadraginta annos natum fuisse. Ipse neque aetatis suae, nec generis mentionem in opere suo iniecit; hoc tamen innuit, se belli Peloponnesiaci tempore iam florente aetate fuisse [3]), et statim ab huius belli initio eiusdem scribendi consilium cepisse [4]). Vixit per totum belli spatium [5]), et ad summam senectutem pervenit. Nam quoniam post finem belli demum ad componendam historiam accessit [6]), cum annum sexagesimum septimum iam complevisset, non videntur errare, qui eum octogenarium [7]) e vita decessisse putant. Nam sane non erat paucorum annorum hoc opus Thucydidis, praesertim pro illius saeculi disciplina. Isocratem, Thucydide nostro paullo iuniorem, duodecim annos in una oratione polienda posuisse, constat. Nec minor Thucydidis labor videtur fuisse, quippe qui non res solum diligenter expenderit, sed etiam presso dicendi genere et consilia hominum, et verba aeque ac facta, denique rerum gestarum eventus accuratissime explicarit. [8])

---

3) Thucyd. 5, 26 extr. *αἰσθανόμενος τῇ ἡλικίᾳ.*

4) 1, 1.

5) 5, 26. *Ἐπεβίων διὰ παντὸς αὐτοῦ (τοῦ πολέμου).*

6) Vid. not. ad 1, 1. Quamquam veteres aliter de hac re statuisse videntur. Nam Cicero de Orat. 2, 13. „Hos libros, inquit, tum scripsisse dicitur, cum a republica remotus, atque, id quod optimo cuique Athenis accidere solitum est, in exsilium pulsus esset.“ Nostram tamen rationem arguit veram esse, quod multis locis de muris Atheniensium tamquam de re non integra loquitur Thucydides. Vid. 1, 93. 2, 13. Deinde belli fine tamquam aera utitur Historicus 1, 13. 18. *ἔτη ἐστὶ μάλιστα τετρακόσια καὶ ὀλίγῳ πλείω ἐς τὴν τελευτὴν τοῦ πολέμου, ἀφ᾽ οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται.* Adde Cyri minoris mentionem iniectam 2, 65 extr.

7) Marcellinus p. 726. *Παύσασθαι δὲ τὸν βίον ὑπὲρ τὰ πεντήκοντα ἔτη, μὴ πληρώσαντα τῆς συγγραφῆς τὴν προθεσμίαν.* Sed Dodwellus p. 605. recte suspicatur, antiquitus scriptum fuisse *π´ ἔτη*, i. e. *octoginta* annos, unde posterior aliquis librarius fecerit *πεντήκοντα.* Cf. Bredov. p. 10.

8) Summum studium et incredibilem *ἀκρίβειαν* in Thucydidis libris apparere, nemo umquam negavit. Huc accedit, quod 2,

De pueritia ipse item silet. Ferunt autem, eum, dum adhuc esset puer, audivisse Herodotum, suas historias Olympiae recitantem, et quasi divino quodam furore percitum, illacrimasse. Herodotum autem, animadverso eius ingenio, egregiam patri prolem esse gratulatum [9]). Quae ut nobis fidem non faciunt, ita per se quidem probabiliora videntur ea, quae de praeceptoribus Thucydidis feruntur. Nam Anaxagorae philosophi, qui posthac tamquam ἄθεος in exsilium eiectus est, in philosophia; Antiphontis vero Rhamnusii, summi oratoris, quem ipse hoc nomine laudat 8, 68, in rhetorica disciplina discipulum eum fuisse, narrant [10]).

---

100. de Archelao, Macedonum rege, tamquam de vita defuncto Thucydides loquitur, cui igitur ipse superstes erat. Decessit autem Archelaus, teste Diodoro 14, 37. Ol. 95, 1. ante Chr. 400. cum annum septuagesimum Thucydides explevisset. Post mortem demum illius regis, qui elegantissimos et eruditissimos quosque Graecorum, Euripidem et Agathonem, Tragicos, ad se arcessiverat, Socratem vero frustra invitarat, Thucydidem nostrum celebrem factum esse, tradit Marcellinus p. 725. e Praxiphanis libro de Historia, qui Praxiphanes Historicum Agathonis aequalem perhibet.

9) Suidas l. c. Marcellin. p. 730. Photius Cod. 60. Sed etiam Lucianus de conscrib. hist. c. 16. fabulam illam narrat. Quam merito refutat Bredovius p. 6 seq., quatenus Thucydidem puerum (ἔτι παῖδα τυγχάνοντα) Herodotum audientem facit. Nam hoc factum esse necésse esset Ol. 81. ante Chr. 456, cum Thucydides quindecim annos natus esset; Herodotus autem eo tempore non amplius duo de triginta annos expleverat. Quae aetas sane minor videtur, quam ut ex longinquis peregrinationibus redux Herodotus historias suas, quas conscripserat, congregatis Hellenibus recitare potuerit. Huc accedit gravissimum argumentum ex Herodoti ipsius libris desumptum. Nam libro 7. cap. 137. Herodotus necem Nicolai et Ancristi, Spartanorum legatorum, in Thracia a Sitalce interceptorum, narrat, quae res facta est belli Peloponnesiaci anno secundo, 430 ante Chr. Vid. Thucyd. 2, 67. Ergo hunc certe librum historiae viginti sex annis postea demum scribere potuit Herodotus, cui suppar Thucydides. Videtur igitur ille posteriore tempore, quam Grammaticorum ratio fert, Historias Olympiae recitasse, et ficta esse de Thucydidis lacrimis et Herodoti gratulatione fabula.

10) De Anaxagora testatur Marcellinus p. 724., addens ex Antylli cuiusdam testimonio, ipsum Thucydidem paullatim ἄθεον haberi coepisse, quod Anaxagorae disciplinam avidius hausisset. — Antiphonte Thucydidem in rhetoricis doctore usum, praeter Mar-

Nec minus per se credibile est, quod Anonymus [11]) Thucydidem sub Xenocrito Sybarin migrasse scribit. Nam non obstat aetas Thucydidis, qui ante Christ. 444., Ol. 84, 1. quo anno ista colonia Thurios deducta est [12]), septem et viginti annos natus erat. Attamen reliqua, quae narrat Anonymus, aut ficta videntur, aut huic certe rei fidem quodammodo derogant. Tradit enim, Thucydidem ex Italia reducem causam egisse συγχύσεως δικαστηρίου, qua inferior discesserit: postea vero (ὕστερον δέ) ostracismo in exsilium missum esse per decennium. Sed cum anno belli secundo, 430 a. Chr.; Athenis se fuisse ipse Thucydides testetur [13]), exsilium autem, quo postea nono belli anno propter neglectam Amphipolin damnatus est, ab illo ostracismo, si quis fuerit, diversum esse verborum usus doceat: sequitur, exiguum nimis tempus isti, quam vult Anonymus, commigrationi in Italiam relinqui. Falli certe crediderim Dodwellum [14]), qui hoc parum certo argumento, quod Herodoto Thucydidique communis Thuriorum colonia fuerit, utitur, ut utriusque scriptoris sepulcri propinquitatem in monumentis Cimonis demonstret. Erant ea Athenis ad portas *Μελιτίδας* [15]), in loco,

cellinum l. c. etiam Anonymus p. 732 seq. perhibet. Neque hoc a probabilitate alienum est.

11) l. l. p. 734.

12) Dodwell. p. 605. Sect. XX.

13) Thucyd. 2, 48 extr.

14) l. c. p. 604. Etiam Marcellinus p. 726. tradit, Timaeum Historicum aliosque memoriae prodidisse, Thucydidem in Italia sepultum esse. Quod licet Marcellinus derideat, Dodwellus tamen non absurde de cenotaphio intelligit, et ad ius civitatis Thuriorum, quod adeptus fuerit Thucydides, trahit. Ipse Auctor, cum saepius Thuriorum coloniae mentionem iniecerit (6, 61. 7, 33. 35.) nullam sibi cum hac civitate necessitudinem intercedere significavit. Quo silentio licet ad Anonymi et Dodwelli sententiam redarguendam abuti nolim, tamen res neque illius testimonio, neque huius defensione satis firmata atque explorata videtur.

15) Pausanias in Attic. cap. 23. Marcellin. p. 722. et 731.

qui *Coele* vocabatur; ibique inscriptio in Thucydidis sepulcro: *Θουκυδίδης Ὀλόρου (s. Ὀρόλου) Ἁλιμούσιος ἐνθάδε κεῖται* [16]. Sed hoc Thucydidis sepulcrum item cenotaphium fuisse, contra Marcellinum defendit Bredovius [17], Cratippo, Thucydidis aequali [18], plus tribuens auctoritatis, qui cum Zopyro quodam tradidit, Thucydidem in Thracia mortuum esse. Quod Bredovii iudicium ex parte verum esse, non negamus. Sed Cratippus nihil amplius, quam *mortuum* in Thracia Thucydidem esse, dicit, non etiam sepultum, quod potius e Dodwelli coniectura [19] addidit Bredovius. Fieri tamen potuit, ut ossa Athenas e Thracia, ubi defunctus erat Thucydides, deportarentur et in monumento familiae conderentur [20].

Ipse Thucydides de se admodum pauca memorat. Primum secundo belli anno, ante Chr. 430 se peste correptum esse scribit [21], qua posteriore anno Pericles decessit. Deinde anno belli octavo, ante Chr. 424. classis Atheniensium parti alicui praefuit, circa Thasum insulam et Thraciam, unde cum auxilium eius arcessentibus Amphipolitanis sero subvenisset, atque urbem a Brasida iam captam esse sensisset, Eïonem certe servare constituit, atque eam hostibus

16) Marcellin. l.l. c.c. quae plane contraria sunt. Altero enim loco defenditur, Thucydidem Athenis sepultum esse, altero in Thracia mortuum, ibique sepultum, secundum alios tamen esse Athenas portata. Etiam de inscriptione supra posita posteriore loco verba: *ἐνθάδε κεῖται* omittuntur.

17) p. 11.

18) Vid. Dionys. Halic. in iudicio de Thucydidis historia. Is Cratippus ea, quae a Thucydide omissa erant, scriptis complexus est, quod etiam Theopompus et Xenophon fecere; sed non nisi Xenophontis opus aetatem tulit.

19) pag. 610. Sect. XXX.

20) Hoc praeter Marcellinum p. 731. (cf. not. 16) etiam Anonymus p. 735. concedit, cum incertum esse dicat, utrum Athenis, an in Thracia diem supremum Thucydides obierit.

21) Thucyd. 2, 48.

praeripuit [22]. Huius criminis causa, quod Amphipolin non servaverit, Athenienses Thucydidem exsilio damnarunt, quod per viginti annos perpessus [23], nempe ante Chr. 423 — 403, archonte demum Euclide, cum omnibus exsulibus domum revertendi copia facta esset, in patriam rediit. Exsul ubi vitam egerit, ipse non prodit. Marcellinus [24] cum Anonymo [25] primo in Aegina commoratum [26], post in Thraciam concessisse, ibique in urbe Scaptesyla, unde uxorem ditissimam duxerat [27], domicilium habuisse. Mittimus ea, quae nugantur Grammatici saepius memorati de avaritia Thucydidis, quem magnas opes foenori collocasse, Aeginetasque omnes foenore exhausisse tradunt [28]. Sed in Thracia Thucydidem metallorum seu auri fodinas habuisse et ditissimum fuisse, certum est ipsius testimonio [29]. Quas divitias cum impendisse, ut res in bello Peloponnesiaco gestas ex testibus oculatis, quos aiunt, i. e. Atheniensium Lacedaemoniorumque militibus, comperiret, libentius credimus Marcellino [30], quam quae de foenore modo ex Anonymo attulimus.

Non absolvit propositum opus Thucydides, sed in octavo libro defecit, haud dubie morte praereptus [31].

---

22) Thucyd. 4, 104.

23) Thucyd. 5, 26.

24) Marcell. p. 724. cf. p. 729.

25) Anonym. p. 734.

26) Schol. ad 5, 26. *περὶ Πελοπόννησον διέτριβε.* Firmat quodammodo Thucydides l. c. his verbis: *καὶ γενομένῳ παρ' ἀμφοτέροις τοῖς πράγμασι.* Verisimile mihi videtur, Thucydidem per viginti annos exsilii saepius peregrinatum esse, fortasse etiam in Italia et Thuriis post Atheniensium cladem Siciliensem, ut illis in locis ipse res, quas accuratissime narrat Lib. VI et VII, diligentius exquireret. Cf. not. 14.

27) Marcell. p. 723.

28) Marcell. p. 724. Anonym. 734.

29) Thucyd. 4, 105.

30) Marcell. p. 723.

31) Vid. ad 8, 109.

Fuerunt, qui putarent, octavum librum non a Thucydide, sed ab eius filia scriptum esse [32]), quorum opinionem praeter Marcellinum etiam Anonymus redarguit [33]). Alios Xenophonti, alios Theopompo hunc librum tribuisse, discimus ex eodem Marcellino [34]). Sed recte totum opus ab iis, qui in his litteris aliquid sapiunt, Thucydidi vindicatur [35]). Licet enim haec operis extrema pars minus niteat orationibus artificiose compositis et uberiore rerum gestarum descriptione, cum Scriptor orationum et deliberationum summaria potius contexuerit, et ad finem properasse videatur: tamen Thucydidis ingenium et propria dicendi ratio sexcentis locis agnoscitur. Fortassis ipsa senectutis iamiam ingravescentis molestia animum quodammodo infringebat [36]), atque a spe tantae amplitudinis operis perficiendi revocabat. Itaque videtur factum esse, ut in angustiores quasi ripas flumen orationis, antea exuberans, conclusum comprimeret. Verum ne hoc quidem modo totius belli descriptionem perfecit, sed octo fere annorum res gestas, ante Chr. 411 — 404 aliis conscribendas reliquit [37]). Quod autem quidam voluerunt [38]), prooemium post historiam scriptum esse, id non certis nititur testimoniis, sed hoc uno levissimo argumento, quod in eo belli finis memoratur; ac ne verisimile quidem est, si vera sunt ea, quae de postremo libro disputavimus. Nam hoc tantum non perfecto Scriptorem obiisse mortem putamus [39]).

32) cf. Marcell. p. 728.
33) Anonym. p. 735.
34) Marcell. l. c.
35) Vid. Bredov. p. 10. *Benedicti* Obss. in Thucyd. octo libros p. 215 seqq.
36) Hoc iam Marcellinus opinabatur p. 728.
37) vid. supra not. 18.
38) Anonymus p. 734.; quem recte refellit etiam Dodwellus p. 606. Sect. 24 extr.
39) Exstitisse olim etiam aliam librorum Thucydideae historiae divisionem, e quibusdam veterum Grammaticorum citationibus co-

In genere dicendi Thucydidem varios aemulatum esse docent veteres Critici [40]); in dispositione quidem Homerum maxime, deinde Pindari sublimitatem, nonnihil etiam Gorgiae Leontini artem, in collatione contrariorum atque in eo positam, ut verba verbis quasi demensa responderent, denique Prodici Cei accuratum verborum delectum. Nos quidem istius modi imitationis nulla iam deprehendimus vestigia; sed optimis quibusque exemplis principem Historicorum Graecorum, quem Thucydidem esse non timide iudicamus, informatum eruditumque esse, singularis operis praestantia docet. Maxime autem Herodoteas usurpat dictiones, quantumvis a patris illius historiae simplicitate recedat, et grandius subliminusque sectetur genus dicendi, quod nonnumquam vel poëticum dixeris [41]). In tota autem et disponendi et eloquendi ratione sui est iudicii Thucydides, neque unum in tota antiquitate, quotquot supersunt [42]), scriptorem invenies ei prorsus similem; quamquam multi et oratores et historici eum aemulati sunt. Ut ex pluribus non nisi unum et alterum nominem, Demosthenes Thucydidem octies sua manu descripsisse fertur, adeo ut eius libros paene ad verbum memoriter posset recitare [43]). Et tamen nulla facile huius Scriptoris maior cum Thucydide cognatio et similitudo agnoscitur. Nam Demosthenem e Thucydidis lectione non multa hausisse, cuivis attento utriusque lectori perspicuum est [44]). Post eum Plutarchus quoque

---

gnoscimus. Sed eius ratio quae fuerit nescimus, praeterquam quod maior librorum numerus effectus esse videatur. Nam tredecim fuisse perhibent. Vid. Fabricii Bibl. Graec. T. II.

40) Marcellin. p. 726 seq.

41) Vid. ad 6, 18. Marcell. p. 729. *Ἔχει δὲ χαρακτῆρα ὑπέρσεμνον καὶ μέγαν.*

42) Ex deperditis unum Syracusium Philistum Cicero de Orat. 2, 13. perhibet Thucydidem consecutum, maximeque imitatum esse. Cf. Idem in Bruto cap. 17.

43) Lucianus *πρὸς ἀπαίδευτον*. Tom. III. p. 102.

44) Orationis scilicet Thucydideae nimiam saepe brevitatem et

Thucydidem ante oculos habuit tamquam exemplar [45].

Pressus ubique est Thucydides, maxime in orationibus, aut ubicumque deliberationes et consilia hominum exponit. Nec potest negari, illo brevitatis studio non raro orationem gravissimi ac diligentissimi Scriptoris factam esse obscuriorem. Ubique structuram ita variat, ut plerumque concinnitatem membrorum tollat [46]), qua in re Cornelium Tacitum aemulum habet; nec raro abruptius, certe aspere et perplexe loquatur. Nonnumquam etiam novorum verborum aut insolentiorum significationum inventor est [47]). At vero cum digerendarum rerum ratione, tum accuratissima rerum gestarum expositione, eventorumve ac locorum proeliorumque descriptione tam clarus est perspicuusque, ut in his partibus non facile a quoquam perspicuitate superetur. Ne anacolutha quidem, quae crebro admisit in longioribus periodis, quicquam vel duri vel obscuri habent. Ceterum in moribus exprimendis mirabilis plane est [48]), et sententiis, quae ad mores pertinent, excellit [49]).

Iure laudatur in eo fides, integritas et summum veritatis studium, cuius non ipse solum sibi testis est [50]), sed etiam totum opus. Volebat enim gravissimus Scriptor *κτῆμα ἐς ἀεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν* componere. Itaque non solum summa industria et diligentia res in hoc bello

---

obscuritatem non imitatus est Demosthenes, homo ingeniosissimus; neque id ei licebat pro concione, ut bene monuit *Fr. Aug. Wolfius* Prolegom. in Lept. p. LI., at sententiarum vim et gravitatem, summam in rebus describendis artem, sublime dicendi genus, alia, non ut serva imitatorum natio, sed ut vir sui iudicii, e Thucydidis lectione petiit.

45) Cf. Bredov. l. c. p. 12.

46) Vid. ad 2, 8.

47) Vid. ad 6, 34.

48) Marcell. p. 729. *Δεινὸς δὲ ἠθογραφῆσαι.* Cf. Thucyd. 1, 70. 84.

49) Idem ibid. *Τὸ δὲ γνωμολογικὸν αὐτοῦ πάνυ ἐπαινετόν.*

50) Vid. 1, 22. Cf. 5, 26 extr.

gestas e certis testibus quaesivit et exploravit, sed etiam, ubi de prioribus saeculis agit, a fabulis fere abstinuit, digressionesque vitavit, quibus alii delectantur [51]). Ubicumque autem fabularum mentionem facit, non diutius in earum enarratione immoratur, quam opus est ad rem demonstrandam [52]). Anonymi autem istius calumnia [53]), qua Thucydidem propter fugam Lacedaemoniis plurimum gratificari, Atheniensium autem tyrannidem et calamitates augere culpat, vix digna est, quae h. l. memoretur. Nam a studio et ira, quamquam eorum causas, quatenus exsilium iniuria passus fuerat, non procul habebat, tamen alienissimum fuisse, opus eius arguit; et si quid forte odii olim fuerat, eo tempore, quo historiam conscribebat, patriae iam redditus erat.

Primus auctor fuit Thucydides, qui cum a gerendis rebus ad easdem scribendas se contulisset, historiam ad usum hominum politicorum composuerit [54]). Quare non solum oratoribus et historicis utilissimum, sed mirandum potius quam imitandum exemplum praebuit, sed etiam regibus gratissimus fuit comes. Nam Alphonsus V., Aragoniae rex, sua ipse manu plus semel Thucydidis libros dicitur descripsisse; et Carolus V., Germanorum Imperator, ubique Claudii Seysselii Franco-gallicam interpretationem Thucydidis secum ducebat [55]), non secus atque Ionici vatis poëmata Alexander ille rex Macedoniae. Nec tamen cuique est acceptus, sed iis tantum, qui gravem ac veram historiam amant, fabularum illecebris vacuam, brevitate summa conspicuam, quique gravissimas sen-

51) Marcell. p. 729.
52) Thucyd. 2, 29. 102. 6, 2.
53) Anonym. p. 733.
54) Thucyd. 1, 22 extr. Cf. *Georg. Frid. Creuzeri* liber: Die historische Kunst der Griechen p. 262 – 290., ubi de Thucydidis in historia scribenda consilio et arte, maxime ex veterum disciplina et iudiciis, luculenter disserit.
55) Bredov. p. 12.

tentias, easque plures paucis saepe verbis comprehensas [56]), ideoque neque intellectu faciles, nec cognitu iniucundas inutilesque, intentis mentis viribus enucleare non reformident. Ita iam veteribus videbatur; cuius rei testimonium exstat epigramma, ad calcem codicis Augustani adiectum, (in Anthologia Graeca ed. Iacobsii T. IV. p. 251. N. DXXXIX.)

Εἰς τὴν Θουκυδίδου ἱστορίαν. [57])
Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δὲ πέφυκας
Νῆϊς Μουσάων, ῥίψον ἃ μὴ νοέεις.
Εἰμὶ γὰρ οὐ πάντεσσι βατός. παῦροι δ' ἀγάσαντο
Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.

Quare etiam Cicero confirmat, Thucydidi amatores defuisse; [58]) alios contra imperite eum secutos esse [59]). Atque haud scio an nemo Thucydideum dicendi genus paucis verbis rectius descripserit, quam idem Cicero in Bruto cap. 7 extr., ubi de antiquiorum Atticorum dicendi ratione agit. „Quibus temporibus, inquit, quod dicendi genus viguerit, ex Thucydidis scriptis, qui ipse tum fuit, intelligi maxime potest, *Grandes erant verbis, crebri sententiis, compressione rerum breves, et ob eam ipsam causam interdum subobscuri.*“ Semper igitur pauciores invenit lectores, quam illi intellectu faciliores Scriptores, Herodotus, Xenophon, et alii eo multo inferiores, quamvis summorum omnium temporum Criticorum laudibus celebretur, atque eius assidua lectio commendetur [60]). Laborem enim etiam in legendo fu-

---

56) *Cic.* de Orat. 2, 13. „Thucydides omnes dicendi artificio mea sententia facile vicit, qui ita creber est rerum frequentia, ut verborum prope numerum sententiarum numero consequatur: ita porro verbis aptus et pressus, ut nescias, utrum res oratione, an verba sententiis illustrentur.“ cf. Idem in Orat. cap. 9. „Ipsae illae (Thucydidis) conciones ita multas habent obscuras abditasque sententias, vix ut intelligantur.“

57) Haec inscriptio abest a cod. Aug.

58) *Cic.* Brut. cap. 17.

59) Orat. cap. 9.

60) *Cic.* Orat. cap. 12. „Quo magis Herodotus Thucydidesque

giunt plerique, non secus atque in audiendo. Neque hoc ignorasse videtur Thucydides, (cf. 1, 22 extr.) sed maluit paucioribus placere sapientibus et acutis, quam plurimis tardis et insulsis. Verissimum prae ceteris est Is. Casauboni de Thucydide indicium [61]): „*Quem velim*, inquit, *legat studiosa iuventus assidue. Credite mihi, adolescentes φιλομαθεῖς, sive eloquentiam quaeritis, sive scientiam civilem, sive historiae cognitionem, non potestis in alio auctore operam melius collocare.*

De Graecis in Thucydidem Scholiis eorumque pretio alii aliter statuunt. Sunt enim, qui ea admodum vilis pretii pendant [62]); sunt contra, qui aequo plus iis tribuant auctoritatis. Sed ut diversa sunt aetate auctoribusque, ita diversum quoque singulorum est pretium. Et nonnulla quidem valde antiqua esse,

---

mirabiles; – alter enim sine ullis salebris quasi sedatus amnis fluit; alter incitatior fertur, et de bellicis rebus canit etiam quodammodo bellicum: primisque ab his (ut ait Theophrastus) historia commota est, ut auderet uberius, quam superiores, et ornatius dicere." Et in eodem libro cap. 9. „Quis unquam Graecorum rhetorum a Thucydide quicquam duxit? At laudatus est ab omnibus. Fateor: sed ita, ut rerum explicator prudens, severus, gravis; non ut in iudiciis versaret causas, sed ut in historiis bella narraret. *Quinctilian.* Inst. Orat. X, 1. „Densus et brevis et semper instans sibi Thucydides: dulcis et candidus et fusus Herodotus: ille concitatis, hic remissis affectibus melior: ille concionibus, hic sermonibus: ille vi, hic voluptate." *Plutarch.* de Gloria Athen. *Ὁ γοῦν Θουκυδίδης ἀεὶ τῷ λόγῳ πρὸς ταύτην ἁμιλλᾶται τὴν ἐνάργειαν, οἷον θεατὴν ποιῆσαι τὸν ἀκροατὴν, καὶ τὰ γινόμενα περὶ τοὺς ὁρῶντας ἐκπληκτικὰ καὶ ταρακτικὰ πάθη τοῖς ἀναγιγνώσκουσιν ἐνεργάσασθαι λιχνευόμενος. Ὁ γὰρ παρὰ τὴν ῥαχίαν αὐτὴν τῆς Πύλου παρατάττων τοὺς Ἀθηναίους Δημοσθένης* (Thuc. 4, 9.), *καὶ ὁ τὸν κυβερνήτην ἐπισπέρχων Βρασίδας ἐξοκέλλειν* (Thuc. 4, 11 sq.), *καὶ χωρῶν ἐπὶ τὴν βάθραν, καὶ τραυματιζόμενος καὶ λειποψυχῶν καὶ ἀποκλίνων εἰς τὴν παρεξειρεσίαν· καὶ οἱ πεζομαχοῦντες μὲν ἐκ θαλάττης Λακεδαιμόνιοι, ναυμαχοῦντες δὲ ἀπὸ γῆς Ἀθηναῖοι· καὶ πάλιν ὁ ἐν τοῖς Σικελικοῖς ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσοῤῥόπου τῆς ναυμαχίας καθεστηκυίας·* (Thuc. 7, 71.) *ἄλαστον ἀγῶνα καὶ σύνταξιν τῆς γνώμης ἔχων διὰ τὰς συντάξεις, ὡς συνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασι αὐτοῖς, ἴσα τῇ δόξῃ περιδεῶς συμπιέζων τῇ διαθέσει καὶ τῇ διατυπώσει τῶν γινομένων γραφικῆς ἐναργείας.*

61) Animadvers. ad Dionys. Halic. p. 26.

62) Vid. vir doctus in Libellis philologicis (Philolog. Blätter) Wratislaviensibus 1817. Fasc. I. p. 2.

negari nequit. Prae ceteris laudatur Asclepius quidam inter Thucydidis Scholiastas [63]). Etiam Antylli [64]) et Phoebamonis mentionem fieri, monet Stephanus in Iudicio de Graecis in Thucydidem Scholiis (Ed. Lips. p. 469). Ex horum igitur expositionibus (ἐξηγήσεσι) fragmenta tantummodo habemus, quae cum pro diverso diversorum lectorum iudicio excerpta et quorundam Thucydidis exemplarium margini adscripta essent, tandem a quopiam ex illis collecta et variis tum ipsius tum aliorum aucta additamentis fuerunt. Inde intelligitur, qui fieri possit, ut alter alterius expositionem reprehendat. Re igitur vera non habemus unum Scholiastam, sed plurium interpretationum et notationum veterum Criticorum et interpretum collectionem, levioribus subinde ac futilibus posteriorum Grammaticorum expositionibus vel notulis adauctam. Itaque etsi Scholia nonnulla pervetusta, plurima utilia sunt vel ad illustrandos locos obscuriores, vel ad genuinam Historici lectionem indagandam; tamen multa sunt inepta, multa a Thucydidis mente omnino aberrant. Saepe etiam ad difficiles et obscuros locos nihil lucis afferunt, lectoremque destitutum derelinquunt.

Criticam curam, qua cum maxime indigent haec Scholia, post Stephanum professus est *Ern. Frid. Poppo* [65]), cuius maiore tum critico tum exegetico apparatu instruendam editionem non sine desiderio exspectant harum literarum studiosi. Nos pro instituti nostri ratione illis veterum interpretum notationibus usi sumus; integras recipere, alienum erat a consilio nostro.

---

63) Vid. Schol. ad p. 109. Tom. I. Ed. Lips. Cf. Marcellin. l. c. p. 731.

64) Saepe is Antyllus laudatur a Marcellino in Vita Thucydidis (Ed. Lips. p. 724. 727. 731. Cf. Duckeri nota p. 724.)

65) Eius *Obseruationibus criticis in Thucydidem*, Lips. 1815. multo cum fructu hac in editione nos usos esse, grato animo fatemur.

Restat, ut lectorem, cui hanc nostram operam consecravimus, tum de Codicibus manu exaratis, tum de veteribus Editionibus, a nobis subinde laudatis, quoad eius fieri par est, edoceamus, simulque notas explicemus, quibus utriusque generis libri a nobis et plerisque aliis indicantur.

Praestantissimos Thucydidis codices non paucos numero propitia nobis fortuna servavit [66]). Ex quibus maxime insignes sunt et vetustate et bonarum lectionum praestantia Scholiorumque apparatu Codd. *Casselanus* (Cass.) et *Augustanus* (Aug.) qui ex eodem eoque optimo libro descripti videntur, ita tamen ut Cass. seduli correctoris manum magis expertus sit. Uterque Saec. XII. vel XIII. est. Ad eandem praestantiam accedit Cod. *Clarendonianus* (Cl.), item *Regius* (Reg. seu Parisiensis G.), qui suppeditant optimas lectiones, et cum Cass. et Aug. plerumque conspirant. Neque his multo deterior, mea quidem sententia, est Cod. *Graevianus* (Gr.), qui nunc est Bibliothecae *Traiectinae*, olim a Graevio ad Hudsonum missus. Nonnullis enim locis vel solus veram Historici manum servavit; aliis certe cum illis praestantioribus libris congruit.

His quinque libris praestantissimis, praeter Cod. *Basileensem*, qui idem Codex *Camerarii* (Cam.) vocatur, annumerandi sunt e recens collatis Parisiensibus Codd. A. C. et H., quem cod. H. *Poppo* [67]) cum uno Par. G. propriam quandam familiam constituere putat. Proximum locum tenere nobis videtur Par. I., licet correctionibus subinde contaminatus sit; deinde Cod. *Vindobonensis* (Vind.) et quem vulgo, propterea

66) De codicibus Thucydidis luculenter exposuit Poppo l. c. p. 51 seqq. Cf. Ed. Lips. Tom. II. p. LIV.

67) Obss. critt. p. 79. Eodem auctore, Codd. Aug. Caff. Basil. Clar. Par. A. C. et magnam partem Vindob. eiusdem familiae sunt. Nobis certe de Vindobonensi aliter visum. Is enim deterioribus libris propior est.

quod eius lectiones in margine Ed. Stephani posterioris notatae erant, Codicem *Marginem* (Marg.) vocant. His fortasse non sunt deteriores Pariss. B. F. K., de quibus non certum nobis iudicium est. Etiam Codicis *Barocciani* (Bar.) lectiones rarius afferuntur, quam ut de eius pretio quicquam statuere audeamus. Longe autem inferiores ceteris omnibus videntur eiusdem familiae codices *Arundelianus* (Ar.), Cod. e Bibliotheca Collegii *Corporis Christi* (C. s. Chr.), *Danicus* s. *Havniensis* (Dan.), *Mosquensis* (Mosq.), et Pariss. D. E., quamquam horum maxime Ar. C. et Dan. interpretamentis et correctionibus scatent, atque in eisdem lectionibus conspirant.

Editionum princeps est *Aldina* (Ald.) Venet. 1502 fol. Sequebatur *Florentina* ap. Iuntam 1506 et 1526 fol. cum Scholiis; deinde *Basileensis* (Bas.), studio *Ioach. Camerarii*, cum Scholiis, 1540 fol.

Primus autem de Thucydidis libris et Graecis in eos Scholiis castigandis bene meruit *Henricus Stephanus* duabus editionibus, altera A. 1564, altera eaque emendatiore et auctiore 1588 fol., quam et *Aemilius Portus*, Francofurti apud Wechel. 1594 fol., et *Ioh. Hudsonus*, additis variis lectionibus priorum Edd. et Mss. ab ipso collatorum, Oxoniae 1696 fol. repetiit. Contulerat Hudsonus Codd. Ar. C. Cl. et Graev. Post eum editionem Thucydidis parabat *Iosephus Wassius*, quam curavit postea *Car. Andreas Duckerus* cum annotationibus integris Henr. Stephani, Ioh. Hudsoni et Wassii, quibus adiecit suas, post Stephanum praestantissimas, animadversiones, et codicum Reg. Dan. Cass. et Basil. (Cam.) varias lectiones, Amstel. 1731 fol. Haec Duckeriana editio repetita est Glasgov. 1758. octo voll. 8. et Biponti 1788 et 1789. sex voll. 8. Has excepit *Alteri* Editio, Viennae 1785. II Tom. 8., in qua Cod. *Vindob.* variantes lectiones adscriptae sunt. — Supe-

riorum omnium editionum dotes, licet minus commode dispersas, continet Editio *Lipsiensis* 1790 et 1804. II Tom. 4., quae a *Gottlebero* primum inchoata, a *Bauero* continuata, et a *Beckio* tantum non absoluta est. Apparatus criticus in hac editione auctus est Codicum Aug. et Mosq. lectionis varietate; textum tamen vulgatum refert, perpaucis locis mutatum, ne dicam emendatum, et magis in interpretando, quam in emendando Historico nostro horum editorum cura versata est. Vulgatum item textum, qui typographorum erroribus, pravis interpunctionibus et soloecismis scatet, propagarunt editiones quaedam, in usum Scholarum paratae a *Bredenkampio* (Bremae 1791. 8.), et *Seebodio* (Lipsiae 1815. 8.) item minor illa Lipsiensis, quae prodiit apud Carolum Tauchnitzium 1815. 12. et, sublatis gravioribus soloecismis et mendis, nec non typographica cura, quam debet Schaefero, V. Cel., nonnihil ceteris praestat. Tres praeterea exstant maiores editiones Thucydidis, quae proximis temporibus prodierunt, una *Neophyti Ducae*, cum notis *exegeticis* Graeco sermone conscriptis, neque ubique contemnendis, indice Poppone, cui eam inspicere contigit [68]); altera apud Britannos prodiit Edinb. 1804. 6 Voll. 8., auctore, ut ferunt, *Petro Elmsleyo* [69]); tertia denique apud Franco-Gallos, curante *Gailio*, Parisiis 1808. 10 Voll. 4. maximis illa quidem codicum manuscriptorum opibus ornata [70]), multo tamen minus emendata, quam a tantis subsidiis exspectari licebat.

68) Vid. Observatt. Critt. p. 11. Prodiit illa editio Viennae 1806. X. Voll. 8.

69) De hac videatur Poppo l. c. p. 13.

70) Decem enim codices, qui omnes Thucydidis libros, tres vero, qui nonnullas orationes eius continent, contulerat summo studio et magnis sumptibus Editor doctissimus, *Gailius*.

ΘΟΥΚΥΔΙΔΟΥ

ʼΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΠΡΩΤΟΝ.

ΘΟΥΚΥΔΙΔΗΣ Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους· ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημέ-

---

SVMMARIVM.

1. Auctoris conſilium inde a belli Peloponneſiaci ini-

1. Θουκυδίδης Ἀθηναῖος. Stephanum, nomen patris τοῦ Ὀλόρου excidiſſe opinantem, non audiet, quicumque ſolennem iſtam nuncupationem ad forum potius et publica munera, quam ad privata Hiſtoricorum συντάγματα pertinere, uſu compertum habuerit. Quare ubique, etiam 5, 26, ſimpliciter nomen Auctoris, ſine patris nomine, exhibitum eſt; praeter 4, 104, ubi de ſe, non ut librum ſcribente, ſed ut res gerente, loquitur Thucydides.

ἀρξάμενος εὐθὺς καθισταμένου, i. e. ἱσταμένου vel ξυνισταμένου αὐτοῦ. Non compoſitionem ipſam, ſed colligendi tantum ſtudium et curam ſtatim ab initio belli inſtituiſſe putandus eſt Thucydides. Tametſi enim demum poſt Piraeëum a Spartanis captum, ergo finito bello, ad ſcribendi operam acceſſiſſe videtur, (cf. 5, 26 init. 1, 13 med. ubi belli finem commemorat; 2, 13. ubi de longis muris tamquam de re praeterita loquitur); tamen conſilium ſcribendi huius belli iam tum, quum primum moveretur, cepit, ut h. l. aperte dicit. — ἐλπίσας, mente praecipiens. Vid. infra ad 7, 61.

νων· τεκμαιρόμενος, ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθὺς, τὸ δὲ καὶ διανοούμενον. Κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων. Τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα σαφῶς μὲν εὑρεῖν, διὰ χρόνου πλῆθος ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα.

2. Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. Τῆς γὰρ ἐμπορίας

tio captum, hoc bellum fcribendi, maximum, ut iam tum augurabatur, omnis memoriae futurum. 2. Regreffio ad

καὶ — ὁρῶν. Tranfit a conftructione per ὅτι ad participium, atque ita more fuo variat orationem. Vid. ad 4, 57. Nam καί pertinet ad praecedens τέ poft ἀκμάζοντες. — Verbum ἦσαν Dionyfii Hal., Suidae et Scholiaftae teftimoniis, tamquam antiqua lectio, firmatur, etfi Suidas ἤϊσαν legendum cenfet. Errat Grammaticus cum aliis, qui Thucydidi illam Ionicam formam obtrudere conantur, pro ἤεσαν, quomodo Attici loquuntur.

διανοούμενον, int. ξυνίστασθαι. — **μέρει τινὶ τῶν βαρβάρων**, Thracibus, Athenienfium, Macedonibus et Perfis, Lacedaemoniorum plerumque fociis.

ὧν — πιστεῦσαι ξυμβαίνει. Hoc genus attractionis, quam vocant, difficultatem quandam habet vel infolentiam certe, propterea quod πιστεῦσαι non accufativum, fed dativum poftulat; itaque ὧν non eft pro ἃ, fed pro οἷς. Ceterum ξυμβαίνει πιστεῦσαι non fimpliciter eft πιστεύω. Thucyd. 5, 89 extr. Ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

2. **ἀλλὰ μεταναστάσεις τε οὖσαι.** Int. φαίνονται ex fuperiore φαίνεται, et dele paullo ante comma poft καλουμένη. Μετανάστασις in univerfum eft emigratio in quamlibet terram, et differt ab ἀποικίᾳ et μετοικίᾳ, quarum haec emigrationem in terram iam ab hominibus inhabitatam, illa in regionem incolis vacuam denotat. Vid. Poppo Obff. critt. p. 182. — **βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων**, coacti ab iis, *quicumque* maiore numero ipfos invaderent; vel, *quotiescumque* a maiore numero premerentur. Haec vis eft vocis ἀεί.

οὐκ οὔσης, οὐδ᾽ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὐτῶν ἕκαστοι ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες (ἄδηλον ὄν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται) τῆς τε καθ᾽ ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο· καὶ δι᾽ αὐτὸ οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ. Μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν, ἥ τε νῦν Θεσσαλία καλουμένη, καὶ Βοιωτία, Πελοποννήσου τε τὰ πολλὰ, πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης ὅσα ἦν κράτιστα. Διὰ γὰρ ἀρετὴν γῆς αἵ τε δυνάμεις τισὶ μείζους ἐγγιγνόμεναι στάσεις ἐνεποίουν, ἐξ ὧν ἐφθείροντο, καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. Τὴν γοῦν Ἀττικὴν, ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν, ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί. Καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, διὰ τὰς μετοικίας ἐς τὰ

antiquiorem Graeciae ſtatum, imbecillum ſane. Plurimae,

οὐδ᾽ ἐπιμιγνύντες, modo medii loco, pro *ἐπιμιγνύμενοι*, ut ſupplendum ſit *ἑαυτούς*. Ita infra c. 13 med. *ἐπιμισγόντων*.

νεμόμενοί τε — οὐδὲ γῆν φυτεύοντες. Deſcribit rationem hominum paſcuis et arvis duntaxat utentium, non arboribus, quae alteri ſaeculo proſint, et vite terram conſerentium. *ἀποζῆν* eſt *εὐτελῶς ζῆν*, vitam tolerare. — *ἀτειχίστων ὄντων*, int. *αὐτῶν*, cum proprie ad *ſedes* vel *domicilia* pertineret. Ceterum ſaepius variatam huius periodi ſtructuram (*ἐμπορίας οὐκ οὔσης, οὐδ᾽ ἐπιμιγνύντες — κατὰ γῆν, διὰ θαλάσσης*) etiam hic invertit ſcribendo *ἀτειχίστων ὄντων* pro *ἀτειχίστους ὄντας ἀφαιρήσεται*, nempe *τὴν γῆν πεφυτευμένην*.

τῇ ἄλλῃ παρασκευῇ. *Παρασκευή* Thucydidi eſt apparatus bellicus, quem cum frequentia urbium (*μεγέθει πόλεων*) ideo hic prae ceteris ponit, quia id agit maxime, ut demonſtret, bellum Peloponneſiacum prioribus omnibus maius eſſe.

ἥ τε νῦν Θεσσαλία καλ. Priora enim eius regionis nomina fuere Pelaſgia, Emathia, Aemonia, Hellas. Cf. ad cap. 3.

καὶ παράδειγμα — αὐξηθῆναι. Hunc locum poſt plurimos aliorum conatus primus probabiliter expedivit *Erneſtus Fridericus Poppo*, Vir Cel., in Obſſ. critt. in Thucyd. p. 177 seqq. Prioris Scholiaſtae, *τὰ ἄλλα* ad *πλοῦτόν τε καὶ ὅπλα* referentis et *τῷ πλήθει ἀνθρώπων* opponentis, interpretationem ſecutus, ad *αὐξηθῆναι* ſubaudit *τὴν Ἀττικήν*, et *μετοικίας* immigrationes *in*

ἄλλα μὴ ὁμοίως αὐξηθῆναι· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες, παρ' Ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον ὄν, ἀνεχώρουν· καὶ πολῖται γιγνόμενοι, εὐθὺς ἀπὸ παλαιοῦ μείζω ἔτι ἐποίησαν πλήθει ἀνθρώπων τὴν πόλιν· ὥςτε καὶ ἐς Ἰωνίαν ὕστερον, ὡς οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν.

3. Δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ ἥκιστα· πρὸ γὰρ τῶν Τρωϊκῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δέ, ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπὶ πλεῖστον, ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι· Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ

imprimis fertiliſſimae, provinciae incolas ſaepe mutaverunt. Solae Arcadia et Attica indigetes habent. 3. Ante

Atticam intelligit. Verba autem ἐς τὰ ἄλλα μὴ ὁμοίως, non ad *μετοικίας*, ſed ad *αὐξηθῆναι* relata, vertit: „ceteris rebus non tantopere auctam eſſe, quantopere incolis." Cuius rei argumentum in proximis verbis: ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος — a Thucydide afferri docet. — ἀνεχώρουν. Heraclidas et Meſſenium Melanthum Scholiaſtes commemorat. Addere poterat Iones, ab Aohaeis ex Peloponneſo pulſos, Atticorum cognatos, qui et ipſi Iones erant. Vid. 1, 6. 4, 57. cf. Herodot. 8, 44. — Paullo ante ὡς βέβαιον ὄν (int. χωρίον) ad Athenienſes pertinet per appoſitionem ſatis frequentem apud utriusque linguae ſcriptores, qui ſaepiſſime ab urbe vel terra ad incolas transeunt, et viciſſim. 3, 5. πλὴν Μηθύμνης· οὗτοι δὲ — ἐβεβοηθήκεσαν. 1, 136. ἐς Κέρκυραν, ὧν αὐτῶν εὐεργέτης. 8, 48. Τὰς ξυμμαχίδας πόλεις — εὖ εἰδέναι, ἔφη, ὅτι οὐδὲν μᾶλλον σφίσιν οὔθ' αἱ ἀφεστηκυῖαι προσχωρήσονται, οὔθ' αἱ ὑπάρχουσαι βεβαιότεραι ἔσονται. Οὐ γὰρ βουλήσεσθαι αὐτοὺς μετ' ὀλιγαρχίας ἢ δημοκρατίας δουλεύειν μᾶλλον, ἢ — ἐλευθέρους εἶναι. Ita a navibus ad nautas fit transitus 2, 83 extr. 6, 53 init. et viciſſim a nautis ad naves 8, 102.

3. δοκεῖ δέ μοι. Haec lectio ſe ipſa quaſi tuetur variata loci conformatione. Nam primum eſt εἶχεν, deinde εἶναι ἡ ἐπίκλησις, tertio loco καλεῖσθαι Ἕλληνας, relatum ad καθ' ἑκάστους, quod h. l. non nominativi, ſed accuſativi vim habet. Tamen nihil horum lectorem offendit, ob nativum orationis tenorem; quamquam grammaticus unus et alter modo ἔχειν, modo δοκεῖν legere tentavit.

Ἕλληνος δὲ — ἰσχυσάντων. Conſtat, Hellenes primum exiguam Theſſaliae partem inco-

Φθιώτιδι ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας οὐ μέντοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. Τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος. πολλῷ γὰρ ὕστερον ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι, καὶ Ἀργείους, καὶ Ἀχαιοὺς ἀνακαλεῖ. οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω

Troianum bellum nulla umquam res communi opera geſta.

luiſſe; indeque cum ipſis profectum nomen in omnes ſenſim Graeciae terras emanaſſe. Auctor rei praeter Noſtrum eſt Homerus, ad quem paullo inferius provocat Thucydides, Il. β, 683 ſeq. *Οἵ τ' εἶχον Φθίην ἠδ' Ἑλλάδα καλλιγύναικα· Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.* Cf. Il. ι, 395. π, 595.

καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ. Genitivus *ἐπαγομένων* non poteſt referri ad *Ἕλληνος καὶ τῶν παίδων αὐτοῦ*, licet eo referendum ſit, quod modo praeceſſit, *ἰσχυσάντων*. Nam *ἐπάγεσθαί τινα* eſt *arceſſere aliquem*, ut 2, 68. *ξυνοίκους ἐπηγάγοντο.* Cf. 2, 2. *ἐπηγάγοντο*, et inferius *ἐπαγομένοις.* 5, 45. *ἐπαγάγωνται τὸ πλῆθος.* Et ſic ubique apud noſtrum ſcriptorem. Ergo ad *ἐπαγομένων* aliud ſubiectum ſubaudiendum eſt *τῶν ἀνθρώπων.* Etiam alibi ſubiectum praeter opinionem mutatur. 5, 59. *ἀλλὰ καταβάντες* (int. *οἱ Ἀργεῖοι*, cum de Boeotis ſermo eſſet). V. ad 1, 39. *Ὠφέλεια* Thucydidi eſt *ξυμμαχία.* Hellenes igitur ex ſociotate cum ceteris Graeciae populis converſantes, ſuum cum his paullatim nomen communicarunt, ita ut civitates cum iisdem commercium habentes, quamvis varia ſingulae de gente, poſthac communi appellatione Hellenes nominarentur.

ὕστερον. Ita repoſui codd. plerorumque omnium auctoritate, pro *ὕστερος.* — *οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν*, nempe *Ἕλληνας.* Fruſtra huic argumento adverſatur Strabo. *Πανέλληνας* quidem Homerus (Il. β, 530) Graecos appellat, ſicut alibi *Παναχαιούς*, etſi illud Ariſtarcho Zenodotoque ſuſpectum viſum eſt. At haec ipſa nominis epitaſis ſatis demonſtrat, univerſale totius populi nomen hoc nondum fuiſſe. Atqui ſi ullo in loco *Ἕλληνες* de omnibus Graecis accipiendum eſſet, nihil inde efficeretur, niſi huius gentis nomen haud ſecus atque aliarum gentium, v. c. *Ἀργείων, Ἀχαιῶν*, nomina, tam celebratum fuiſſe, ut eo ad communem omnium denominationem poëta abuti potuerit.

οὐδὲ βαρβάρους εἴρηκε. Non negat Thucydides, vocem *βάρβαρος* Homeri aetate et fuiſſe et peregrini quid indicaſſe (Il. β, 867. *Καρῶν βαρβαροφώνων*); negat, eam omnes exteros, tamquam Hellenibus oppoſitos, complexam eſſe. Cf. Od. ϑ, 294.

(ὡς ἐμοὶ δοκεῖ) ἀντίπαλον ἐς ἓν ὄνομα ἀποκεκρίσθαι. Οἱ δ᾽ οὖν ὡς ἕκαστοι Ἕλληνες κατὰ πόλεις τε, ὅσοι ἀλλήλων ξυνίεσαν, καὶ ξύμπαντες ὕστερον κληθέντες, οὐδὲν πρὸ τῶν Τρωϊκῶν δι᾽ ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν. ἀλλὰ καὶ ταύτην τὴν στρατείαν, θαλάσσῃ ἤδη τὰ πλείω χρώμενοι, ξυνῆλθον.

4. Μίνως γὰρ παλαίτατος, ὧν ἀκοῇ ἴσμεν, ναυτικὸν ἐκτήσατο, καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε· καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε, καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο, Κᾶρας ἐξελάσας, καὶ τοὺς ἑαυτοῦ παῖδας ἡγεμόνας ἐγκαταστήσας. τό,τε λῃστικὸν, ὡς εἰκὸς, καθῄρει ἐκ τῆς θαλάσσης, ἐφόσον ἠδύνατο, τοῦ τὰς προσόδους μᾶλλον ἰέναι αὐτῷ.

Ne nomen quidem unum atque idem Graecos coniunxit, ipſo Homero teſte, qui, multo poſt illud bellum florens, nusquam univerſos appellat Hellenes. 4. Minos primus claſſem paravit, ex Cycladibus Cares eiecit, praedonesque

Pro εἰς dedi ἐς, codd. iubentibus et conſtanti Thucydidis uſu.

ὅσοι ἀλλήλων ξυνίεσαν. In eandem ſententiam convenerunt Bauerus et Kiſtemakerus, haec verba intelligenda eſſe: „quicunque inter ſe congreſſi eſſent.“ Sed huic rationi nec verbi ξυνίημι vis convenit, nec genitivus ἀλλήλων. De linguae communione alii rectius acceperunt, quamquam Bredovius negat, Pelaſgorum et Hellenum linguas tam diverſas fuiſſe, ut alteri alteros non poſſent intelligere. Vertit igitur: *wie viel von einander wuſsten.* Mihi Thucydides ſignificare videtur, et Hellenes, qui antiquitus non niſi *ſe ipſos mutuo intelligebant*, et poſtea omnes, quos illud nomen complectebatur, ante Troiana tempora nihil coniunctis viribus geſſiſſe; quam eandem ſententiam etiam Poppo p. 192. defendit. Cf. Herodot. 1, 57.

τὴν στρατείαν — ξυνῆλθον. Subaudi ἐς, κατά. „Sed et haec ipſa expeditio in ea incidit tempora, cum iam longinquiores per mare curſus tentarent.“ His autem verbis transitum parat ad ſequentem expoſitionem de rei navalis initiis et praedandi uſu.

4. *Κᾶρας ἐξελάσας.* De Caribus ab his diverſa affert Herodotus 1, 171. Cretenſes quidem, illo auctore, narrabant, Cares primum in inſulis habitaſſe, Minoi parentes; poſt a Dorienſibus et Ionibus ex inſulis eiectos. Ipſi autem Cares tradebant, ſe aborigines in continente eſſe.

5. Οἱ γὰρ Ἕλληνες τὸ πάλαι, καὶ τῶν βαρβάρων οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι, καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους, ἐτράποντο πρὸς λῃστείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων, κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα, καὶ τοῖς ἀσθενέσι τροφῆς· καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις, καὶ κατὰ κώμας οἰκουμέναις, ἥρπαζον, καὶ τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο· οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον· δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς τοῦτο δρᾷν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν, τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν· ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τ' ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. Ἐλῄζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους. καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος τῷ παλαιῷ τρόπῳ νέμεται, περί τε Λοκροὺς τοὺς Ὀζόλας, καὶ Αἰτωλοὺς, καὶ Ἀκαρνᾶνας, καὶ τὴν ταύτῃ ἤπειρον. τό,τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις ἀπὸ τῆς παλαιᾶς λῃστείας ἐμμεμένηκε.

coërcuit. 5. Antiquitus enim et Graeci et barbari praedabantur; more olim non ignominioſo, etiam Auctoris

5. κέρδους τοῦ σφετέρου αὐτῶν ἕν. Legendum αὑτῶν, non αὐτῶν. 2, 12. ἐπὶ τὰ σφέτερα αὐτῶν. 1, 32. ἡμέτερα αὐτῶν. Cf. 4, 97 extr. 6, 68. 72. 83. et not. ad 4, 102. — Οἱ ἀσθενεῖς opponuntur τοῖς δυνάτοις.

τὸν πλεῖστον τοῦ βίου pro τὸ πλεῖστον τοῦ βίου. Saepe Noſter utitur hac formula, de qua agit Wolfius ad Demoſth. Lept. p. 225.

καλῶς τοῦτο δρᾷν, i. e. aſtute, ſcite, fortiter, ut nequo conſilium diripiendi detegatur, neque in ipſo furto deprehenſus raptor vi opprimatur, quae virtus etiam ſeriore aetate apud Spartanos erat in laude.

τὰς πύστεις — ἐρωτῶντες. Reſpicit ad Hom. Od. γ, 71 ſqq. et ſimiles locos. — τὴν πύστιν ἐρωτᾷν eſt τὴν πύστιν ποιεῖσθαι, quemadmodum ἐρώτησιν ἐρωτᾷν dici ſolet. H. l. autem ἐρωτᾷν dictum eſt pro ποιεῖν ἐρωτῶντας, *inducere percontantes, fingere interrogantes.* — ὧν πυνθάνονται, i. e. ἐκείνων, οὓς πυνθάνονται. Cf. cap. 4. παλαίτατος, ὧν ἀκοῇ ἴσμεν.

6. Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰς ἀφράκτους τε οἰκήσεις, καὶ οὐκ ἀσφαλεῖς παρ᾽ ἀλλήλους ἐφόδους· καὶ ξυνήθη τὴν δίαιταν μεθ᾽ ὅπλων ἐποιήσαντο, ὥςπερ οἱ βάρβαροι. σημεῖον δ᾽ ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμόμενα τῶν ποτὲ καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. Ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο, καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέστησαν. καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων, διὰ τὸ ἁβροδίαιτον, οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. ἀφ᾽ οὗ καὶ Ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς ἐπὶ πολὺ αὕτη ἡ σκευὴ κατέσχε. Μετρίᾳ δ᾽ αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι Λακεδαιμόνιοι ἐχρήσαντο· καὶ ἐς τὰ ἄλλα πρὸς τοὺς πολλοὺς οἱ τὰ μείζω κεκτημένοι ἰσοδίαιτοι μάλιστα κατέστησαν. ἐγυμνώθησάν τε πρῶτοι, καὶ ἐς τὸ φανερὸν

aetate Locris Ozolis, Aetolis, Acarnanibusque usitato, quare armati prodeunt. 6. Qui mos arma gerendi olim omnibus Graecis erat communis. Athenienses primi arma

6. ἐν τοῖς πρῶτοι δὲ Ἀθ. Vid. ad 3, 17. cf. 3, 81.

καὶ οἱ πρεσβύτεροι — τριχῶν. Aureas cicadas gestare non contingebat, ut credibile est, nisi opulentis. Eorum seniores, ut ubique tenax est morum antiquorum senectus, serius ceteris, i. e. iunioribus, illud capitis ornamentum deposuerunt, quod molliorem eorum vivendi rationem prodit (διὰ τὸ ἁβροδίαιτον). Haec enim verba referenda sunt ad ἐπαύσαντο φοροῦντες καὶ — ἀναδούμενοι. Lectionem ἐνέρσει, *insertione*, melioribus interpretibus probatam, praetuli vulgato ἐν ἕρσει. Mos erat veterum Atheniensium, capillos in coni speciem formare et colligere in vertice (nam is est κρωβύλος, Latinorum *tutulus*); cui crinium metae aureas cicadas inserebant.

μετρίᾳ δ᾽ αὖ ἐσθῆτι — κατέστησαν. *Mediocris vestitus* ex mente Nostri videtur esse is, qui divitibus pauperibusque sine discrimine communis est. Nam ita in sequentibus verbis ipse explicat, addens ἐς τὰ ἄλλα ἰσοδίαιτοι, nempe victu et cultu, institutione puerili, armorum usu cet.

ἐγυμνώθησάν τε πρῶτοι. Bauerus contra Gottleberum monet, nudatos *cum subligaculo* intelligendos esse. Haec tamen interpretatio a mente Thucydidis recedit. Quid enim innovasse putandi essent Lacedaemonii, si idem fecissent, quod maiores eorum Troianis temporibus? Etiam sequentia probant, pri-

ἀποδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο. Τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο· καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. Ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις ἔστιν οἷς νῦν, καὶ μάλιστα τοῖς Ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται, καὶ διεζωσμένοι τοῦτο δρῶσι. Πολλὰ δ᾽ ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον.

7. Τῶν δὲ πόλεων ὅσαι μὲν νεώτατα ᾠκίσθησαν, καὶ ἤδη πλωϊμωτέρων ὄντων, περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ᾽ αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο, καὶ τοὺς ἰσθμοὺς ἀπελάμβανον, ἐμπορίας τε

deposuerunt, molilioremque vitae rationem receperunt; Lacedaemonii autem primi mediocri vestimento usi sunt. 7. Propter praedationem urbes vel muniebantur, vel re-

ſcum illum ſubligaculorum uſum Thucydidis temporibus ne in Olympiis quidem valuiſſe, eiusque veſtigium niſi in barbarorum ritu amplius exſtare nullum. Itaque ne in gymnaſiis quidem campeſtri utebantur Graeci. Sed quod addit: *καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται*, Meurſium induxit, ut negationem tolli iuberet, quia aliunde conſtaret, id tribus ante ſaeculis factum eſſe. Sed primum illud minime conſtat, verum potius aliter ab aliis traditur; tum Thucydidis teſtimonium tantundem valere debebit, quantum Euſtathii aliorumque Scholiaſtarum et vel Dionyſii Halic.; denique apertum eſt, Thucydidem voluiſſe oſtendere, diuturnum morem nuper demum evanuiſſe, etſi illud *nuper* in re per multa ſaecula continuata, vel de ſaeculo uno et altero accipi poterit. Non magis urgendum eſt, quod Lacedaemonios primos ſe ad certamen nudaſſe ait, cum, Cretenſes id iam prius feciſſe, memoriae proditum ſit. Poterat enim auctor nunc tantummodo de Graecis Helladem incolentibus cogitare.

ἐς τὸ φανερὸν ἀποδύντες. Bauerus tentat: *in publicum, in conſpectum prodeuntes*, quae interpretatio alteram difficultatem tollit, altera eaque graviore impedita eſt. Nam *ἀποδύειν* an umquam ſignificet *prodire*, dubito. Si vero explicas: *exutis palam veſtibus*; primum hic aoriſtus ſecundus activi proprius eſt medio, deinde *ἐς τὸ φανερὸν* pro *ἐν τῷ φανερῷ*, vel *φανερῶς*, non infrequens locutio eſt. — *λίπα* pro *λίπα*, *λίπαϊ*, ex Homerico uſu ſervatum videtur. Cf. 4, 68. — *Ἀσιανοί* in univerſum Aſiatici ſunt, ſed haud dubie Thucydides quosdam citerioris Aſiae populos intelligit, quos fere ſolos tum temporis Graeci accuratius noverant.

ἕνεκα καὶ τῆς πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος· αἱ δὲ παλαιαὶ, διὰ τὴν λῃστείαν ἐπὶ πολὺ ἀντισχοῦσαν, ἄπο θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵ τε ἐν ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις· (ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι κάτω ᾤκουν·) καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμένοι εἰσί.

8. Καὶ οὐχ ἧσσον λῃσταὶ ἦσαν οἱ νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες. οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν. μαρτύριον δέ· Δήλου γὰρ καθαιρομένης ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ, καὶ τῶν θηκῶν ἀναιρεθεισῶν, ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ Κᾶρες ἐφάνησαν, γνωσθέντες τῇ τε σκευῇ

motioribus a littore locis condebantur. 8. Nec minime iu-

7. *ἀντισχοῦσαν*, *obdurantem.* Hanc verbi *ἀντέχω* vim tuetur locus 7, 71. *ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας.* Simile est nostrum *gegenhalten*, i. e. durare, vigere. Olim legebatur *ἀντισχοῦσαι*, quod Wyttenb. tuetur, et meliorum codicum fide defendi potest: ,,diu obluctantes." At enim vero antiquas urbes piratis diu restitisse, non est verisimile.

καὶ ἐν ταῖς ἠπείροις. Stephanus inserit *αἱ* post *καὶ*, sine necessitate.

ἔφερον γὰρ ἀλλήλους, *ἐλῄστευον*, alibi plenius *φέρειν καὶ ἄγειν*, ut Hom. Il. ε, 484. Herodot. 1, 88. 6, 90. — Ceterum crebram generis mutationem observa: *πόλεων ὅσαι — ἕκαστοι — αἱ παλαιαὶ — ἀλλήλους — ἀνῳκισμένοι.* v. ad cap. 2 extr.

τῶν ἄλλων ὅσοι. Propter *ἀλλήλους* subaudiendus est accusativus *ἐκείνους* ante *ὅσοι*, non nominativus, ut Levesquius volebat.

ἀνῳκισμένοι εἰσί. Wyttenb. legendum censet *ἀνῳκισμέναι.* Idem sentit Gottleberus, addita ratione, quod non homines, sed urbes *οἰκίζεσθαι* dicantur. Quod argumentum ut ipsum non est verum (vid. 6, 4.), ita in hac frequentissima urbium et civium permutatione, non opus est illa correctione, quae etiam ad *ἕκαστοι* paullo ante pertineret, quae lectio minus etiam vel attentum lectorem offendit.

8. *ᾤκησαν.* Non video, cur ab hac scriptura recedendum sit. Sequentia, quibus haec confirmantur, non docent, Cares has insulas incolis replevisse, sed ipsos ibi habitasse; cf. etiam supra cap. 4. Altera lectio *ᾤκισαν* ex Iotacismo orta videtur. Similis vocalium permutatio mox in voce *ξυντεθαμμένη* obtinuit, pro qua in codd. et edd. nonnullis est *ξυντεθαμμένοι*, quod vel ipsum suos nactum est patronos.

γνωσθέντες τῇ τε σκευῇ. Ad haec Scholiastes: *Κᾶρες πρῶτοι εὗρον τοὺς ὀμφαλοὺς τῶν ἀσπίδων, καὶ τοὺς λόφους· τοῖς οὖν ἀποθνήσκουσι συνέθαπτον ἀσπιδίσκιον μικρὸν, καὶ λόφον, σημεῖον τῆς εὑρέσεως. Καὶ ἐκ τούτου ἐγνωρίζοντο οἱ Κᾶρες. Οἱ δὲ Φοίνικες, ἐκ τοῦ τρόπου τῆς ταφῆς. τῶν ἄλλων γὰρ ἐπ' ανατο-*

τῶν ὅπλων ξυντεθαμμένῃ, καὶ τῷ τρόπῳ, ᾧ νῦν ἔτι θάπτουσι. Καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ, πλωϊμώτερα ἐγένετο παρ' ἀλλήλους· οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτεπερ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε. Καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιούμενοι, βεβαιότερον ᾤκουν· καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι. Ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵ τε ἥσσους ὑπέμενον τὴν τῶν κρεισσόνων δουλείαν, οἵ τε δυνατώτεροι, περιουσίας ἔχοντες, προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις. Καὶ ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες, ὕστερον χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν.

9. Ἀγαμέμνων τέ μοι δοκεῖ, τῶν τότε δυνάμει προὔχων, καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις κατειλημμένους τοὺς Ἑλένης μνηστῆρας ἄγων, τὸν στόλον

ſulani praedationem exercebant. Poſt Minoëm autem, cuius claſſis mare tutum praeſtitit, validiores opibus civitates ſibi ſubiecerunt infirmiores. 9. Agamemnonis impe-

λὰς ποιούντων ὁρᾶν τοὺς νεκρούς, οἱ Φοίνικες ἐξεπίτηδες ἐπὶ δύσιν.

πλωϊμώτερα, pro πλωϊμώτερον, ut cap. 1. ἀδύνατα.

καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι. Redit ad recentiores civitates, de quibus dixerat ſupra cap. 7. init., et a quibus diſtinxerat antiquas illas, ante pacatum mare in oris ſitas, ſed tandem ob praedonum impetus in loca a littore remotiora translocatas.

μᾶλλον ἤδη — ποιούμενοι. *Magis iam dediti rei quaerendae ſtudio.* Cap. 13. Ἑλλάδος τῶν χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης.

ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι, intelligo cum Gottlebero: *ditiores, quam ipſi antea fuerant, facti.*

ἐν τούτῳ τ. τρ. μᾶλλον ἤδη ὄντες. „Atque huic opum quaerendarum ſtudio iam adſueti.“ Ad μᾶλλον ſubintelligas ἢ πρότερον, ut eſt in loco paullo ante allato. Satius hoc eſt, quam cum Gottleb. μᾶλλον iungere cum participio ὄντες, quod arctius nectendum eſt cum verbis ἐν τούτῳ τῷ τρ. — Pro ὑστέρῳ χρόνῳ ex trib. Mſſ. Pariſſ. aliisque ſcribendum eſſe *ὕστερον χρόνῳ*, iam plures monuere. Vid. ad 5, 34.

9. *τοῖς Τυνδάρεω ὅρκοις.* Tyndarus cum metueret, ne proci, quibus Helenam denegaret, inſurgerent et in ſe, et in ſponſum ejus, conſilio Ulyſſis uſus, omnes iureiurando obſtrinxit, ſe iniuriam, ſi qua genero illata fuiſſet, iunctis viribus propulſuros. Apollod. III, 10, 9.

ἀγεῖραι. Λέγουσι δὲ καὶ οἱ τὰ σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον δεδεγμένοι, Πέλοπά τε πρῶτον, πλήθει χρημάτων, ἃ ἦλθεν ἐκ τῆς Ἀσίας ἔχων ἐς ἀνθρώπους ἀπόρους, δύναμιν περιποιησάμενον, τὴν ἐπωνυμίαν τῆς χώρας, ἐπηλύτην ὄντα, ὅμως σχεῖν· καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι, Εὐρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως δὲ, μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν, κατὰ τὸ οἰκεῖον, Ἀτρεῖ· (τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου θάνατον) καὶ ὡς οὐκέτι ἀνεχώρησεν Εὐρυσθεὺς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι, καὶ τὸ πλῆθος τεθεραπευκότα, τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχε τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν, καὶ τῶν Περσειδῶν τοὺς Πελοπίδας μείζους καταστῆναι. Ἅ μοι δοκεῖ Ἀγαμέμνων παραλαβὼν, καὶ ναυτικῷ [τε] ἅμα ἐπὶ πλέον

rium amplissimum et in Peloponnoso et in insulis, undè

οἱ τὰ σαφέστατα Πελοποννησίων. Schol. male iungit τὰ Πελοποννησίων, ut σαφέστατα sit pro adverbio. Ne Gottleberus quidem, hoc arguens, locum recte cepisse videtur. Vertit enim, quasi Πελοπ. pendeat a τὰ σαφέστ.; cum tamen regatur ab οἱ δεδεγμένοι: Peloponnesiorum ii, qui certissima a maioribus acceperunt.

τὴν ἐπωνυμίαν — σχεῖν. Vehementer hic locus interpretes vexavit. Primus Kistemakerus rectam viam ingressus est, ἐπωνυμίαν *denominationem*, non *nomen* (ὄνομα) explicans. Est enim ἐπωνυμία, ut patet ex satis trito voc. ἐπώνυμος, eius qui *dat*, *tribuit*, nomen alicui rei (die Benamung). Ita ἄρχων ἐπων. Athenis nomen suum tribuit anno.

ἔτι μείζω ξυνενεχθῆναι. Intelligo, opes (δύναμιν) a patre fundatas, a filiis et posteris magis magisque auctas esse, auctiora iis evenisse.

Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ. Scholiastes Eurysthei matrem appellat Astydameam, eamque sororem Atrei perhibet. Apollodorus II, 4, 5 Eurysthei parentes Sthenelum et Nicippen, Pelopis filiam, nominat.

διὰ τὸν Χρυσίππου θάνατον. Ὁ γὰρ Πέλοψ τὸν Χρύσιππον τὸν υἱὸν ἀνεῖλεν· ὁ δὲ Ἀτρεὺς φοβούμενος μὴ τὸ αὐτὸ πάθῃ, ἔφυγεν. Ita Schol. At verisimilius Pausanias Eliac. 20. ipsum Atreum una cum fratre Thyesta hanc caedem patrasse narrat.

καὶ ναυτικῷ τε. Particulam τέ, quae abest a cod. Reg., nec habet quo referatur, cum

τῶν ἄλλων ἰσχύσας, τὴν στρατείαν, οὐ χάριτι τὸ πλεῖον ἢ φόβῳ ξυναγαγὼν, ποιήσασθαι. Φαίνεται γὰρ ναυσί τε πλείσταις αὐτὸς ἀφικόμενος, καὶ Ἀρκάσι προςπαρασχὼν, ὡς Ὅμηρος τοῦτο δεδήλωκεν, εἴ τῳ ἱκανὸς τεκμηριῶσαι. καὶ ἐν τοῦ σκήπτρου ἅμα τῇ παραδόσει εἴρηκεν αὐτὸν „ΠΟΛΛΗΙΣΙ ΝΗΣΟΙΣΙ ΚΑΙ ΑΡΓΕΪ ΠΑΝΤΙ ΑΝΑΣΣΕΙΝ.“ Οὐκ ἂν οὖν νήσων ἔξω τῶν περιοικίδων (αὗται δὲ οὐκ ἂν πολλαὶ εἴησαν) ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι καὶ ναυτικὸν εἶχεν. Εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατείᾳ, οἷα ἦν τὰ πρὸ αὐτῆς.

10. Καὶ ὅτι μὲν Μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τότε πόλισμα νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώμενος ἀπιστοίη, μὴ γενέσθαι τὸν στόλον τοσοῦτον, ὅσον οἵ τε ποιηταὶ εἰρήκασι, καὶ ὁ λόγος κατέχει. Λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως, προελθόντος

ſit partum. 10. Neque illud quidem dubium, bellum

Poppone (l. c. p. 155.) eiiciendam eſſe cenſeo. Cf. ad 1, 135.

τὴν στρατείαν — ποιήσασθαι. στρατείαν recte defendunt interpretes hic et paullo inferius in huius capitis fine. Olim legebatur στρατιὰν, ſolemni permutatione. — In verbis *οὐ χάριτι τὸ πλεῖον*, reſpicit Homericum illud Od. ε, 307: χάριν Ἀτρείδῃσι φέροντες. — τὸ πλεῖον ſimpliciter pro μᾶλλον. Bauerus, qui putat eſſe poſſe pro τοὺς πλείονας, non advertit, huic rationi adverſari particulam ἤ, quae comparativum, quo referatur, deſideret, cuiusque loco ſcribendum erat ἀλλά, propter antecedentem negationem. Nihil facilius et apud noſtrum uſitatius eſt, quam ſubaudire στρατιὰν ex cognato στρατείαν.

καὶ Ἀρκάσι προςπαρασχών. Vid. Hom. Il. β, 612 ſeqq.

ἐν τοῦ σκήπτρου — παραδόσει. Hom. Il. β, 101 — 109 ſucceſſio ſceptri per maiores Agamemnonis enarratur. Hunc locum tamquam peculiarem Iliadis partem illis verbis ſignificat. Ibi is quoque verſus, quem hic laudat, legitur (108).

εἰκάζειν δὲ χρή. A mente Thucydidis aberraſſe videtur Scholiaſtes, haec ita explicans: εἰ γὰρ τὰ οὕτως ὑμνούμενα εὐτελῆ ἦν, πόσῳ μᾶλλον τὰ πρὸ αὐτῶν; Cum enim de Agamemnonis potentia, in Troiana expeditione ceteris omnibus praeſtante, dixiſſet, quid inde aliud colligi poſſit, niſi iam ante haec tempora Agamemnonis imperium pervalidum fuiſſe? Sequentibus haec probantur.

10. *μικρὸν ἦν*, int. πόλισμα. In *ἀπιστοίη μὴ γεν.* duplex negatio ſuam habet vim: non certo argumento quis dubitet, expeditionem hanc tantam fuiſſe.

πολλοῦ χρόνου, τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι. καίτοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμονται, τῆς τε ξυμπάσης ἡγοῦνται, καὶ τῶν ἔξω ξυμμάχων πολλῶν· ὅμως δέ, οὔτε ξυνοικισθείσης πόλεως, οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ οἰκισθείσης, φαίνοιτ' ἂν ὑποδεεστέρα· Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων, διπλασίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως, ἢ ἔστιν. Οὔκουν ἀπιστεῖν εἰκὸς, οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν ἢ τὰς δυνάμεις· νομίζειν δὲ τὴν στρατείαν ἐκείνην μεγί-

Troianum omnibus ſuperioribus bellis maius, hoc autem

τῶν πέντε τὰς δύο μοίρας. Ne h. l. cogites de provinciis Peloponneſi, quarum ſex plerumque feruntur, aut, ſi Corinthus cum Sicyone ab Achaia ſeparantur, octo. Sententia eſt: Totius Peloponneſi partes duas ex quinque Lacedaemonii tenent, itaque paene dimidiam. — *Poppo* quidem (p. 118) vocabulum *μοίρας*, cuius loco codd. Ar. C. Dan. Moſq. habent *δυνάμεις*, delendum cenſet, et Thucydidem ſimpliciter ſcripſiſſe putat *τῶν πέντε τὰς δύο*. Sed illi codices, ipſo iudice, corruptiſſimi ſunt interpretamentis, et alibi ſemper, quantum obſervavi, numeralibus addit Thucydides *μοίρας* vel *μέρη*. v. 1, 74. 2, 10. 47.

οὔτε ξυνοικισθείσης πόλεως. Stephanus, quem ſequitur Poppo, articulum *τῆς* ante *πόλεως* excidiſſe putat, quia de certa quadam urbe ſermo ſit. Sed videndum potius, an forte ipſum vocabulum *πόλεως* ex interpretatione ortum fuerit. Saepe Noſtrum transire ab urbe ad cives, a civibus viciſſim ad urbem, notiſſimum eſt. Vid. ad cap. 2 extr. Atque hoc quidem in loco facillime feras hunc transitum, cum ſupra non ſolum fuerit *Λακεδαιμονίων*, ſed etiam *ἡ πόλις*. Sane, ſi *πόλεως* genuinum ſit, articulus neceſſario fuerit addendus. — Comparativus *ὑποδεεστέρα* reſpicit ad omiſſum genitivum *τοῦ αὐτῆς κλέους*. Sic paullo ante *πρὸς τὸ κλέος αὐτῶν*. Cap. 2. *ὑποδεέστερα ὄντα τῆς φήμης*.

τὸ αὐτὸ τοῦτο παθόντων. Hoc referendum eſt ad verba *εἰ — ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατασκευῆς τὰ ἐδάφη*. Infinitivum *εἰκάζεσθαι* non intelligas, niſi revocato verbo *οἶμαι*; quare ante *Ἀθηναίων δὲ* minorem interpunctionem induxi.

ἢ ἔστιν. Iis, quae Bauerus de ſcholiis ad haec verba recte annotavit, addo, pro *τῆς ἔπειτα* legendum eſſe *τοῖς ἔπειτα*.

τὴν στρατείαν ἐκείνην. Cum Benedicto recepimus codicum quorumdam lectionem *στρατείαν*. Nam in ſequentibus Thucydides agit de numero vel navium, vel copiarum, quae in expeditione adverſus Troiam erant; et ſupra init. cap. *στόλον* dixerat, quod cap. 9 extr. erat *αὕτη ἡ στρατεία*. Quae ad verba h. l.

στην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην δὲ τῶν νῦν· τῇ Ὁμήρου αὖ ποιήσει εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν ποιητὴν ὄντα κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα. Πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν τὰς μὲν Βοιωτῶν, εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν· τὰς δὲ Φιλοκτήτου, πεντήκοντα· δηλῶν, ὡς ἐμοὶ δοκεῖ, τὰς μεγίστας καὶ ἐλαχίστας. ἄλλων γοῦν μεγέθους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη. Αὐτερέται δὲ ὅτι ἦσαν καὶ μάχιμοι πάντες, ἐν ταῖς Φιλοκτήτου ναυσὶ δεδήλωκε. τοξότας γὰρ πάντας πεποίηκε τοὺς προςκώπους. Περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν, ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει· ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι μετὰ σκευῶν πολεμικῶν· οὐδ' αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ ληστικώτερον παρεσκευασμένα. Πρὸς τὰς μεγίστας γοῦν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι, οὐ πολλοὶ φαίνονται ἐλθόντες, ὡς ἀπὸ πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι.

Peloponneſiaco minus fuiſſe, etiamſi Homero fidem ha-

ſpectant illa, *τὴν στρατείαν ἐκείνην*.

ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον. Matthiae coniiciebat *ὃν — μεῖζον ἂν ποιητὴν ὄντα.* Sed quis ſibi perſuadeat, *ὃν* in *ἣν* mutari potuiſſe? Contrarium potius ſi poneretur, veri ſimilius eſſet. Deinde *μέν*, non ſequente *δέ*, et viciſſim hoc, omiſſo illo, non raro invenitur. Prioris generis exemplum exſtat 1, 69. poſterioris ubique exempla reperies. Vid. ad cap. 12.

χιλίων καὶ διακ. Accurate ſi numerum ineas, erunt 1186.

νεῶν τὰς μέν. Suſtuli colon poſt *νεῶν*. Ita enim expeditior procedit narratio. Sic etiam Bredovius. Locum Homeri de Boeotorum navibus. v. Il. β, 510.

ἐν ταῖς — δεδήλωκε. V. Il. β, 719 ſeq. Interpunctionem correxi, Kiſtemakero aliisque ſuadentibus, et ratione poſtulante. Olim ante *δεδήλωκε* demum diſtinguebatur.

περινεῷ, ἐπιβάται, qui *τοῖς προσκώποις* ſive *ἐρέταις* opponuntur.

μετὰ σκευῶν πολεμικῶν. Scholiaſta *τὰ ὅπλα* intelligere videtur. Et quid aliud illis temporibus exſpectemus? Certe vel arma, cum naves ſine tabulatis eſſent, magnam ſpatii partem requirebant.

τὸ μέσον. Medium numerum quaerit inter 120 et 50, qui eſt 85. Inde, cum 1200 naves fuerint, efficitur totius exercitus numerus 102000 hominum (*μυριάδων δέκα καὶ δισχιλίων*), qui

11. *Αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον, ὅσον ἡ ἀχρηματία. Τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλάσσω ἤγαγον, καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν· ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, (δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο·) φαίνονται δ' οὐδ' ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χερσονήσου τραπόμενοι καὶ λῃστείαν, τῆς τροφῆς ἀπορίᾳ. ᾗ καὶ μᾶλλον οἱ Τρῶες, αὐτῶν διεσπαρμένων, τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ, τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες. Περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς, καὶ ὄντες ἀθρόοι, ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον·*

beamus. 11. Non autem hominibus, ſed opibus carebant illa tempora, quod obſidione Troiae diuturna probatur.

pauci videbantur Thucydidi, conſideranti, eos ex omni Graecia miſſos eſſe. — Paullo ante pro *ξυνελθόντες* cum Benedicto ex multis iisque melioribus libris dedimus *ἐλθόντες*, profecti in bellum. Illud ex falſa interpretatione ortum videtur.

11. *ἐπειδὴ δὲ ἀφικομ. μάχῃ ἐκράτησαν.* Heilmanni interpunctionem, iam aliis probatam, ſecutus ſum. Quaecumque ab hac diverſa alii tentarunt, inſcita ſunt. *Δέ* in apodoſi eſſe, et Bredovius ad h. l. docet, et Poppo l. c. p. 16. Sed *δέ*, quod eſt poſt *ἐπειδή*, referendum eſt ad *τέ*, quod praeceſſerat. Nam *καί* ante *ὅσον ἤλπιζον* eo referri nequit, quod modo illuſtrat notionem *τοῦ ἐλάσσω:* exercitum minorem et quantum inde ſperabant ſe ſuſtentaturos. Si *καί* ad *τέ* referendum eſſet, Thucydides ſcripſiſſet: *τὸν στρατὸν ἐλάσσω τε ἤγ. καὶ ὅσον.* — Structuram iſtam illuſtrant loci 3, 52. *τοῖς τε ἀδίκοις κολάζειν, παρὰ δίκην δὲ οὐδένα.* 8, 48. *Ἀλλ' ὅ,τε Ἀλκιβιάδης — σφίσι δὲ περιοπτέον εἶναι.* — *Μάχῃ*, in qua Proteſilaus occiſus eſt. Il. *β*, 698.

Χερσονήσου. Ita in Thucydidis libris conſtanter ſcribendum videtur propter analogiam aliorum vocabulorum, de quibus docte egit Poppo Obſ. crit. p. 147., cuius tamen ſententiam de ſcriptura *Χεῤῥονήσου*, quam, unius cod. auctoritate motus, veram putat, accipere non poſſumus.

ἀντεῖχον, βίᾳ — ἀντίπαλοι ὄντες. Cum *βία* non ſit *viribus*, *δυνάμει*, ſed *impetu*, *vi* cuius contrarium h. l. dolus cogitari poſſit, pronior ſum in eam interpunctionem, quam poſt Stephanum et Reiskium ſecutus eſt Gottleberus: *ἀντεῖχον βίᾳ, τοῖς ἀεὶ ὑπολ. ἀντίπαλοι ὄντες.* *Ἀντίπαλοι* eſt *ἀντάξιοι*, pares.

ξυνεχῶς τὸν πόλεμον διέφερον. Scholiaſta: *ὑπέμενον, ἐπιμελῶς ἐξήνυον, διήνυον.* Infra 6, 54. item *τοὺς πολέμους διέφερον.* Herodot. 5, 99. *τὸν πρὸς Χαλκιδέας πόλεμον συνδιένεικαν.* Latini *bellum tolerare*, *perferre* dicunt.

οἵ γε καὶ οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ παρόντι ἀντεῖχον· πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι, ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν Τροίαν εἷλον. Ἀλλὰ δι' ἀχρηματίαν, τά τε πρὸ τούτων ἀσθενῆ ἦν, καὶ αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης, καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου κατεσχηκότος.

12. Ἐπεὶ καὶ μετὰ τὰ Τρωϊκὰ ἡ Ἑλλὰς ἔτι μετανίστατό τε καὶ κατῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνεόχμωσε, καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπὶ πολὺ ἐγίγνοντο, ἀφ' ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον. Βοιωτοί τε γὰρ οἱ νῦν, ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν, τὴν νῦν μὲν Βοιωτίαν, πρότερον δὲ Καδμηΐδα γῆν καλουμένην ᾤκισαν· (ἦν δὲ αὐτῶν καὶ ἀποδασμὸς πρότε-

12. Ne poſt Troica quidem Graecia requievit. Multae in civitatibus ſingulis ſeditiones, inde novae civitates ortae. Boeoti quidem, LX annis poſt Troiae excidium ex Arne a Theſſalis pulſi, terram Cadmeam occuparunt; LXXX annis

τῷ ἀεὶ παρόντι. Hanc lectionem ex codicum plurimorum et optimorum fide recepimus pro παρατυχόντι, quod interpretibus debetur. Illam Benedictus bene defendit. Ceterum παρόντι ſexto caſu accipe, pro διὰ τοῦ ἀεὶ παρόντος, vel σὺν τῷ ἀεὶ παρόντι.

12. ἐνεόχμωσε. Reſcripſi ex tribus optimis codicibus ἐνεόχμωσε pro ἐνεώχμωσε. Illud ſolum et Schneiderus in Lexico agnoſcit, et Benedictus ad hunc locum, quocum paullo ante eiiecimus vulgatum μετῳκίζετο.

ᾤκισαν. Etſi haec lectio in uno tantum codice, Par. A., invenitur, (reliqui enim ᾤκησαν praebent;) tamen recipienda eſt, ut rei narratae unice apta. Enarrantur enim per totum caput κτίσεις πόλεων, et anni adeo indicantur, quibus Boeoti Arne, Theſſaliae civitate, in Boeotiam, Dorienſes in Peloponneſum migraverint. — Paullo ante in verbis τὴν νῦν μὲν Βοιωτίαν — particulam μὲν, quae abeſt a quatuor codd.; delet Poppo (p. 26.), allatis quibusdam locis, ubi μὲν ante δὲ omittitur, quibus addi poſſunt 1, 19. οὐχ ὑποτελεῖς ἔχοντες — κατ' ὀλιγαρχίαν δὲ —. 3, 27. ὁ Σάλαιθος — ὁπλίζει τὸν δῆμον —, οἱ δὲ —. 3, 55. Καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων. 4, 7. Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν. 1, 86. πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς κακοὶ νῦν. 1, 95 extr. οἱ Λακεδαιμόνιοι φοβούμενοι — ἀπαλλαξείοντες δέ. Itaque probabilis ſane correctio; nec tamen a co-

ρον ἐν τῇ γῇ ταύτῃ, ἀφ' ὧν καὶ ἐς Ἴλιον ἐστράτευσαν·) Δωριεῖς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον· μόλις τε ἐν πολλῷ χρόνῳ ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως, καὶ οὐκέτι ἀνισταμένη, ἀποικίας ἐξέπεμπε· καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ νησιωτῶν τοὺς πολλοὺς ᾤκισαν, Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι, τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία· πάντα δὲ ταῦτα ὕστερον τῶν Τρωϊκῶν ἐκτίσθη.

13. Δυνατωτέρας δὲ γενομένης τῆς Ἑλλάδος, καὶ τῶν χρημάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων μειζόνων γιγνομένων· (πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι) ναυτικά τε ἐξηρ-

poſt Troiam everſam Dorienſes cum Heraclidis in Peloponneſum invaſerunt. Et deinceps coloniae in Ionia et in inſulis Athenienſium, in Sicilia Italiaque Peloponneſiorum maxime, exſtiterunt. 13. Auctis opibus, tyrannides ortae. Item rei navali maiorem operam dederunt imprimis

dicibus ſatis firmata. Nam in hoc genere cavendum eſt, ne librarii cuiusdam errorem pro genuina lectione habeamus; praeſertim cum de cognatione codicum Caſſel. et Aug. dubitari non poſſit; de Pariſienſium parum conſtet.

ἀφ' ὧν καὶ ἐς Ἴλιον ἐστ. int. τινές vel ἔνιοι. Ἀφ' ὧν pro ἀφ' οὗ, quia ἀποδασμός, *pars, portio*, collectivam habet notionem. Maior autem haec pars videtur fuiſſe, ſi Homero credimus Il. β, 496 ſeqq.

μόλις τε ἐν πολλῷ. Pro μόγις ex melioribus libris et hic et alibi reſcripſimus μόλις, tamquam Thucydideum, Popponem ſecuti, qui videndus l. c. p. 153. In extremis tamen Thucydidis libris (7, 40. 8, 27. 92.) ſine ulla varietate μόγις legitur.

ἐξέπεμπε. Hanc plerorumque omnium codd. lectionem cum aliis praetulimus vulgato ἐξέπεμψε. Imperfectum rei ſaepius factae aptiſſimum.

13. *γενομένης τῆς Ἑλλάδος.* Retineo γενομένης, a Benedicto poſthabitum alteri lectioni γιγνομένης. Illud in codicibus mutari poterat propter ſequens ποιουμένης. Tempora autem ſaepe variant, ſenſu poſtulante. Ita cap. 12 extr. erat ἡσυχάσασα — καὶ οὐκέτι ἀνισταμένη, ἀποικίας ἐξέπεμπε — ᾤκισαν. Eodem modo et hic narratur: Poſtquam potentior facta erat Graecia, et dum magis etiam quam antea rei parandae ſtudebat. — Illud iam factum erat, hoc etiam tum fiebat. Cf. c. 16. ἐπεγίγνετο — ἐπεστράτευσε.

πατρικαὶ βασιλεῖαι, ἀπὸ τῶν πατέρων παραλαμβανόμεναι κατὰ διαδοχὴν γένους. Schol. Recte monuit Wyttenbachius, πρότερον h. l. latius patere, neque ita accipi debere, ac ſi ex regia poteſtate hereditaria *continuo* ty-

τύετο ἡ Ἑλλὰς, καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο. Πρῶτοι δὲ Κορίνθιοι λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς, καὶ τριήρεις πρῶτον ἐν Κορίνθῳ τῆς Ἑλλάδος ἐνναυπηγηθῆναι. Φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς Κορίνθιος ναυπηγὸς ναῦς ποιήσας τέσσαρας. ἔτη δ' ἐστὶ μάλιστα τριακόσια ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλθε. Ναυμαχία τε παλαιοτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων πρὸς Κερκυραίους. ἔτη δὲ μάλιστα καὶ ταύτῃ ἑξήκοντα καὶ διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. Οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ, ἀεὶ δή ποτε ἐμπόριον εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων. Χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· (ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον) ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον ἐπλώϊζον, τὰς ναῦς κτησάμενοι τὸ ληστικὸν καθῄρουν· καὶ ἐμπόριον παρέχοντες ἀμφότερα, δυνατὴν ἔσχον

Corinthii, divitiis celebres. Praeter eos, navali bello primum inſignes, Iones Cyri tempore, et Polycrates, Cam-

rannis orta ſit. Quae cum ex democratia in plerisque civitatibus exſtitiſſet, Thucydides eam, tamquam monarchiae genus, comparat cum alio quodam genere monarchiae, prioribus ſaeculis uſitato et legitimo. — Ad *ἀντείχοντο* int. *οἱ Ἕλληνες*. Vid. ad cap. 2 extr.

ἐν Κορίνθῳ πρῶτον — ναυπηγηθῆναι. Recepimus cum Benedicto omnium fere codd. lectionem *ἐνναυπηγηθῆναι*, et ordinem verborum exquiſitiorem *πρῶτον ἐν Κορ. τῆς Ἑλλάδος*, decem codd. auctoritate.

παλαιοτάτη. Hanc ſuperlativi formam codices plerique ſervant. Noſtro loco meliores *παλαιτάτη* exhibent, quod praetulerim. Cf. cap. 4.

Κορινθίων πρὸς Κερκυραίους. Cum propter Lycophronis filii necem Periander, Cypſeli filius, bellum inferret Corcyraeis. Herodot. 3, 53.

τοῖς παλαιοῖς ποιηταῖς. Hom. Il. β, 571. *ἀφνειόν τε Κόρινθον*. Etiam Pindarus *ὀλβίαν Κόρινθον* appellat Olymp. 13, 4.

ἐπλώϊζον. Ita codd. iubentibus pro *ἐπλωΐζοντο* ſcripſimus.

καὶ ἐμπόριον παρέχοντες ἀμφότερα. Olim legebatur *ἀμφότεροι*, quod vitioſum eſſe patet. Palmerius legebat *ἀμφοτέροις*, Kiſtemakerus ex codd. *ἀμφότερα*, id eſt *κατ' ἀμφότερα*. Senſus eſt: terra marique ad-

χρημάτων προςόδῳ τὴν πόλιν. Καὶ Ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ Κύρου, Περσῶν πρώτου βασιλεύοντος, καὶ Καμβύσου τοῦ υἱέος αὐτοῦ. τῆς τε καθ᾽ ἑαυτοὺς θαλάσσης Κύρῳ πολεμοῦντες ἐκράτησάν τινα χρόνον. Καὶ Πολυκράτης Σάμου τυραννῶν ἐπὶ Καμβύσου, ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο, καὶ Ῥήνειαν ἑλὼν, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ. Φωκαεῖς τε Μασσαλίαν οἰκίζοντες, Καρχηδονίους ἐνίκων ναυμαχοῦντες (c. 594.)

14. Δυνατώτατα γὰρ ταῦτα τῶν ναυτικῶν ἦν. Φαίνεται δὲ καὶ ταῦτα, πολλαῖς γενεαῖς ὕστερα γενόμενα τῶν Τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ᾽ ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα, ὥςπερ ἐκεῖνα· ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο, καὶ Κερκυραίοις. Ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου στρατείας ναυτικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη. Αἰγινῆται γὰρ καὶ Ἀθηναῖοι, καὶ εἴ τινες ἄλλοι, βραχέα ἐκέκτηντο, καὶ τούτων τὰ πολλὰ πεντηκοντόρους· ὀψέ τε, ἀφ᾽ οὗ Ἀθηναίους Θεμιστοκλῆς ἔπεισεν, Αἰγινήταις πολεμοῦντας, καὶ ἅμα τοῦ βαρβάρου προςδοκί-

byſis aequalis, item Phocenſes, Maſſiliae conditores, claſſibus valebant. 14. Siculi vero tyranni et Corcyraei maiorem adeo triremium numerum habebant, iam ante bella

euntibus emporium praebebant, cum prius terra tantum praebuiſſent. Cf. Il. δ, 146.

τοῦ υἱέος αὐτοῦ. Forma *υἱέος* Thucydidi uſitata eſt, non *υἱέως*. V. 1, 136. 2, 100. cf. Buttmann. Gr. gr. p. 104.

Ῥήνειαν ἑλὼν, Cycladum unam, Delo vicinam. Cf. 3, 104.

Καρχηδονίους ἐνίκων ναυμαχ. Quae Herodotus affert 1, 166., aetate illa, quam h. l. innuit Auctor, antiquiora videntur. Nondum enim Phocenſes in Gallica ora coloniam condiderant. Perſpicua quidem, ſed breviora ſunt, quae habet Iuſtinus 43, 5.

14. *πρὸ τῶν Μηδικῶν,* ante bellum cum Perſis geſtum. — *τοῖς τυράννοις,* Geloni et Hieroni. — *ναυτικά* pro *ναυτικαὶ δυνάμεις.* Mox *βραχέα* int. *πλοῖα.*

ὀψέ τε — Ne ſubaudi *ἦν*, etſi ſaepiſſime omittatur; ſed iunge haec verba cum ſequentibus: *καὶ αὗται οὔπω εἶχον διὰ πάσης*

μου ὄντος, τὰς ναῦς ποιήσασθαι, (αἷσπερ καὶ ἐναυμάχησαν) καὶ αὗται οὔπω εἶχον διὰ πάσης καταστρώματα.

15. Τὰ μὲν οὖν ναυτικὰ τῶν Ἑλλήνων τοιαῦτα ἦν, τά τε παλαιὰ, καὶ τὰ ὕστερον γιγνόμενα· ἰσχὺν δὲ περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσχόντες αὐτοῖς, χρημάτων τε προσόδῳ, καὶ ἄλλων ἀρχῇ. Ἐπιπλέοντες γὰρ, τὰς νήσους κατεστρέφοντο, καὶ μάλιστα ὅσοι μὴ διαρκῆ εἶχον χώραν. Κατὰ γῆν δὲ πόλεμος, ὅθεν τὶς καὶ δύναμις παρεγένετο, οὐδεὶς ξυνέστη· πάντες δὲ ἦσαν, ὅσοι καὶ ἐγένοντο, πρὸς ὁμόρους τοὺς σφετέρους ἑκάστοις· καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν ἐπ' ἄλλων καταστροφῇ οὐκ ἐξῄεσαν οἱ Ἕλληνες. Οὐ γὰρ ξυνεστήκεσαν πρὸς τὰς μεγίστας πόλεις ὑπήκοοι, οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο, κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν. Μάλιστα δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον

Perſica. 15. Claſſibus Graecorum inſulae ſubiectae, terra nonniſi proximi laceſſiti: nec umquam in partes diſceſſum, niſi in bello inter Chalcidenſes et Eretrienſes.

καταστρώματα. „Ac ſero vel hae nondum omnino conſtratae erant." Haec ratio aptior videtur; quare verba αἷσπερ καὶ ἐναυμάχησαν parentheſeos notis incluſi, et colon poſt ἐναυμάχησαν ſuſtuli. — διὰ πάσης (νεώς), totae, omnino.

15. προσχόντες. Ita ſcripſi, non προσσχόντες, licet a προσέχω participium derivandum ſit, atque ita melius a προέχω diſtingui poſſit. Sed haec forma Graecis durior videbatur, ob ſonum minus ſuavem; quare ſimplici σ utebantur. Cf. Hermannus ad Eurip. Hecub. V. 41. ubi Wakefieldius contrariam rationem defendit, ſicuti Benedictus ad Thuc. 3, 32.

ὑπήκοοι, οὐδ' αὐτοί. Legendum ὑπήκοοι, omiſſo articulo αἱ, qui a pleriſque codicibus abeſt, et vero a ratione reiicitur. Nulli enim tunc erant ſubditi. — ξυνίστασθαι πρός τινα intelligo adiungere ſe ad aliquem, ut ſupra cap. 1. — Αὐτοί non poteſt ad ὑπηκόους ſolos pertinere, ſed ad Graecos omnino referendum eſt, imprimis eos, qui latent in verbis μεγίστας πόλεις. Quae ratio aliquantum mollitur, ſi ante αὐτοί cum Kiſtem, inferas αν, quo vel ipſa ducunt variarum lectionam veſtigia. Nam in Caſſ. Aug. Reg. eſt οὐδ' ἄν, in Baſ. Moſq. οὐδ' αὐ. Αὐτοί eſt ſoli, absque ſociis vel ſubditis. — ἀπὸ τῆς ἴσης, aequo iure, ex aequo. Nam haec verba opponuntur ei rationi, quae eſt τῶν ὑπηκόων πρὸς τὰς μεγίστας πόλεις.

πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων, καὶ τὸ ἄλλο Ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέρων διέστη.

16. Ἐπεγίγνετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι, καὶ Ἴωσι, προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων, Κῦρος καὶ ἡ Περσικὴ βασιλεία, Κροῖσον καθελοῦσα, καὶ ὅσα ἐντὸς Ἅλυος ποταμοῦ πρὸς θάλασσαν, ἐπεστράτευσε, καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις ἐδούλωσε· Δαρεῖός τε ὕστερον, τῷ Φοινίκων ναυτικῷ κρατῶν, καὶ τὰς νήσους.

17. Τύραννοι δὲ ὅσοι ἦσαν ἐν ταῖς Ἑλληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν μόνον προορώμενοι, ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον αὔξειν, δι' ἀσφαλείας ὅσον ἐδύναντο μάλιστα τὰς πόλεις ᾤκουν· ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον, εἰ μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις· οἵ γὰρ ἐν Σικελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως. Οὕτω πανταχόθεν ἡ Ἑλλὰς ἐπὶ πολὺν χρόνον κατείχετο, μήτε κοινῇ φανερὸν μηδὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι.

16. Cyrus, devicta Aſia intra Halyn, Iones, Darius etiam inſulas ſubegit. 17. Tyranni, ſuum unice commo-

Χαλκιδέων καὶ Ἐρετριέων. Hoc bellum ortum eſt ſuper Lalanto, fertiliſſimo campo, aquis calidis, quae ſcaturiebant in eo, inſigni. Eretrienſibus Mileſii, Chalcidenſibus Samii opem tulerant. Herodot. 5, 99.

16. **μὴ αὐξηθῆναι.** Scholiaſtam, qui τοῦ ſupplet, fruſtra corrigit Bauerus, dicens hoc ita verum eſſe, ſi μὴ abeſſet. Sed immemor erat eius rationis, qua Graeci in vocabulis impediendi utuntur. Vid. ad 3, 1.

τῷ Φοινίκων ναυτικῷ κρατῶν, *potens claſſibus Phoenicum.*

17. **ἔς τε τὸ σῶμα**, *ad incolumitatem ſuam*, zu ihrer perſönlichen Sicherheit. Cave enim ἔς τε τὸ referas ad αὔξειν, ut ἐς τὸ τὸν ἴδιον οἶκον, ubi articulus τὸν hanc iuncturam patitur. — Poſt **ὅσον ἐδύναντο** comma tollatur, ut haec verba iungantur cum μάλιστα. **Οἰκεῖν** eſt adminiſtrare, vid. ad 2, 37. **Δι' ἀσφαλείας**, vitandis bellis, maxime expeditionibus longinquioribus.

εἰ μὴ εἴ τι, niſi ſi quid ſc. ἐπράχθη. — **οἱ γὰρ ἐν Σικελίᾳ.** Scholiaſta monet, γάρ eſſe pro δέ. Nempe exceptionem tacitam (οὐ λέγω περὶ τῶν ἐν Σικελίᾳ) probat et confirmat illa particula.

κατείχετο, *conſtringebatur, continebatur.* Ad infinitivos ſequentes intell. ὥστε, et refer μήτε ad ſequens τέ.

18. Ἐπειδὴ δὲ οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος, ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης, οἱ πλεῖστοι καὶ τελευταῖοι, πλὴν τῶν ἐν Σικελίᾳ, ὑπὸ Λακεδαιμονίων κατελύθησαν (ἡ γὰρ Λακεδαίμων μετὰ τὴν κτῆσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων, ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη, καὶ ἀεὶ ἀτυράννευτος ἦν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια καὶ ὀλίγῳ πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἀφ' οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται· καὶ δι' αὐτὸ δυνάμενοι, καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίστασαν·) μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος, οὐ πολλοῖς ἔτεσιν ὕστερον καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο. Δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθε. Καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος, οἵ τε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο, δυνάμει προὔχοντες, καὶ οἱ Ἀθηναῖοι, ἐπιόντων τῶν Μήδων, διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀνασκευασάμενοι, ἐς τὰς ναῦς ἐμβάντες ναυτικοὶ

dum ſpectantes, per quietem regnabant. 18. Tandem Lacedaemoniorum ope tyrannis eiectis, orta ſunt bella cum Perſis, in quibus Lacedaemonii ceterorum Graecorum duces exſtiterunt; Athenienſes autem navalem potentiam na-

18. *ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης, magnam partem ante, quam Athenienſes, ſubactae a tyrannis.*

κτίσιν. Kiſtem. plerorumque codd. lectionem praefert *κτῆσιν.* Recte. Nam Dorienſes Lacedaemonem non condiderunt, ſed dudum conditam poſſederunt, i. e. occuparunt. — *ὧν ἴσμεν,* Idem bene explicat, quorum temporum notitiam habemus. Formam *παλαιτάτου* contra codicum plerorumque conſenſum in lectione *παλαιοτάτου* defendas licet loco cap. 13. ubi *παλαιτάτη* codd. optimi, 44, 47. ubi conſtanter omnes praeter Gr. habent *σχολαίτερον.*

χρῶνται. Rectius parentheſis continuatur usque ad verba *μετὰ δέ,* ubi ad inchoatam ſtructuram Auctor redit.

δεκάτῳ δὲ ἔτει — ἦλθε. Anno 481 a. Chr. Nam de profectione Xerxis, non de pugna Salaminia Thucydides loquitur. Ergo recte rationem ſubduxit.

ἀνασκευασάμενοι, rebus ſuis abductis, quas partim in naves, partim in inſulam Salamina, vel etiam Troezena asportabant. Vid. infra cap. 89.

ἐγένοντο. Κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον, ὕστερον οὐ πολλῷ διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους, οἵ τε ἀποστάντες βασιλέως Ἕλληνες καὶ οἱ ξυμπολεμήσαντες. δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη· ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί. Καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία. ἔπειτα δὲ διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι, ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους· καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινες που διασταῖεν, πρὸς τούτους ἤδη ἐχώρουν. ὥςτε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πόλεμον, τὰ μὲν σπενδόμενοι, τὰ δὲ πολεμοῦντες ἢ ἀλλήλοις ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταμένοις, εὖ παρεσκευάσαντο τὰ πολέμια, καὶ ἐμπειρότεροι ἐγένοντο, μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι.

19. Καὶ οἱ μὲν Λακεδαιμόνιοι, οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους, ἡγοῦντο, κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσωσι θεραπεύοντες· Ἀθηναῖοι δὲ ναῦς τε τῶν πόλεων τῷ χρόνῳ παραλαβόντες, [ἦρχον,] πλὴν Χίων καὶ Λεσβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες φέρειν· καὶ ἐγένετο αὐτοῖς ἐς τόνδε τὸν πόλεμον ἡ ἰδία παρασκευὴ μείζων, ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας ἤνθησαν.

cti ſunt. Devictis barbaris, cum Graeciae civitates aliae Athenienſibus, aliae Lacedaemoniis ſe adiunxiſſent, illis mari, his terra potentibus: orta ſunt bella inter utrosque et ſocios eorum, aut etiam ipſorum cum ſociis deficientibus; quibus quidem bellis belli peritia aucta. 19. Et La-

μέγιστα διεφάνη. Hanc lectionem contra Stephanum, qui μέγιστα δὴ ἐφάνη coniecerat, bene defendit Abreſch. Dilucidatt. p. 29., ubi διεφάνη reſolvit in ἦν διαφανέστατα. Cf. 2, 51. 4, 108.
19. ἦρχον. Meliores codices hanc vocem non agnoſcunt. Quare Bredovius recte eam pro glōſſemate habebat, et punctum ante Ἀθηναῖοι in colon mutabat. — Paullo ante pro πόλεων olim legebatur πολεμίων, invitis melioribus libris. — τῷ χρόνῳ, ſenſim, paullatim.
ὡς τὰ κράτιστα — ἤνθησαν. Reſpicit tempora ſocietatis contra Perſas integrae et florentiſſimae. — τὰ κράτιστα, μάλιστα, validiſſime.

20. Τὰ μὲν οὖν παλαιὰ τοιαῦτα εὗρον, χαλεπὰ ὄντα παντὶ ἑξῆς τεκμηρίῳ πιστεῦσαι. οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασανίστως παρ' ἀλλήλων δέχονται. Ἀθηναίων γοῦν τὸ πλῆθος Ἵππαρχον οἴονται ὑφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, τύραννον ὄντα, ἀποθανεῖν· καὶ οὐκ ἴσασιν, ὅτι Ἱππίας μὲν πρεσβύτατος ὢν ἦρχε τῶν Πεισιστράτου υἱέων, Ἵππαρχος δὲ καὶ Θεσσαλὸς ἀδελφοὶ ἦσαν αὐτοῦ. Ὑποτοπήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων, ἐκ τῶν ξυνειδότων σφίσιν Ἱππίᾳ μεμηνῦσθαι, τοῦ μὲν ἀπέσχοντο, ὡς προειδότος, βουλόμενοι δὲ, πρὶν ξυλληφθῆναι, δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον καλούμενον τὴν Παναθηναϊκὴν πομπὴν διακοσμοῦντι, ἀπέκτειναν. Πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν ὄντα, καὶ οὐ χρόνῳ ἀμνηστούμενα, καὶ οἱ ἄλλοι Ἕλληνες οὐκ ὀρθῶς οἴονται· ὥςπερ, τούς τε Λακεδαιμονίων βασιλέας μὴ μιᾷ ψήφῳ προςτίθεσθαι ἑκά-

cedaemonii quidem tributa non exigebant; Athenienſes autem naves et tributa cogebant. 20. Haec pauca certis

20. *Ἀθηναίων γοῦν τὸ πλῆθος.* Copioſius hac de re disputat Thucydides infra 6, 54 ſeqq.

πρεσβύτατος ὢν ἦρχε — υἱέων. Hyperbaton notavit Bauerus. Ad ἦρχε enim Ἀθηνῶν vel Ἀθηναίων ſubaudiendum; ne quis iungat cum τῶν Π. υἱέων. Cf. 6, 54 init. Mox ſuſtuli commata poſt ἡμέρᾳ et σφίσιν.

περὶ τὸ Λεωκόριον. Erat templum Athenis in urbe, ut conſtat ex loco 5, 57. ὥρμησαν εἴσω τῶν πυλῶν. Si erat in Ceramico, ut Harpocration teſtatur, ſitum, intelligendus eſt urbanus ille Ceramicus. Vid. Schol. et Aelian. V. H. 12, 28. Cf. ad 6, 57.

μὴ μιᾷ ψήφῳ προςτίθεσθαι. Tacite refellit, quod alibi quoque facit (cf. 2, 97 extr.) patrem hiſtoriae, Herodotum, qui 6, 57 extr. de *duobus* regum calculis locutus fuerat, ut in eodem, quo vulgus, errore fuiſſe videretur. Reges enim Lacedaemoniorum uno calculo utebantur, qui tamen duplicem ſententiae vim habebat. Ceterum προςτίθεσθαι, ſubaudito ψῆφον, intellige ψηφίζεσθαι. Infra c. 40. οὐδὲ γὰρ ἡμεῖς, Σαμίων ἀποστάντων, ψῆφον προςεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων. Ceterum et hic et cap. 23. pro δυεῖν ex codd. dedi δυοῖν. Grammaticorum, qui tamen genitivo vindicant formam δυεῖν, ſententiam non firmant Thucydidis codices cap. 33 extr. μηδὲ δυεῖν φθάσαι ἁμάρτωσιν (ibi enim δυεῖν geni-

τερον, ἀλλὰ δυοῖν· καὶ τὸν Πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε. οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας, καὶ ἐπὶ τὰ ἕτοιμα μᾶλλον τρέπονται.

21. Ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων, ὅμως τοιαῦτα ἄν τις νομίζων μάλιστα ἃ διῆλθον, οὐχ ἁμαρτάνοι· καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν, ἐπὶ τὸ μεῖζον κοσμοῦντες, μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει, ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα, καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα· εὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφανεστάτων σημείων, ὡς παλαιὰ εἶναι, ἀποχρώντως. Καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα

quibusdam indiciis conſtant; non enim cuilibet argumento fides habenda, propter hominum ἀκρισίαν, cuius nonnulla exempla Thucydides aſſert. 21. In illis igitur acquieſcendum eſt, ſi ea certis argumentis inveniamus, ſecus ac poë-

tivus eſt) cf. 4, 8. 28. 44. 47. Magno enim numero ubique formam δυοῖν tuentur. Vid. Bened. ad 4, 8. et 44.

Πιτανάτην. Etiam Herodotus Pitanatarum λόχον appellat 9, 53. Erat autem μορά, non λόχος. Illa circiter quadringentorum hominum erat; omnes autem Spartani duodecim moras conſtituebant. Etiam hic Thucydides tacite arguit Herodotum.

21. *οὐχ ἁμαρτάνοι.* Haec verba totius periodi, variis iisque longioribus colis oneratae, ambitum claudunt, tamquam apodoſis. Tria autem participia νομίζων — πιστεύων — ἡγησάμενος ita iunguntur inter ſe, ut ad illud verbum communiter pertineant.

προσαγωγότερον. Schol. ἡδύτερον, ὃ προσάγει. Duplicis comparativi in tali comparatione uſus etiam ex latina lingua notus eſt. *Λογογράφοι* ſunt ſcriptores hiſtoriae antiquae vel mythicae, qui auditu capiunt homines. Cf. c. 22 extr.

ὄντα ἀνεξέλεγκτα, quippe quae neque firmari, neque refelli argumentis poſſunt; ideoque vetuſtate temporis in fabulas degeneraverunt (ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα cf. ad cap. 5.) ita ut iam fidem ſuperent (ἀπίστως).

ὡς παλαιὰ εἶναι, ἀποχρώντως. Adverbium ἀποχρώντως cum εὑρῆσθαι iungendum videtur: *Exiſtimans, ea, ut antiqua, ſatis reperta eſſe ex maniſeſtiſſimis rebus.* — ὡς παλαιὰ εἶναι, quoad eius fieri poteſt in rebus antiquis. Scholiaſta εἶναι eſſe pro ὄντα dicit. Sed quis credat nihil argumenti afferenti? Mihi εἶναι ex Atticiſmo abundare videtur, ut in ἑκὼν εἶναι 2, 89. Plat. Apol. 27. Phaed. 5. Cf. ad 5, 107. Buttmann. Gr. p. 555.

ἀεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ, τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν.

22. Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι, ἢ μέλλοντες πολεμήσειν, ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν μοι ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. Τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ, οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν, οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ τῶν ἄλλων, ὅσον δυνατὸν, ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών. Ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρ-

tae et ſcriptores mythicae hiſtoriae. 22. Et verba quidem ipſa dicentium non retulit auctor huius hiſtoriae, apta ta-

δηλώσει — γεγενημένος αὐτῶν int. τῶν ἀρχαίων. Participium, pro infinitivo γεγενῆσθαι poſitum, non moratur eum, qui in Graecis ſcriptoribus aliquantulum verſatus ſit. Tirones tamen conſulant Buttmannum Gramm. gr. §. 131. 4. a.

22. **Καὶ ὅσα μὲν λόγῳ — ἦν.** Cum poſtea dicat τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων pro τούτων τὴν ἀκρίβειαν —, mutavit inchoatam ſtructuram, vel potius duas conſtruendi rationes confudit. Eadem duarum loquendi rationum confuſio eſt 4, 126 med. καὶ γὰρ ὅσα μὲν — ἀμυνομένους, quem locum Poppo (p. 200) indicavit, qui recte huc refert etiam locum 5, 12. ὅ,τε τοῖς ἄλλοις μάλιστα εὔνοια —. Huc pertinet etiam locus 5, 7. αἰσθόμενος (ὁ Κλέων) τὸν θροῦν, καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγε. — Λόγῳ, oratione iuſta, perpetua, publice habita. Ceterum hic locus ſummae huius hiſtoriae fidei praeclarum teſtimonium exſtat.

τὰ δ' ἔργα τῶν πραχθέντων. Pleonaſmum iam Stephanus notavit. Bauerus temere ſe vertit ad lectionem margini codicis Reg. et poſterioris Stephani editionis adſcriptam: λεχθέντων. Simplicius videatur τὰ δ' ἔργα τὰ πραχθέντα. Sed Thucydides ſolet a trita via discedere. Hoc quidem loco videtur τὰ ἔργα λόγῳ, τὰ πραχθέντα τοῖς λεχθεῖσιν opponere voluiſſe. Ac ſi diligentius quaeris, ad τὰ ἐν τῷ πολέμῳ πραχθέντα non ſolum τὰ ἔργα pertinent, ſed etiam τὰ λεχθέντα.

οἷς τε αὐτὸς παρῆν. Erat enim dux Athenienſium circa Thaſum inſulam. Vide infra 4, 104.

ἐπεξελθών. Ἐπεξέρχεσθαι partim de accurata inveſtigatio-

ὄντες τοῖς ἔργοις ἑκάστοις, οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι. Καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ αὖθις, κατὰ τὸ ἀνθρώπειον, τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ, ἀρκούντως ἕξει. κτῆμά τε ἐς ἀεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν, ξύγκειται.

men praefenti cuilibet rei et univerfae vere dictorum fententiae exhibuit, rebus diligenter examinatis, ita ut veri

ne, partim de copiofiore defcriptione rerum intelligitur. Cf. 5, 67 init.

ἑκατέρων refer ad *εὐνοίας ἔχοι* et intellige *πρὸς ἑκατέρους*, ne a *τὶς* pendere putes.

τὸ μὴ μυθῶδες αὐτῶν. V. ad cap. 20.

ὅσοι δὲ βουλήσονται — ἀρκούντως ἕξει. Vexatiffimi huius loci unice vera interpretatio videtur ea, quam, auctore *Fr. Aug. Wolfio*, benevolo olim ftudiorum meorum moderatore, et invenit, et illuftravit *Poppo* p. 99 feqq. Primum *ὄντων* poft *τοιούτων* decem codicum auctoritate delendum eft; deinde ante *ὅσοι δὲ* colo, non puncto diftinguendum, ut *δὲ* referatur ad praemiffum *μὲν*, cum *ἀτερπέστερον* et *ὠφέλιμα* h. l. opponantur. Tum *τῶν τε γενομένων* et *καὶ τῶν μελλόντων — παραπλησίων ἔσεσθαι* pendent a *τὸ σαφὲς σκοπεῖν*, more Thucydidi confueto, verbum inter utramque rem inde pendentem inferendi, e. c. 1, 2. *οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ.* cf. c. 12 extr. 21 init.) *τὸ σαφὲς σκοπεῖν* autem effe: *confiderare perfpicua five in clara luce pofita*, et defcribi verbis *ὅσοι δὲ βουλήσονται — ἔσεσθαι* homines politicos, quorum animis res et geftae et futurae clare obverfentur, docuit Wolfius. Denique infinitivus *κρίνειν* pendet ab *ἀρκούντως ἕξει*. Cum autem pronomen demonftrativum, quod referatur ad *ὅσοι*, fubaudiendum fit, modeftiae Auctoris magis convenit *τούτους*, quod iungatur infinitivo *κρίνειν*, quam *τούτοις*, quod *ἀρκούντως ἕξει* poftularet. Ita totius loci fententia haec eft: „Quicumque autem voluerit, perfpicue confiderare et ea, quae facta funt, et ea, quae fortaffe aliquando, ut funt res humanae, denuo vel tali vel fimili ratione fiant, illos utilia haec indicare, (mihi) fufficerit.“

κατὰ τὸ ἀνθρώπειον. Male haec accepit Scholiaftes, exponens: *ἐπειδὴ ἄδηλα τὰ ἀνθρώπινα.* Haec fi Auctoris fententia effet, ipfe infringeret argumenti firmitatem. Sed ille indicat his verbis, humanarum rerum viciffitudines femper easdem effe propter eandem naturam humanam, eosdem animorum motus cupiditatesque.

κτῆμά τε ἐς ἀεὶ — ξύγκειται. Refpicit ad *λογογράφων ἀκροάσεις*, de quibus c. 21. dixit. Hunc locum refpexit Polybius III. p. 294. Ern. *Ἱστορίας — ἐὰν ἀφέλῃ τις τὸ διὰ τί, καὶ πῶς, καὶ τίνος χάριν ἐπράχθη, καὶ*

23. Τῶν δὲ πρότερον ἔργων μέγιστον ἐπράχθη τὸ Μηδικόν. καὶ τοῦτο ὅμως δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν ταχεῖαν τὴν κρίσιν ἔσχε. Τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προὔβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. Οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ᾽ ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων· (εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι·) οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων, καὶ φόνος, ὁ μὲν, κατ᾽ αὐτὸν τὸν πόλεμον, ὁ δὲ, διὰ τὸ στασιάζειν. Τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα, οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι. οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον· ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημονευόμενα ξυνέβησαν· αὐχμοί τε ἔστι παρ᾽ οἷς μεγάλοι, καὶ ἀπ᾽ αὐτῶν καὶ λιμοί· καὶ ἡ οὐχ ἥκιστα βλάψασα, καὶ μέρος τι φθείρασα, ἡ λοιμώδης νόσος. ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου

ſtudioſis ſe ſatisfacturum putaret. 23. Belli diuturni et atrociſſimi varia portenta fuere. initium autem a ſublatis induciis, poſt captam Euboeam factis. Inde ad controver-

τὸ πραχθὲν πότερα εὔλογον ἔσχε τὸ τέλος, τὸ καταλειπόμενον αὐτῆς ἀγώνισμα μὲν, μάθημα δὲ οὐ γίνεται, καὶ παραυτίκα μὲν τέρπει, πρὸς δὲ τὸ μέλλον οὐδὲν ὠφελεῖ τὸ παράπαν. In poſteritatis ergo perpetuum uſum Thucydidis opus compoſitum eſt, non ad aequalium brevem delectationem.

23. *ληφθεῖσαι ἠρημώθησαν*, ut Plataeae (3, 68), Mitylenae (3, 50), aliae a Graecis; Mycaleſſus (7, 29) a barbaris.

οἰκήτορας μετέβαλον, ut Potidaea et Aegina, notante Schol. — *οὔτε φυγαὶ τοσαίδε* int. ἦσαν. Item in ſequentibus verbis *καὶ φόνος* ſubaudiendum τοσόσδε ἦν. Quare pro colo ante καί comma ponatur. Nam οὔτε etiam ad hoc membrum pertinet.

διὰ τὸ στασιάζειν. Maxime apud Corcyraeos lib. 3 et 4.

ἡλίου τε ἐκλείψεις. Mutat conſtructionem, quaſi ſupra dixiſſet σεισμοί τε.

ἡ λοιμώδης νόσος. V. 2, 48 ſeqq. Articulum poſteriorem abundare, Interpretes monuere. Bauerus, ne quid concedat, ἡ οὐχ ἥκιστα βλάψασα accipit pro τὸ οὐχ ἥκιστα βλάψαν. At etiamſi ſententia loci eodem redit, ſive hoc, ſive illud ſcripſerit Auctor, tamen ſcripſit id, quod poſteriorem articulum, ſi ſevere examinaveris, reſpuit. — *ἅμα* autem Bauerus bene defendit, ut non ſuperfluum. Multa enim ex illis incommodis non ſolum belli

ἅμα ξυνεπέθετο. Ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. Διότι δ᾽ ἔλυσαν, τὰς αἰτίας προέγραψα πρῶτον καὶ τὰς διαφορὰς, τοῦ μή τινα ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη. τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην δὲ λόγῳ, τοὺς Ἀθηναίους ἡγοῦμαι, μεγάλους γιγνομένους, καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις, ἀναγκάσαι ἐς τὸ πολεμεῖν. Αἱ δ᾽ ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι, αἵδ᾽ ἦσαν ἑκατέρων, ἀφ᾽ ὧν λύσαντες τὰς σπονδὰς, ἐς τὸν πόλεμον κατέστησαν.

24. *ΕΠΙΔΑΜΝΟΣ ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· προσοικοῦσι δ᾽ αὐτὴν Ταυλάντιοι, βάρβαροι, Ἰλλυρικὸν ἔθνος. Ταύτην ἀπῴκισαν μὲν Κερκυραῖοι, οἰκιστὴς δ᾽ ἐγένετο Φάλιος Ἐρατοκλείδου, Κορίνθιος γένος, τῶν ἀφ᾽ Ἡρακλέους, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς μητροπόλεως κατακληθείς. Ξυνῴ-*

ſias Graecorum et rupti foederis cauſas Thucydides transit. 24. Epidamni origines et turbae. Paullo ante initium belli Peloponneſiaci plebs eiicit optimates, qui ultionis cauſa

huius tempore, ſed etiam *ſimul* ingruerunt.

λύσαντες τὰς τριακοντούτεις σπ. Vide infra c. 87 extr. Ipſas inducias factas refert c. 115.

προέγραψα πρῶτον. Ita cum Benedicto ex codicibus dedimus pro *ἔγραψα*. Thucydides eiusmodi pleonaſmos non raro admittit. Exempla congeſſerunt Stephanus et Poppo p. 206. quibus adde 3, 112. *πρώτους προὔταξε.* 5, 84. *πρὶν ἀδικεῖν τι τῆς γῆς, λόγους πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις.* 6, 57. *ἐβούλοντο πρότερον προτιμωρήσασθαι.* Cf. ad c. 58. Paullo poſt cum eodem Stephano et Benedicto *τινά* ſcripſimus pro *τινάς*, libris et uſu Thucydidis iubentibus.

πρόφασιν, αἰτίαν.

ἀφ᾽ ὧν, propter quas. Copioſe eas exponit usque ad cap. 87. Deinde agit de rebus Athenienſium, quatenus et quomodo ante hoc bellum, Themiſtoclis potiſſimum opera, auctae ſint. Narratio de ipſo bello Peloponneſiaco incipit demum libro ſequenti.

24. *τὸν Ἰόνιον κόλπον.* Ita h. l. appellat mare Adriaticum, partem Ionii maris.

κατὰ δὴ τὸν παλαιὸν νόμον. Quando urbs quaedam, quae ipſa eſſet alicuius civitatis colonia, coloniam aliquo deduceret, moris erat ex *maiore patria* ducem arceſſere. Ita h. l. Corcyraei, Corinthiorum coloni, ducem coloniae Epidamnum deducendae Corintho petiiſſe dicuntur.

κισαν δὲ καὶ τῶν Κορινθίων τινὲς, καὶ τοῦ ἄλλου Δωρικοῦ γένους. προελθόντος δὲ τοῦ χρόνου ἐγένετο ἡ τῶν Ἐπιδαμνίων πόλις μεγάλη καὶ πολυάνθρωπος. Στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλὰ, ὡς λέγεται, ἀπὸ πολέμου τινὸς τῶν προσοίκων βαρβάρων, ἐφθάρησαν, καὶ τῆς δυνάμεως τῆς πολλῆς ἐστερήθησαν. Τὰ δὲ τελευταῖα, πρὸ τοῦδε τοῦ πολέμου, ὁ δῆμος αὐτῶν ἐξεδίωξε τοὺς δυνατούς. Οἱ δὲ ἀπελθόντες μετὰ τῶν βαρβάρων ἐλῄζοντο τοὺς ἐν τῇ πόλει κατά τε γῆν καὶ κατὰ θάλασσαν. Οἱ δὲ ἐν τῇ πόλει ὄντες Ἐπιδάμνιοι, ἐπειδὴ ἐπιέζοντο, πέμπουσιν ἐς τὴν Κέρκυραν πρέσβεις, ὡς μητρόπολιν οὖσαν, δεόμενοι μὴ σφᾶς περιορᾶν φθειρομένους, ἀλλὰ τούς τε φεύγοντας ξυναλλάξαι σφίσι, καὶ τὸν τῶν βαρβάρων πόλεμον καταλῦσαι. ταῦτα δὲ ἱκέται καθεζόμενοι ἐς τὸ Ἡραῖον ἐδέοντο. Οἱ δὲ Κερκυραῖοι τὴν ἱκετείαν οὐκ ἐδέξαντο, ἀλλ᾽ ἀπράκτους ἀπέπεμψαν.

25. Γνόντες δὲ οἱ Ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ Κερκύρας τιμωρίαν οὖσαν, ἐν ἀπόρῳ εἴχοντο θέσθαι τὸ

cum barbaris praedas agunt terra marique. Epidamnii auxilium petunt a Corcyraeis, ſed fruſtra. 25. Itaque Del-

καὶ τοῦ ἄλλου Δωρικοῦ γένους. Hanc lectionem codices meliores praebent; in quibusdam deeſt τοῦ, male. Inde nata videtur vulgata lectio καὶ ἄλλοι ἐκ τοῦ Δωρ. γένους, quae correctoribus videtur deberi. Corinthii erant ex Dorica gente. Infra 1, 71. ipſi ſe appellant ἄνδρας τε φίλους καὶ ξυγγενεῖς Lacedaemoniorum.

ἡ τῶν Ἐπιδαμνίων πόλις. Ex novem libris deterioribus lectio notatur δύναμις; in duobus aliis eſt δύναμις καὶ πόλις; praeſtantiſſimi πόλις habent. Quum autem πόλις neque errore, neque interpretationis cauſa, in δύναμις mutari potuiſſe videatur; Poppo ſuſpicatur, utrumque vocabulum eſſe gloſſema, et Thucydidem tantum ſcripſiſſe ἡ τῶν Ἐπιδαμνίων μεγάλη καὶ πολυάνθρωπος, quod πόλις in eiusmodi formulis ſaepe omittatur. Nos tamen meliorum codicum fidem ſequendam duximus, praeſertim cum etiam ſupra 1, 10 viderimus, corruptos illos codices Ar. C. Dan. Moſq. μοῖραν per δυνάμεις explicare.

ἀπὸ πολέμου τινός. Ita iam Gottleberus edidit pro ὑπό. Sed illa lectio aliter explicanda eſt, ac vulgo factum. Nam ἀπό h. l. idem valet, quod ἐξ, *poſt*. nempe bellum externum exceperunt domeſticae ſeditiones, ſive hae ortae erant ex illo. Quare poſt βαρβάρων comma ponendum eſt. Hanc ſententiam firmat Hermogenis locus a Duckero allatus.

παρόν· καὶ πέμψαντες ἐς Δελφοὺς, τὸν θεὸν ἐπήροντο, εἰ παραδοῖεν Κορινθίοις τὴν πόλιν, ὡς οἰκισταῖς, καὶ τιμωρίαν τινὰ πειρῷντο ἀπ' αὐτῶν ποιεῖσθαι. Ὁ δ' αὐτοῖς ἀνεῖλε, παραδοῦναι, καὶ ἡγεμόνας ποιεῖσθαι. Ἐλθόντες δὲ οἱ Ἐπιδάμνιοι ἐς τὴν Κόρινθον, κατὰ τὸ μαντεῖον παρέδοσαν τὴν ἀποικίαν, τόν τε οἰκιστὴν ἀποδεικνύντες σφῶν ἐκ Κορίνθου ὄντα, καὶ τὸ χρηστήριον δηλοῦντες· ἐδέοντό τε μὴ σφᾶς περιορᾶν διαφθειρομένους, ἀλλ' ἐπαμῦναι. Κορίνθιοι δὲ κατά τε τὸ δίκαιον ὑπεδέξαντο τὴν τιμωρίαν, (νομίζοντές οὐχ ἧσσον ἑαυτῶν εἶναι τὴν ἀποικίαν ἢ Κερκυραίων,) ἅμα δὲ καὶ μίσει τῶν Κερκυραίων, ὅτι αὐτῶν παρημέλουν, ὄντες ἄποικοι. οὔτε γὰρ ἐν πανηγύρεσι ταῖς κοιναῖς διδόντες γέρα τὰ νομιζόμενα, οὔτε Κορινθίῳ ἀνδρὶ προκαταρχόμενοι τῶν ἱερῶν, ὥσπερ αἱ ἄλλαι ἀποικίαι· περιφρονοῦντες δὲ αὐ-

phos mittunt, ac, iubente deo, Corinthiis ſe dedunt. Hi libenter eos recipiunt et auxilia promittunt, partim rati,

Diodorus 12, 30. non memorat bellum illud, quod erat ante ſeditionem.

25. *τὸν θεὸν ἐπήροντο.* Hoc pro *ἐπηρώτων*, auctoritate librorum plerorumque et optimorum, repoſuimus. Idem vocabulum legitur infra 5, 92 med. *πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο.* Herodoteum eſt vocabulum, qualia Thucydides ſaepe ſervat (cf. Benedict. ad h. l.). Et per ſe patet, *ἐπήροντο* facilius in notum omnibus *ἐπηρώτων* mutari potuiſſe, quam vice verſa.

κατά τε τὸ δίκαιον. Commata poſt *δέ* et *δίκαιον* ſuſtuli propter *τέ*, quod reſpondet ſequenti *δέ*, loco *τοῦ μέν*. Vid. ſupra ad cap. 11.

γέρα τὰ νομιζόμενα. Cum dicat *ἐν πανηγύρεσι ταῖς κοιναῖς*, intelligenda potiſſimum videtur *προεδρία*, quam etiam Scholiaſtes prae ceteris honoribus intelligit.

At Diodorus l. c. ſcribit: *διὰ τὸ μόνους τῶν ἀποίκων μὴ πέμπειν τὰ κατειθισμένα ἱερεῖα τῇ μητροπόλει.* — Ceterum *διδόντες* et quae ſequuntur participia: *προκαταρχόμενοι*, *περιφρονοῦντες* et *ἐπαιρόμενοι* (non autem *ὄντες*, cui reſpondet ſequens *δυνατώτεροι*) tamquam verba finita accipienda ſunt. Cf. 2, 29. *Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων, βασιλεύς τε πρῶτος ἐν κράτει Ὀδρυσῶν ἐγένετο.* 2, 68 med. *προσπαρακαλέσαντες.*

προκαταρχόμενοι τῶν ἱερῶν. Patet hoc loco, ſacrorum principes ex metropoli eſſe delectos. *Κορινθίῳ ἀνδρὶ* i. e. *διὰ Κορινθίου ἀνδρός.* Ceterum *προκατάρχεσθαι τῶν ἱερῶν* pertinet ad officia ſummi ſacerdotis, qui hoſtiae publice mactatae capiti vinum infundat, molam ſalſam inſpergat, crines frontis abſciſſos in ignem coniiciat.

τοὺς, καὶ χρημάτων δυνάμει ὄντες κατ' ἐκεῖνον τὸν χρόνον ὅμοια τοῖς Ἑλλήνων πλουσιωτάτοις, καὶ τῇ ἐς πόλεμον παρασκευῇ δυνατώτεροι· ναυτικῷ δὲ καὶ πολὺ προέχειν ἔστιν ὅτε ἐπαιρόμενοι, καὶ κατὰ τὴν Φαιάκων προενοίκησιν τῆς Κερκύρας, κλέος ἐχόντων τὰ περὶ τὰς ναῦς. Ἧι καὶ μᾶλλον ἐξηρτύοντο τὸ ναυτικὸν, καὶ ἦσαν οὐκ ἀδύνατοι. Τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον αὐτοῖς, ὅτε ἤρχοντο πολεμεῖν.

26. *Πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ Κορίνθιοι, ἔπεμπον ἐς τὴν Ἐπίδαμνον ἄσμενοι τὴν ὠφέλειαν, οἰκήτορά τε τὸν βουλόμενον ἰέναι κελεύοντες, καὶ Ἀμπρακιωτῶν καὶ Λευκαδίων καὶ ἑαυτῶν φρουρούς. Ἐπορεύθησαν δὲ πεζῇ ἐς Ἀπολλωνίαν, Κορινθίων οὖσαν ἀποικίαν, δέει τῶν Κερκυραίων, μὴ κωλύωνται ὑπ' αὐτῶν κατὰ θάλασσαν περαιούμενοι. Κερκυραῖοι δὲ, ἐπειδὴ ᾔσθοντο τούς τε οἰκήτορας καὶ φρουροὺς ἥκοντας ἐς τὴν Ἐπίδαμνον, τήν τε ἀποικίαν Κορινθίοις δεδομένην, ἐχαλέπαινον· καὶ πλεύσαντες εὐθὺς πέντε καὶ εἴκοσι ναυσὶ, καὶ ὕστερον ἑτέρῳ στόλῳ, τούς τε φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτοὺς, (ἦλθον γὰρ ἐς τὴν Κέρκυραν οἱ τῶν Ἐπιδαμνίων φυγάδες, τάφους τε ἀποδεικνύντες καὶ ξυγγένειαν, ἣν προϊσχόμενοι, ἐδέοντο σφᾶς κατάγειν) τούς τε φρουροὺς, οὓς οἱ Κο-*

ſuos ſe colonos defendere, partim odio in Corcyraeos, divitiis et navalibus copiis ſuperbientes. 26. Corinthii colonos et propugnatores Epidamnum mittunt, pedeſtri iti-

ὅμοια — πλουσιωτάτοις. Adverbialem huius adiectivi uſum firmat, ut poëtas omittam, veluti Euripid. Phoen. 170. Hecub. 596, et Herodot. (5, 57. *θησαυρὸς ἐν Δελφοῖς ἀνακέεται ὅμοια τοῖσι πλουσιωτάτοισι.* 7, 116. *ἀνὴρ δόκιμος ὅμοια τῷ μάλιστα*) Thucydides ipſe 7, 29. *τὸ γὰρ γένος τὸ τῶν Θρακῶν ὅμοια τοῖς μάλιστα τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι.* Cum vero noſtro loco *ὄντες* per ſe non ferat adverbium, ex *πλουσιωτάτοις* ſubaudiendum videtur *πλούσιοι.*

26. *ᾔσθοντο.* Hic aoriſtus pro *ᾔσθηντο* ex codicibus recipiendus eſt, ut iam alii monuerunt.

ἐκέλευον κατ' ἐπήρειαν δέχ. αὐτούς. Minantes poſtulabant, ut Epidamnii reciperent exſules.

ρίνθιοι ἔπεμψαν, καὶ τοὺς οἰκήτορας ἀποπέμπειν. Οἱ δὲ Ἐπιδάμνιοι οὐδὲν αὐτῶν ὑπήκουσαν. Ἀλλὰ στρατεύουσιν ἐπ' αὐτοὺς οἱ Κερκυραῖοι τεσσαράκοντα ναυσὶ μετὰ τῶν φυγάδων, ὡς κατάξοντες [αὐτοὺς], καὶ τοὺς Ἰλλυριοὺς προσλαβόντες. Προσκαθεζόμενοι δὲ τὴν πόλιν, προεῖπον, Ἐπιδαμνίων τε τὸν βουλόμενον καὶ τοὺς ξένους ἀπαθεῖς ἀπιέναι· εἰ δὲ μὴ, ὡς πολεμίοις χρήσεσθαι. Ὡς δ' οὐκ ἐπείθοντο, οἱ μὲν Κερκυραῖοι (ἔστι δ' ἰσθμὸς τὸ χωρίον) ἐπολιόρκουν τὴν πόλιν.

27. *Κορίνθιοι δ', ὡς αὐτοῖς ἐκ τῆς Ἐπιδάμνου ἦλθον ἄγγελοι, ὅτι πολιορκοῦνται, παρεσκευάζοντο στρατιάν· καὶ ἅμα ἀποικίαν ἐς τὴν Ἐπίδαμνον ἐκήρυσσον, ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βουλόμενον ἰέναι· εἰ δέ τις τὸ παραυτίκα μὲν μὴ ἐθέλει ξυμπλεῖν, μετέχειν δὲ βούλεται τῆς ἀποικίας, πεντήκοντα δραχμὰς καταθέντα Κορινθίας μένειν. Ἦσαν δὲ καὶ οἱ πλέοντες πολλοὶ, καὶ οἱ τὸ ἀργύριον καταβάλλοντες. Ἐδεήθησαν δὲ καὶ τῶν Μεγαρέων ναυσὶ σφᾶς ξυμπροπέμψειν, εἰ ἄρα κωλύοιντο ὑπὸ Κερκυραίων πλεῖν. Οἱ δὲ παρεσκευάζοντο αὐ-*

nere, ne a Corcyraeis, per mare transeuntes, interciperentur. Sed hi illorum remiſſionem exſulumque receptionem ab Epidamniis poſtulant, miſſis navibus. 27. Etiam Co-

ὡς κατάξοντες αὐτούς. A multis codd. abeſt *αὐτούς*, quod ab interprete adiectum videtur. Paullo ante verba *ναυσὶ τεσσαράκοντα* inverſo ordine legi iubent et optimi libri, et Thucydidis loquendi uſus.

προσκαθεζόμενοι τὴν πόλιν. Hanc lectionem tuentur optimi libri. Olim legebatur *τῇ πόλει.*

27. *ὅτι πολιορκοῦνται,* int. *οἱ Ἐπιδάμνιοι,* ex *Ἐπιδάμνου.* Cf. ad c. 2 extr.

ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ. Subaudi *μοίρᾳ,* parte, conditione aequali. Infinitivus *ἰέναι* declarat antecedens *ἀποικίαν,* quod genus infinitorum intellecto *ὥστε* explicari a Grammaticis ſolet.

ἐδεήθησαν δὲ καὶ τῶν Μεγαρ. — ξυμπροπέμψαι. Praeſtantiſſimi codices Reg. Aug. Caſſ. Cl. Gr. Par. A. F. H. exhibent *ξυμπροπέμψειν,* quod non videtur ſpernendum, cum non ſolum de futura re agatur, ſed etiam conditio ſubiiciatur: *εἰ ἄρα κωλύοιντο ὑπὸ Κερκυραίων πλεῖν.* Cf. 2, 29. *πείσειν γὰρ Σιτάλκην πέμπειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις;* ubi ad fidem plurimorum librorum ſcribendum eſt *πέμψειν.* 4, 27. *ὅτι ἀναγκασθήσεται — ψευδὴς φανήσεσθαι.* Cf. Poppo p. 152 ſeq.

τοῖς ὀκτὼ ναυσὶ ξυμπλεῖν, καὶ Παλῆς Κεφαλλήνων τέσσαρσι. Καὶ Ἐπιδαυρίων ἐδεήθησαν, οἳ παρέσχον πέντε· Ἑρμιονῆς δὲ μίαν, καὶ Τροιζήνιοι δύο· Λευκάδιοι δὲ δέκα, καὶ Ἀμπρακιῶται ὀκτώ. Θηβαίους δὲ χρήματα ᾔτησαν, καὶ Φλιασίους· Ἠλείους τε ναῦς τε κενὰς καὶ χρήματα. Αὐτῶν δὲ Κορινθίων νῆες παρεσκευάζοντο τριάκοντα, καὶ τρισχίλιοι ὁπλῖται.

28. Ἐπειδὴ δὲ ἐπύθοντο οἱ Κερκυραῖοι τὴν παρασκευὴν, ἐλθόντες ἐς Κόρινθον μετὰ Λακεδαιμονίων καὶ Σικυωνίων πρέσβεων, οὓς παρέλαβον, ἐκέλευον Κορινθίους τοὺς ἐν Ἐπιδάμνῳ φρουρούς τε καὶ οἰκήτορας ἀπάγειν, ὡς οὐ μετὸν αὐτοῖς Ἐπιδάμνου. εἰ δέ τι ἀντιποιοῦνται, δίκας ἤθελον δοῦναι ἐν Πελοποννήσῳ

rinthii exercitum et claſſem, plurium civitatum navibus et pecunia auctam, parant. 28. Corcyraei fruſtra de pace

καὶ Παλεῖς Κεφαλλήνων. Nominativus pluralis nominum in ευς utrum in εῖς, an in ῆς exeat apud Thucydidem, adhuc quaerendum eſt. Nam quod Valcken. ad Eurip. Phoen. 268 ſcribit, Ionicum η non ante Euclidis Archontis magiſtratum Athenis receptum fuiſſe, id, etiamſi ad vitam privatam pertineret, nihil tamen efficeret. Poppo quidem p. 133. terminationem in εῖς unice probare videtur. Buttmannus contra Gr. Gr. p. 85. tradit, antiquiores Atticos, veluti Thucydidem et Ariſtophanem, contraxiſſe pluralem nominum in ῆς; Schaeferus autem ad Gregor. Cor. p. 101. praefert terminationem in ῆς ſine iota ſubſcr. Sed cum difficile ſit, ita explicare ſummam librorum in his formis exhibendis inconſtantiam, Benedictus ad c. 103 aliam propoſuit rationem, qui utraque forma Thucydidem uſum eſſe putat, ita tamen, ut in eodem nomine ſibi conſtaret. In ſingulis igitur nominibus quaerendum eſſe, utram formam meliores codices praebeant, ideoque e. c. ubique ſcribendum Μεγαρεῖς. Hanc rationem ſi ſecutus fueris, perpauca erunt nomina, ubi ſcriptura ῆς codicum auctoritate retinenda ſit, nec niſi ea, quae vel ſemel, vel raro leguntur. Ne igitur fraudi ſint principi hiſtoricorum Graecorum, quae ſaepe librariorum pronuntiandi conſuetudini tribuenda videantur, non tam curavimus, ut ſcriptura ſibi conſtaret, quam utramque terminationem ut ibi reponeremus, ubi aut hanc aut illam meliores libri reponi iuberent. Ita factum eſt, ut tantum non ſemper antiquiorem formam εῖς praeferremus. Plerumque enim libri hanc formam tuentur. Plurimorum nominum exempla vid. 2, 9. cf. 5, 101.

28. **εἰ δέ τι ἀντιποιοῦνται,** int. Ἐπιδάμνου. — **ὡς οὐ μετόν,** quippe cum non eſſent participes. Ita participia παρόν, ἐξόν, προσῆκον, δοκοῦν, εἰρημένον

παρὰ πόλεσιν, αἷς ἂν ἀμφότεροι ξυμβῶσιν· ὁποτέρων δ᾽ ἂν δικασθῇ εἶναι τὴν ἀποικίαν, τούτους κρατεῖν. ἤθελον δὲ καὶ τῷ ἐν Δελφοῖς μαντείῳ ἐπιτρέψαι. πόλεμον δὲ οὐκ εἴων ποιεῖν· εἰ δὲ μὴ, καὶ αὐτοὶ ἀναγκασθήσεσθαι ἔφασαν, ἐκείνων βιαζομένων, φίλους ποιεῖσθαι οὓς οὐ βούλονται, ἑτέρους τῶν νῦν ὄντων μᾶλλον, ὠφελείας ἕνεκα. Οἱ δὲ Κορίνθιοι ἀπεκρίναντο αὐτοῖς, ἢν τάς τε ναῦς καὶ τοὺς βαρβάρους ἀπὸ Ἐπιδάμνου ἀπαγάγωσι, βουλεύσεσθαι· πρότερον δὲ, οὐ καλῶς ἔχειν, τοὺς μὲν πολιορκεῖσθαι, αὐτοὺς δὲ δικάζεσθαι. Κερκυραῖοι δὲ ἀντέλεγον, ἢν καὶ ἐκεῖνοι τοὺς ἐν Ἐπιδάμνῳ ἀπαγάγωσι, ποιήσειν ταῦτα· ἕτοιμοι δὲ εἶναι καὶ, ὥστε ἀμφοτέρους μένειν κατὰ χώραν, σπονδὰς [δὲ] ποιήσασθαι, ἕως ἂν ἡ δίκη γένηται.

29. Κορίνθιοι δὲ οὐδὲν τούτων ὑπήκουον· ἀλλ᾽ ἐπειδὴ πλήρεις αὐτοῖς ἦσαν αἱ νῆες, καὶ οἱ ξύμμαχοι παρῆ-

agunt. 29. Corinthiis bellum indicentibus, fit navalis

abſolute cum apud alios ſcriptores, tum vero apud Noſtrum ſaepiſſime adhibentur.

αἷς ἂν ἀμφότεροι ξυμβῶσιν. *Αἷς* ex attractionis conſuetudine pendet a *παρὰ πόλεσιν.*

ἑτέρους τῶν νῦν ὄντων μᾶλλον. *Μᾶλλον* pertinet ad *ἑτέρους:* „alios potius amicos, quam quos adhuc habuiſſent, ſibi ſe eſſe comparaturos;" nempe pro Corinthiis vel Spartanos, vel Athenienſes, ut poſtea reapſe fecerunt. *Matthiae* aliquando coniecit: *ἑκατέρους τῶν νῦν ἐχόντων μᾶλλον*, quia Scholiaſta *τῶν νῦν ὄντων* exponat *τῶν νῦν ἰσχυόντων*, et *ἔχειν μᾶλλον* ſit *potiorem eſſe.* Sed ita *τὸ νῦν* languere videtur; et corruptionis cauſam nemo facile perſpexerit.

πρότερον δὲ, οὐ καλῶς ἔχειν — ἑαυτοὺς δὲ δικάζ. Recipienda videtur lectio duodecim codd. *αὐτούς.* Pertinet enim hoc pronomen ad utrosque litigantes, et Corcyraeos et Corinthios, ut Bauerus bene perſpexit, etſi *ἑαυτούς*, quod ad Corinthios ſolos referendum eſſet, retineret. Sententia eſt: Priusquam illud factum ſit (i. e. naves ſuas et barbaros Epidamno abduxerint) non bene ſe habere, dum illi (Epidamnii) obſideantur, ipſos iudicio contendere. Particulae *μέν* et *δέ* ſaepe ita duo membra iungunt, ut alterum alterius ſive conditionem, ſive contrarium contineat. Cap. 35. *καὶ δεινὸν, εἰ τοῖσδε μὲν ἀπό τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς — ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης ξυμμαχίας εἴρξουσι.* V. Buttmann. Gr. Gr. p. 520.

ἕτοιμοι δὲ εἶναι καὶ ὥστε —. Iam Stephanus et poſt eum Poppo viderunt, *δέ* poſt *σπονδάς* locum depravare, cum, particula illa admiſſa, *ὥστε* penderet ab *ἕτοιμοι εἶναι*, quod contra linguae uſum fieret. Itaque cum

σαν, προπέμψαντες κήρυκα πρότερον πόλεμον προεροῦντα Κερκυραίοις, ἄραντες ἑβδομήκοντα ναυσὶ καὶ πέντε, δισχιλίοις τε ὁπλίταις, ἔπλεον ἐπὶ τὴν Ἐπίδαμνον, Κερκυραίοις ἐναντία πολεμήσοντες. Ἐστρατήγει δὲ τῶν μὲν νεῶν Ἀριστεὺς ὁ Πελλίχου, καὶ Καλλικράτης ὁ Καλλίου, καὶ Τιμάνωρ ὁ Τιμάνθους· τοῦ δὲ πεζοῦ, Ἀρχέτιμός τε ὁ Εὐρυτίμου, καὶ Ἰσαρχίδας ὁ Ἰσάρχου. Ἐπειδὴ δὲ ἐγένοντο ἐν Ἀκτίῳ τῆς Ἀνακτορίας γῆς, οὗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστιν, ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, οἱ Κερκυραῖοι κήρυκά τε προέπεμψαν αὐτοῖς ἐν ἀκατίῳ ἀπεροῦντα μὴ πλεῖν ἐπὶ σφᾶς, καὶ τὰς ναῦς ἅμα ἐπλήρουν, ζεύξαντές τε τὰς παλαιὰς, ὥστε πλωΐμους εἶναι, καὶ τὰς ἄλλας ἐπισκευάσαντες. Ὡς δὲ ὁ κῆρυξ τε ἀπήγγειλεν οὐδὲν εἰρηναῖον παρὰ τῶν Κορινθίων, καὶ αἱ νῆες αὐτοῖς ἐπεπλήρωντο οὖσαι ὀγδοήκοντα, (τεσσαράκοντα γὰρ Ἐπίδαμνον ἐπολιόρκουν) ἀνταναγαγόμενοι καὶ παραταξάμενοι ἐναυμάχησαν· καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παρὰ πολὺ, καὶ ναῦς πεντεκαίδεκα διέφθειραν τῶν Κορινθίων. τῇ δὲ αὐτῇ ἡμέρᾳ αὐτοῖς ξυνέβη καὶ τοὺς τὴν Ἐπίδαμνον πολιορκοῦντας

pugna, qua vincunt Corcyraei.

ex Scholiastae interpretatione pateat, eum δέ non invenisse in suo exemplari, hanc particulam abiiciendam censuerunt. — Praeterea etiam καί suo magis loco collocatum videatur, illa correctione admissa. Quare δέ uncis inclusimus. Ita ὥστε pendet a σπονδὰς ποιήσασθαι, ut 5, 75. Cf. 1, 29 extr. Si verum sit δέ, ad ἕτοιμοι δὲ εἶναι καί subaudiendum sit τοῦτο ξυγχωρεῖν.

29. Ἀριστεὺς ὁ Πελλίχου. Ita libri fere omnes exhibent hoc nomen, quod vulgo scribitur Πελλίκου.

κήρυκά τε προέπεμψαν αὐτ. ἐν ἀκατίῳ. Haud dubie vera est haec lectio. ἀκάτιον est navis actuaria. Ἀκτίῳ unde ortum sit, facile patet.

ζεύξαντές. ζευγνύειν s. ζευγνύναι ναῦν ad transtra et remos praecipue pertinet (ζυγοὺς ἁρμόζειν). Ἐπισκευάζειν latius patet, et omnino aptare, necessariis instrumentis vel armamentis instruere indicat.

τεσσαράκοντα γάρ. Hoc γάρ respicit locum cap. 25 extr., ubi Corcyraeis initio belli 120 naves bellicas fuisse dixerat.

αὐτοῖς ξυνέβη, Corcyraeis, ad quos eosdem etiam referendum est πολιορκοῦντας; non tamen ad omnes, sed ad eum tantum Corcyraeorum exercitum, qui Epidamnum obsidebat. Quod nisi distinguere voluisset, dativo

παραστήσασθαι ὁμολογίᾳ, ὥστε τοὺς μὲν ἐπήλυδας ἀποδόσθαι, Κορινθίους δὲ δήσαντας ἔχειν, ἕως ἂν ἄλλο τι δόξῃ.

30. Μετὰ δὲ τὴν ναυμαχίαν οἱ Κερκυραῖοι τροπαῖον στήσαντες ἐπὶ τῇ Λευκίμνῃ, τῆς Κερκύρας ἀκρωτηρίῳ, τοὺς μὲν ἄλλους οὓς ἔλαβον αἰχμαλώτους ἀπέκτειναν, Κορινθίους δὲ δήσαντες εἶχον. Ὕστερον δέ, ἐπειδὴ οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι, ἡσσημένοι ταῖς ναυσὶν, ἀνεχώρησαν ἐπ' οἴκου, τῆς θαλάσσης ἁπάσης ἐκράτουν τῆς κατ' ἐκεῖνα τὰ χωρία οἱ Κερκυραῖοι, καὶ πλεύσαντες ἐς Λευκάδα, τὴν Κορινθίων ἀποικίαν, τῆς γῆς ἔτεμον, καὶ Κυλλήνην, τὸ Ἠλείων ἐπίνειον, ἐνέπρησαν, ὅτι ναῦς καὶ χρήματα παρέσχον τοῖς Κορινθίοις. Τοῦ τε χρόνου τὸν πλεῖστον μετὰ τὴν ναυμαχίαν ἐπεκράτουν τῆς θαλάσσης, καὶ τοὺς τῶν Κορινθίων ξυμμάχους ἐπιπλέοντες ἔφθειρον, μέχρις οὗ Κορίνθιοι περιόντι τῷ θέρει πέμψαντες ναῦς καὶ στρατιὰν, ἐπεὶ σφῶν οἱ ξύμμαχοι ἐπόνουν, ἐστρατοπεδεύοντο ἐπὶ Ἀκτίῳ, καὶ περὶ τὸ Χειμέριον τῆς Θεσπρωτίδος, φυλακῆς ἕνεκα τῆς τε Λευκάδος καὶ τῶν ἄλλων πόλεων, ὅσαι σφίσι φίλιαι ἦσαν. Ἀντεστρατοπεδεύοντο δὲ καὶ οἱ Κερκυραῖοι ἐπὶ τῇ Λευκίμνῃ ναυσί τε καὶ πεζῷ. ἐπέπλεόν τε οὐδέτεροι ἀλλήλοις, ἀλλὰ τὸ θέρος τοῦτο ἀντικαθεζόμενοι, χειμῶνος ἤδη ἀνεχώρησαν ἐπ' οἴκου ἑκάτεροι.

31. Τὸν δ' ἐνιαυτὸν πάντα τὸν μετὰ τὴν ναυμαχίαν, καὶ τὸν ὕστερον, οἱ Κορίνθιοι ὀργῇ φέροντες τὸν πρὸς Κερκυραίους πόλεμον, ἐναυπηγοῦντο, καὶ παρε-

30. Hi dum graviter exercent imperium maritimum, 31. Corinthii maximas copias comparant. Quo metu compulsi Corcyraei, qui adhuc neque Atheniensibus, neque Lace-

τὴν Ἐπίδαμνον πολιορκοῦσι orationem poterat continuare. — Παραστήσασθαι, int. Epidamnios; ἐπήλυδας, ξένους, de quibus vid. c. 26. ἀποδόσθαι, πωλῆσαι.

30. τῆς γῆς ἔτεμον, int. μέρος τι. — ὅτι ναῦς κ. χρ. παρέσχον, nempe οἱ Ἠλεῖοι. Cf. c. 27 extr.

περιόντι τῷ θέρει, reliqua aestatis parte. Περιϊόντι mera Reiskii coniectura est, quam temere recepit Gottleberus.

σκευάζοντο τὰ κράτιστα νεῶν στόλον, ἔκ τε αὐτῆς Πελοποννήσου ἀγείροντες καὶ τῆς ἄλλης Ἑλλάδος ἐρέτας, μισθῷ πείθοντες. Πυνθανόμενοι δὲ οἱ Κερκυραῖοι τὴν παρασκευὴν αὐτῶν, ἐφοβοῦντο, καὶ (ἦσαν γὰρ οὐδενὸς Ἑλλήνων ἔνσπονδοι, οὐδὲ ἐπεγράψαντο ἑαυτοὺς οὔτε ἐς τὰς Ἀθηναίων σπονδὰς, οὔτε ἐς τὰς Λακεδαιμονίων) ἔδοξεν αὐτοῖς, ἐλθοῦσιν ὡς τοὺς Ἀθηναίους, ξυμμάχους γενέσθαι, καὶ ὠφέλειάν τινα πειρᾶσθαι ἀπ' αὐτῶν εὑρίσκεσθαι. Οἱ δὲ Κορίνθιοι, πυθόμενοι ταῦτα, ἦλθον καὶ αὐτοὶ ἐς τὰς Ἀθήνας πρεσβευσάμενοι, ὅπως μὴ σφίσι πρὸς τῷ Κερκυραίων ναυτικῷ καὶ τὸ αὐτῶν προσγενόμενον, ἐμπόδιον γένηται θέσθαι τὸν πόλεμον, ᾗ βούλονται. Καταστάσης δὲ ἐκκλησίας, ἐς ἀντιλογίαν ἦλθον. Καὶ οἱ μὲν Κερκυραῖοι ἔλεξαν τοιάδε.

52. „ΔΙΚΑΙΟΝ, ὦ Ἀθηναῖοι, τοὺς, μήτε εὐεργεσίας μεγάλης, μήτε ξυμμαχίας προυφειλομένης, ἥκοντας παρὰ τοὺς πέλας, ἐπικουρίας (ὥςπερ καὶ ἡμεῖς νῦν) δεησομένους, ἀναδιδάξαι πρῶτον, μάλιστα μὲν, ὡς καὶ ξύμφορα δέονται· εἰ δὲ μὴ, ὅτι γε οὐκ ἐπιζήμια· ἔπειτα δὲ, ὡς καὶ τὴν χάριν βέβαιον ἕξουσιν· εἰ δὲ τούτων μηδὲν σαφὲς καταστήσουσι, μὴ ὀργίζεσθαι, ἢν ἀτυχῶσι. Κερκυραῖοι δὲ μετὰ τῆς ξυμμαχίας τῆς αἰτήσεως καὶ ταῦτα πιστεύοντες ἐχυρὰ ὑμῖν παρέξεσθαι, ἀπέστειλαν ἡμᾶς. Τετύχηκε δὲ τὸ αὐτὸ ἐπιτήδευμα

daemoniis societate iuncti erant, ab illis auxilia petunt. Sed etiam Corinthii Athenas mittunt legatos, qui Atheniensium opem illis detrahere conentur. Utrique in concione Atheniensium audiuntur. 52. — 56. Oratio Cor-

31. **τὸ αὐτῶν προσγενόμενον**, nempe τῶν Ἀθηναίων.

32. **τοὺς, μήτε εὐεργεσίας μεγ.** — Τοὺς iungendum est cum ἥκοντας. Sententia est: „Iustum est, eos, qui nec beneficium magnum, nec societatem officiis ante praestitis meruerunt, primum demonstrare, si possint, utilia se petere; sin minus hoc potuerint, certe non noxia; deinde, ea quae certam gratiam sint habitura." Post πέλας virgula interpunxi.

τὸ αὐτὸ ἐπιτήδευμα, *idem institutum*, nempe nullius esse

πρός τε ὑμᾶς ἐς τὴν χρείαν ἡμῖν ἄλογον, καὶ ἐς τὰ ἡμέτερα αὑτῶν ἐν τῷ παρόντι ἀξύμφορον. Ξύμμαχοί τε γὰρ οὐδενός πω ἐν τῷ προτοῦ [χρόνῳ] ἑκούσιοι γενόμενοι, νῦν ἄλλων τοῦτο δεησόμενοι ἥκομεν, καὶ ἅμα ἐς τὸν παρόντα πόλεμον Κορινθίων ἔρημοι δι' αὐτὸ καθέσταμεν. Καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σωφροσύνη, τὸ μὴ ἐν ἀλλοτρίᾳ ξυμμαχίᾳ τῇ τοῦ πέλας γνώμῃ ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη. Τὴν μὲν οὖν γενομένην ναυμαχίαν, αὐτοὶ καταμόνας ἀπεωσάμεθα Κορινθίους. Ἐπειδὴ δὲ μείζονι παρασκευῇ ἀπὸ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος ἐφ' ἡμᾶς ὥρμηνται, καὶ ἡμεῖς ἀδύνατοι ὁρῶμεν ὄντες τῇ οἰκείᾳ μόνον δυνάμει περιγενέσθαι, καὶ ἅμα μέγας ὁ κίνδυνος, εἰ ἐσόμεθα ὑπ' αὐτοῖς· ἀνάγκη, καὶ ὑμῶν, καὶ ἄλλου παντὸς ἐπικουρίας δεῖσθαι· καὶ ξυγγνώμη, εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ, τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν.

33. Γενήσεται δὲ ὑμῖν πειθομένοις καλὴ ἡ ξυντυχία κατὰ πολλὰ τῆς ἡμετέρας χρείας· πρῶτον μέν, ὅτι ἀδικουμένοις, καὶ οὐχ ἑτέρους βλάπτουσι, τὴν ἐπικουρίαν ποιήσεσθε· ἔπειτα, περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι, ὡς ἂν μάλιστα μετ' ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθήσεσθε. ναυτικόν τε κεκτη-

cyracorum.

focios. Hoc ἄλογον eſt, omnem petendi rationem cauſamque auferens. Χρεῖα modo negotium auxilii petendi.

ἐς τὰ ἡμέτερα αὑτῶν. Ita ſcripſi pro vulgato αὐτῶν, praeeuntibus libris. Vid. ad 1, 5.

ἐν τῷ προτοῦ χρόνῳ. Vocem χρόνῳ, quae abeſt a multis libris, atque ex interpretamento orta videtur, uncis incluſi. Paullo poſt καθέσταμεν iam commendabat Kiſtemakerus. Opitulantur codices plerique et optimi. Vulgo καθέστημεν. — Genitivus Κορινθίων pertinet ad πόλεμον, non ad ἔρημοι.

περιέστηκεν, mutata, redacta eſt. Infra cap. 120. Ἔτι πλείω — εἰς τοὐναντίον αἰσχρῶς περιέστη.

τὴν μὲν οὖν γενομένην ναυμ. Recte Scholiaſta intelligit κατά, h. e. ἐν τῇ γενομένῃ ναυμαχίᾳ.

33. ἔπειτα — καταθήσεσθε. Vide notam ad 1, 84. De ἔπειτα, pro ἔπειτα δέ, praecedente μέν cf. ad cap. 98.

μεθα, πλὴν τοῦ παρ' ὑμῖν, πλεῖστον. Καὶ σκέψασθε, τίς εὐπραξία σπανιωτέρα, ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, εἰ, ἣν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε δύναμιν ὑμῖν προσγενέσθαι, αὕτη πάρεστιν αὐτεπάγγελτος, ἄνευ κινδύνων καὶ δαπάνης διδοῦσα ἑαυτήν, καὶ προσέτι φέρουσα ἐς μὲν τοὺς πολλοὺς ἀρετήν, οἷς δὲ ἐπαμυνεῖτε χάριν, ὑμῖν δ' αὐτοῖς ἰσχύν· ἃ ἐν τῷ παντὶ χρόνῳ ὀλίγοις δὴ ἅμα πάντα ξυνέβη· καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι, οἷς ἐπικαλοῦνται, ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ ληψόμενοι παραγίνονται. Τὸν δὲ πόλεμον, δι' ὅνπερ χρήσιμοι ἂν εἴημεν, εἴ τις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει, καὶ οὐκ αἰσθάνεται, τοὺς Λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας, καὶ τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς, καὶ ὑμῖν ἐχθροὺς ὄντας, καὶ προκαταλαμβάνοντας ἡμᾶς νῦν ἐς τὴν ὑμετέραν ἐπιχείρησιν, ἵνα μὴ τῷ κοινῷ ἔχθει κατ' αὐτῶν μετ' ἀλλήλων στῶμεν, μηδὲ δυεῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς, ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι.

τοῖς πολεμίοις λυπηροτέρα, εἰ, ἣν ὑμεῖς —. Post λυπηροτέρα Kistemakerus ponit signum aut exclamandi aut interrogandi, ne subaudire ἢ post comparativum necesse sit, quod nonnulli adeo in textum inseruerunt, etsi in nullo codice repertum. Sed facile quisque tacite cogitat ἢ ἐκείνη, quorum verborum explicationem esse, quae sequuntur; εἰ ἣν — αὐτεπάγγελτος, apparet. Post ἑαυτήν cum Kistem. minorem distinctionem posui pro puncto, quod editiones obsidet. Paullo post, meliores libros secutus, recepi κινδύνων pro κινδύνου, quod e correctione propter sequentem singularem δαπάνης ortum videtur. Probat etiam Poppo. — Τοὺς πολλοὺς intelligo Graecos omnes, praeter Corinthios eorumque socios, ad quos laus virtutis (ἀρετή) Atheniensium divulgatur. 1, 123. ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι.

τὸν δὲ πόλεμον — ἔσεσθαι. Bauerus nodum in scirpo quaerere videtur, subintelligens τοιοῦτον ad πόλεμον. Manifesta satis sententia: Bellum inter Peloponnesios et Athenienses oriturum esse, etiamsi hi Corcyraeis nullam tulissent opem, neque ab iis adiuvarentur.

παρ' αὐτοῖς. Sic meliores libri, *apud ipsos* nempe Lacedaemonios.

μηδὲ δυεῖν. Scholiastes intelligit θάτερον. Bauerus δυεῖν ad φθάσαι refert; sed φθάσαι accusativum, non genitivum accipit. Rectius igitur iungas: μηδὲ δυεῖν ἁμάρτωσι, φθάσαι (αὐτά), ἢ κακῶσαι — ἢ βεβαιώσασθαι, pro ἢ φθάσαι κακῶσαι, ἢ φθάσαι βεβαιώσασθαι. — Δυοῖν etiam h. l. Aug. Vid. ad cap. 20.

εὐπραγίαν vero invenias et praeter lib. VII, 68. nunquam posse in hac significatione: felix, prosperus.

οἷς referendum est ad δυεῖν; ἐπικαλεῖσθαί τινι enim est: aliquem increpare.

Ὑμέτερον δέ γ᾽ αὖ ἔργον προτερῆσαι, τῶν μὲν, διδόντων, ὑμῶν δὲ, δεξαμένων τὴν ξυμμαχίαν, καὶ προεπιβουλεύειν αὐτοῖς μᾶλλον, ἢ ἀντεπιβουλεύειν.

54. „Ἢν δὲ λέγωσιν, ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν, ὡς πᾶσα ἀποικία, εὖ μὲν πάσχουσα, τιμᾷ τὴν μητρόπολιν, ἀδικουμένη δὲ, ἀλλοτριοῦται. οὐ γὰρ ἐπὶ τῷ δοῦλοι, ἀλλ᾽ ἐπὶ τῷ ὅμοιοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται. Ὡς δὲ ἠδίκουν, σαφές ἐστι. προκληθέντες γὰρ περὶ Ἐπιδάμνου ἐς κρίσιν, πολέμῳ μᾶλλον ἢ τῷ ἴσῳ ἐβουλήθησαν τὰ ἐγκλήματα μετελθεῖν. Καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ᾽ αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέος μὴ ὑπουργεῖν. Ὁ γὰρ ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις λαμβάνων, ἀσφαλέστατος ἂν διατελοίη.

55. „Λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς, δεχόμενοι ἡμᾶς, μηδετέρων ὄντας ξυμμάχους. εἴρηται γὰρ ἐν αὐταῖς, τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ᾽ ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν. Καὶ δεινὸν, εἰ τοῖςδε μὲν ἀπό τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς, καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλλάδος, καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπηκόων ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι,

ὑμέτερον δὲ — ἀντεπιβουλεύειν. Hanc periodum Gottleberus cum Reiskio a ſequenti capite ad hoc retraxit, novumque caput a verbis *ἢν δὲ λέγωσιν* incepit. — *τῶν μὲν* i. e. *ἡμῶν μὲν.* Spectat enim haud dubie ad *abſentes* Corcyraeos. Eodem argumento defenditur *ὑμέτερον*, cui Heilmannus male praeſerebat *ἡμέτερον.* Nam ſi altero loco non de ſe, ſed de ſuis abſentibus agunt, ineptum eſſet, altero de ſe pronuntiare. Praeterea ex omni oratione patet, ab Athenienſibus potiſſimum id conſilium expoſci, ut hoſtium conatus reprimantur.

54. *ἐκ τοῦ εὐθέος.* Non eſt quod dubites, utrum haec verba ad *δεομένοις*, an ad *μὴ ὑπουργεῖν* referenda ſint. Scholiaſtes quidem poſteriorem rationem ſecutus eſt, explicans *ἀσκέπτως ὑπηρετεῖν;* eandem probat Gottleberus, qui *ἐκ τοῦ εὐθέος* accipit pro *εὐθὺς*, de tempore, ut ſit *illico, ſine ulla mora et haeſitatione.* Heilmannus autem, priorem rationem ſecutus, vertit: geradezu anſprechen. Phrynichus diſcernit *τὸ εὐθὺ* et *εὐθὺς*, quorum il-

καὶ ἀπὸ τῆς ἄλλοθέν ποθεν ὠφελείας, εἶτα ἐν ἀδικήματι θήσονται. πεισθέντων ὑμῶν ἃ δεόμεθα. πολὺ δὲ ἐν πλείονι αἰτίᾳ ἡμεῖς, μὴ πείσαντες, ὑμᾶς ἕξομεν. ἡμᾶς μὲν γὰρ, κινδυνεύοντας καὶ οὐκ ἐχθροὺς ὄντας, ἀπώσεσθε· τῶνδε δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων καὶ ἐπιόντων γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προςλαβεῖν περιόψεσθε, ἣν οὐ δίκαιον, ἀλλ' ἢ κἀκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν, καθ' ὅ,τι ἂν πεισθῆτε, ὠφέλειαν· μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς δεξαμένους, βοηθεῖν· πολλὰ δέ, ὥςπερ ἐν ἀρχῇ ὑπείπομεν, τὰ ξυμφέροντα ἀποδείκνυμεν· καὶ μέγιστον, ὅτι οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν (ὅπερ σαφεστάτη πίστις) καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας δι-

lud de loco, hoc de tempore adhiberi dicit. Et per se haec ratio aptior videtur propter praecedens *ἀπάτη*. Hoc enim est dolose agere, illud aperte.

35. *εἶτα*. Reposui minorem interpunctionem ante hanc vocem pro maiore, cum pertineat hoc membrum ad praecedentia, pendeatque ab *εἰ*. *εἶτα* est *ita*, *igitur*, mithin, folglich. Paullo post Bredovius recte comma fixit *ante ὑμᾶς*, non post.

τῶνδε δὲ οὐχ ὅπως — *οὐχ ὅπως* h. l. est *non modo non*, quemadmodum Latini adhibent *non modo*, plerumque sequente negatione, attamen etiam sine ea. Exempla vide apud Vigerum p. 432. Herm., quae Bauero nota non erant.

ἀλλ' ἢ κἀκείνων κωλύειν. Intelligunt vulgo *χρή*, nescio unde. Rectius videtur repetere *δίκαιον*, quod modo cum negatione praecesserat.

τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους. De lectione non dubitandum est; nam codices Ar. C. qui praebent *τὰς* — *μισθοφορίας*, e corruptissimis sunt. Scholiastes Palenses in Cephallenia respici ait, qui cum Atheniensium socii essent, Corinthiis auxilium ferebant. Cf. c. 27.

καθ' ὅ,τι ἂν πεισθῆτε. Portus vertit: quocumque modo vobis visum fuerit. Sed potius est: quatenus vobis persuasum fuerit. Poterant enim modice, poterant clanculum, non aperte, nec magnis viribus Corcyraeis opitulari.

ὥςπερ ἐν ἀρχῇ ὑπείπομεν. Supra cap. 33 init.

πολέμιοι ὑμῖν ἦσαν. Codices plerique praebent *ἡμῖν*. Corinthios supra c. 33. Atheniensium inimicos esse demonstraverat (*ὑμῖν ἐχθροὺς ὄντας*); eosdem Corcyraeorum hostes esse, cum res ipsa docet, tum pugna navalis, anno superiore commissa, ad quam spectat imperfectum *ἦσαν*. — *ὅπερ σαφεστάτη πίστις*. „Id quod firmissimam praestat fidem."

μεταστάντας, in aliam partem abeuntes, nempe Corcyraeos.

δομένης, οὐχ ὁμοία ἡ ἀλλοτρίωσις· ἀλλὰ μάλιστα μὲν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς· εἰ δὲ μὴ, ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν.

36. „Καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ, μὴ, δι᾽ αὐτὰ πειθόμενος, τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ, ἰσχὺν ἔχον, τοὺς ἐναντίους μᾶλλον φοβῆσον· τὸ δὲ θαρσοῦν μὴ δεξαμένου, ἀσθενὲς ὂν, πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέστερον ἐσόμενον· καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον ἢ καὶ τῶν Ἀθηνῶν βουλευόμενος· καὶ οὐ τὰ κράτιστα αὐταῖς προνοῶν, ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον, τὸ αὐτίκα περισκοπῶν, ἐνδοιάζῃ χωρίον προσλαβεῖν, ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦται καὶ πολεμοῦται. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις

οὐχ ὁμοία ἡ ἀλλοτρίωσις· ἀλλὰ μάλ. Signa parentheſeos ante *πολλὰ δέ* et *ἀλλοτρίωσις*, quae erant in Lipſ. ed. ſuſtuli, primum quia transitus cap. ſeq. *καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι* — docet, modo de utili, nondum de honeſto ſermonem eſſe; deinde quod *ἀλλά* reſpicit ad praecedens *οὐχ ὁμοία* (ut recte vidit Poppo), quibus ex verbis ſubaudiendum eſt *διαφέρει*, quod facile transit in eam notionem, ut ſit *praeſtat.* Maxime hoc apparet, ſi vertas germanice: Wenn euch das Bündniſs einer Seemacht, nicht einer Landmacht, geboten wird, ſo iſt die Entfremdung nicht gleich; ſondern ganz etwas anders (d. i. weit beſſer) iſt's, vor allen Dingen, wenn ihr könnt, keinen Andern Schiffe beſitzen zu laſſen; wo nicht, den zum Freunde zu haben, welcher die beſte Gewähr giebt.

36. *τὸ μὲν δεδιὸς αὐτοῦ.* *Τὸ δεδιός* eſt timor, ne hoſtes ruptum foedus ulciſcantur. *τὸ θαρσοῦν* h. l. eſt fiducia eius, qui ſibi ipſe ſufficere videtur. „Timor ipſius, non ſine viribus, receptis nobis hoſtes potius terrebit, quum confidentia nimia, et, nobis reiectis, invalida contra potentes hoſtes paullo ſecurior ſit, quam par eſt." *Ἀδεέστερον* an per linguae uſum liceat reddere *non formidandum*, ut Gottleberus facit, dubito. Ceterum participia *φοβῆσον*, *ἐσόμενον*, *βουλευόμενος*, *προνοῶν* pendent omnia a *γνώτω*, quod verbum participium adſumit pro infinitivo. Quare poſt *ἐσόμενον* minor interpunctio eſſe debet.

παράπλου. Kiſtem. corrigit *ἐν παράπλῳ*, ut eſt cap. 44 extr. Non ſequor. Graecis enim genitivus non infrequens, ſi quid accuratius definiunt. Herodot. 6, 116. *ὡς ποδῶν εἶχον.* Thucyd. 1, 22. *ὡς — εὐνοίας ἢ μνήμης ἔχοι.* 3, 92. *καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι.* Et ſtatim *τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἕξειν.* Porro alibi *ὡς εἶχε τάχους ἕκαστος.* Ubi genitivus ita pendet ab *ὡς*, ut h. l. ab

ἐπελθεῖν, τό, τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμψαι, καὶ ἐς τἄλλα ξυμφορώτατόν ἐστι. Βραχυτάτῳ δ' ἂν κεφαλαίῳ τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε· τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά, τὸ παρ' ὑμῖν, καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων. τούτων δ' εἰ περιόψεσθε τὰ δύο ἐς τὸ αὐτὸ ἐλθεῖν, καὶ Κορίνθιοι ἡμᾶς προκαταλήψονται, Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε· δεξάμενοι δὲ ἡμᾶς ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι." Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

37. „*ΑΝΑΓΚΑΙΟΝ, Κερκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν, καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι· ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε, καὶ τὴν τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. Φασὶ δὲ ξυμμαχίαν, διὰ τὸ σῶφρον, οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμε-*

37 — 43. Oratio Corinthiorum.

adverbio *καλῶς*. Neque erat, quod Zeunius ad Vigerum p. 402. (413 Herm.) adverbii *καλῶς* uſum h. l. pro ſingulari haberet.

τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον. Recte Poppo hos dativos ad homines refert, et germanico *für* explicat: *univerſis et ſingulis*. Ceterum h. l. iteratur *ἂν*. Sic infra capp. 76. 77. 136. 2, 94. 6, 37. Paullo poſt ex codd. recipiendum *ἡμετέραις* pro *ὑμετέραις*.

37. *ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν — ἀπώσησθε.* *Χρεία* eſt petitio, quam neceſſitas cogit; contra *ἀξίωσις*, quam aequitas iubet. *ἀφ' ἡμῶν*, pro *ἡμῶν*, ſubſtantivo verbali convenit. — *ἀσφαλέστερον* reſpondet verbis *μὴ ἀλογίστως*; illud eſt *certius*, hoc, *non temere, ſed conſiderate*.

τὸ δ' ἐπὶ κακουργίᾳ. *Τὸ* h. l. eſt *τοῦτο*, quod Homericum et a Thucydide alienum eſſe contendunt Interpretes ad 1, 6. Ibi ſane *ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι* — aliter accipiendum eſſe, docebimus ad 3, 17. Sed praeter hunc noſtrum locum et alios notavimus, ubi articulus pro demonſtrativo pronomine adhibetur. Infra c. 86. *οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν*. (Ita enim ibi diviſim ſcribendum eſſe, non *οἵδ' οὐκέτι*, defectus copulae docet). Plat. Apol. c. 27 init. *Τὸ δὲ οὐκ ἔστιν τοιοῦτον.* Cf. Thucyd. 1, 81. 87 init. 95 extr. 102. 104. 106. 151. 2, 65 init. *οἱ δὲ*

νοι πρὸς τἀδικήματα οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. Καὶ ἡ πόλις αὐτῶν ἅμα, αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς ὧν βλάπτουσί τινας μᾶλλον, ἢ κατὰ ξυνθήκας γίγνεσθαι. διὰ τὸ, ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας, μάλιστα τοὺς ἄλλους, ἀνάγκῃ καταίροντας, δέχεσθαι. Κἀν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον, οὐχ ἵνα μὴ ξυναδικῶσιν ἑτέροις, προβέβληνται, ἀλλ᾽ ὅπως καταμόνας ἀδικῶσι, καὶ ὅπως, ἐν ᾧ μὲν ἂν κρατῶσι, βιάζωνται, οὗ δ᾽ ἂν λάθωσι, πλέον ἔχωσιν, ἤν δέ πού τι προσλάβωσιν, ἀναισχυντῶσι. Καίτοι εἰ ἦσαν ἄνδρες (ὥσπερ φασὶν) ἀγαθοὶ, ὅσῳ ἀληπτό-

δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, et rurfus in verbis: ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγονοῖς τὴν δύναμιν. 2, 67. bis. 72. 75. 4, 3. Hoc tamen in brevioribus tantum membris videtur ufu venire.

οὔτε παρακαλοῦντες αἰσχύνεσθαι, i. e. erubefcere propter adhortationem, vel fi hortentur, nempe πρὸς τἀδικήματα.

αὐτάρκη θέσιν κειμένη — Eam urbis fitus opportunitatem ad praedam faciendam habet, ut fibi ipfa fufficiat, aliorum focietate non egens. Loci contortam ftructuram, quae tenebras offundebat interpretibus, obfcuriorem etiam reddidit Benedictus legendo τινά pro τινάς, quod prorfus abfonum eft, licet in nonnullis libris inveniatur. μᾶλλον pertinet ad ἡ πόλις — κειμένη. Opportunitate urbis potius, quam pactis, tamquam iudices funt eorum, quos laedunt; propterea quod minime ad alios navigantes, faepiffime ceteros, qui fluctuum et procellarum vi coacti eo devertunt, recipiunt.

τὸ εὐπρεπὲς ἄσπονδον. Hoc cum ironia dictum. προβάλλεσθαι eft *praetexere.*

ἐν ᾧ μὲν κρατῶσι — ἀναισχυντῶσι. His verbis explicat praecedentia ὅπως καταμόνας ἀδικῶσι. Eadem refpondent fuperioribus illis: ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. Sicut enim ibi, ita hic quoque tribus membris abfolvitur Corcyraeorum confilium, variatur autem oratio verbis ἐν ᾧ — οὗ — ἤν. βιάζωνται, ut vi poffint agere, nullo focio praepediti; πλέον ἔχωσι, fine focio confcio et participe; ἀναισχυντῶσι, fine tefte et arbitro, qui lucrum negantes arguere poffit.

καίτοι εἰ ἦσαν — δεικνύναι. Contra Kiftemakerum aliosque contendit Benedictus, ἄληπτον h. l. non effe *tutum, inexpugnabilem*, fed hominem *labis expertem neque dignum reprehenfione.* „Non enim, ait, propter potentiam et fortitudinem, fed propter integritatem potius et iuftitiae amorem caufam noftram aliis difceptandam permittimus.“ Sed tota haec argumentatio concidit altero ἦσαν, a Viro docto male intellecto. Nam verba ὅσῳ ἀληπτότεροι ἦσαν non conditionaliter et quafi negative ponuntur, ut εἰ ἦσαν ἄνδρες ἀγαθοί, fed definite et affirmative; alioqui fcribendum erat ἂν εἶεν. Praeterea fententia cum Thucydidis

τεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν, διδοῦσι καὶ δεχομένοις τὰ δίκαια, δεικνύναι.

38. „Ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους, οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν· ἄποικοι δὲ ὄντες, ἀφεστᾶσί τε διαπαντὸς, καὶ νῦν πολεμοῦσι, λέγοντες, ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν. Ἡμεῖς δὲ οὐδ' αὐτοί φαμεν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. Αἱ γοῦν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς, καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα. Καὶ δῆλον ὅτι, εἰ τοῖς πλέοσιν ἀρέσκοντες ἐσμὲν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν, οὐδ' ἐπιστρατεύοιμεν ἐκπρεπῶς, μὴ καὶ διαφερόντως τι ἀδικούμενοι. Καλὸν δ' ἦν, εἰ καὶ ἡμαρτάνομεν, τοῖςδε μὲν, εἶξαι τῇ ἡτετέρᾳ ὀργῇ, ἡμῖν δὲ αἰσχρὸν βιάσασθαι τὴν τούτων μετριότητα. Ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου, πολλὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι, καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν, κακουμένην μὲν οὐ προςεποιοῦντο, ἐλθόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ, ἑλόντες βίᾳ ἔχουσι.

loquendi usui, tum contextui maxime consentanea efficitur. Nam illi sane prae ceteris aliorum arbitrio suam rem disceptandam possunt tradere, quibus propter ipsorum securitatem iniusta iudicia non sunt timenda.

38. **οὐδ' ἐπιστρατεύοιμεν ἐκπρεπῶς.** Poppo recte reprehendit vulgarem interpretationem horum verborum, qua vertunt: neque eximio modo bellum iis *intulissemus*, nisi etiam insignem iniuriam *accepissemus*. Quasi scriptum esset: *οὐδ' ἂν ἐπεστρατεύσαμεν — μὴ ἀδικηθέντες.* Quod autem ipse ex codicibus pluribus recipiendum censet: *ἐπιστρατεύομεν*, id nobis non necessarium, et minus elegans videtur. Nam sententia: „Neque bellum inferre solemus, nisi iniuria afficimur" nescio quomodo ab h. l. aliena, et orationi parum iuncta et contexta videtur. Verba *οὐδ' ἐπιστρατεύοιμεν* pendent ab *ὅτι*, et *ἂν* ex superioribus repetitur. Optativum enim cum *ἂν* in eiusmodi sententiis pro futuro dubitanter posito *ἐπιστρατεύσομεν* usurpari, Atticae est elegantiae. — Pro *εὐπρεπῶς* recepimus e codicibus plurimis *ἐκπρεπῶς*, quod magis convenit sequenti *διαφερόντως*. Est enim *eximie*, *insigniter*; *εὐπρεπῶς* honeste, iuste.

ἡμῖν δὲ αἰσχρὸν βιάσασθαι. Mutavit structuram. Nam post *τοῖςδε μὲν εἶξαι* debebat dicere *ἡμῖν δὲ μὴ βιάσασθαι*, ut utrumque ad *καλὸν δ' ἦν* pertineret. Nunc posterius periodi membrum ita comparatum est, quasi antea scripsisset: *ἀλλὰ τοῖςδε μὲν καλὸν ἦν —.* **μετριότητα**, *ἐπιείκειαν*, moderationem.

39. „Καὶ φασὶ δὴ δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι· ἥν γε οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν ἐς ἴσον τά τε ἔργα ὁμοίως καὶ τοὺς λόγους, πρὶν διαγωνίζεσθαι, καθιστάντα. Οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ χωρίον, ἀλλ' ἐπειδὴ ἡγήσαντο, ἡμᾶς οὐ περιόψεσθαι, τότε καὶ τὸ εὐπρεπὲς τῆς δίκης παρέσχοντο· καὶ δεῦρο ἥκουσιν, οὐ τἀκεῖ μόνον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ ξυμμαχεῖν, ἀλλὰ ξυναδικεῖν· καὶ διαφόρους ὄντας ἡμῖν, δέχεσθαι σφᾶς· οὓς χρῆν, ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσι, μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες, τῆς ὠφελείας νῦν μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι, τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἕξετε· πάλαι δὲ κοινώσαντας τὴν δύναμιν, κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν· ἐγκλημάτων δὲ μόνων ἀμετόχους, οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν.

39. *ἥν γε οὐ τὸν προὔχοντα — δοκεῖν δεῖ.* Infinitivum *τηρεῖν* poſt *δεῖ*, qui a melioris notae codicibus abeſt, neque a Scholiaſta agnoſcitur, cum Bredovio ceterisque recentioribus Criticis expunximus, et comma ante *δοκεῖν* ſuſtulimus. Primum enim *τηρεῖν* apud Thucydidem ſemper eſt *obſervare, captare occaſionem* (vid. Bredov.), non iudicis vel arbitri cognitioni obtemperare; deinde patet, contortam verborum ſtructuram interpretibus corrumpendi anſam dediſſe. Nam pronomen relativum *ἥν* ita reſolvendum eſt in *ἀλλὰ ταύτην*, ut hoc demonſtrativum pendeat a participiis *προὔχοντα* et *προκαλούμενον*, non ab infinitivo *λέγειν*. Hoc iam ſenſit Bredovius, primus tamen perſpicue docuit Poppo, cuius acumini et grammaticae ſcientiae iam plures Thucydidis loci et medelam et lucem debent, multo plures olim debebunt. — Paullo poſt cum eodem et Benedicto inſeruimus *τέ* inter *τὰ ἔργα*. — *ἐς ἴσον τά τε ἔργα ὁμοίως καὶ τοὺς λόγους καθιστάναι* eſt: *facta non minus quam verba ita tamquam in integrum deducere, ut nil commodi prae altero habeas.*

μηδ' ἐν ᾧ ὑμεῖς — μεταλαβόντες. Reſpici ad bella cum Samiis et Aeginetis geſta, quorum ſequentibus capitibus ſubinde mentionem facit Corinthius, Scholiaſtes recte monet. Utrumque erat ante bella Perſica (*ὑπὲρ τὰ Μηδικά*, cap. 41.)

ἐγκλημάτων δὲ μόνων ἀμετόχους — κοινωνεῖν. Totum hoc membrum deeſt in optimis libris Reg. Caſſ. Aug. Cl. Par. A. F. H. Quare Gailius haec verba inter gloſſemata cenſet. Sed bene ea defendit Poppo p. 93 ſeq. *ἀμετόχους* ad Athenien-

40. „Ὡς μὲν οὖν αὐτοί τε μετὰ προςηκόντων τῶν τοῦ δικαίου κεφαλαίων ἐς ὑμᾶς ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσὶ, δεδήλωται· ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε, μαθεῖν χρή. Εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς, ἐξεῖναι παρ' ὁποτέρους τὶς τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστὶν, ἀλλ' ὅςτις, μὴ ἄλλων ἑαυτὸν ἀποστερῶν, ἀσφαλείας δεῖται, καὶ ὅςτις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πάθοιτε ἄν. Οὐ γὰρ τοῖςδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι. ἀνάγκη γὰρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. Καίτοι δίκαιοί γ' ἐστὲ, μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις, εἰ δὲ μὴ, τοὐν-

ſes pertinet, qualis transitus ab uno ſubiecto ad alterum frequens eſt apud Thucydidem. Vide infra cap. 43. νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ, τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας, τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. 2, 3. ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προςφέρωνται (οἱ Πλαταιεῖς) καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται (οἱ Θηβαῖοι). 2, 79. καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. Quae verba pertinent ad Athenienſes, cum paullo ante de eorum adverſariis ſermo fuiſſet. 5, 59. ubi καταβάντες pertinet ad Argivos, cum paullo ante de Lacedaemoniis ſermo eſſet. Sed fortaſſe rectius noſtro loco etiam verba πάλαι δὲ κοινώσαντας — ἔχειν ad Athenienſes referuntur, ut ſit transitus ab oratione recta ad obliquam, et ſubaudiatur χρῆν ὑμᾶς. Cf. Lib. Philol. Wratisl. p. 110. — μόνων varie ab interpretibus tentatum eſt. Ne Hermanni quidem interpretatione difficultas, quae ineſt illi quidem vocabulo, et toti loco, evaneſcere videtur. Intelligit enim ἀμετόχους non de praeterito, ſed de futuro tempore: „Ita vero, ut ſolorum criminum participes non reddamini, vos in eorum, quae Corcyraeorum (τούτων) res geſtas ſequuntur, communionem venire non oportet." Sed hoc, ſi quid video, contrarium eſt verbis τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἕξετε. Mihi alia ratione difficultas tolli videtur, nempe ſi ἐγκλήματα intelligas non crimina, probra paſſive, ſed criminationes active (cf. cap. 68), ut ſententia ſit: „ideo vero, quod vobis non eſt Corcyraeos obiurgandi locus, (nec tamen utilitatis quicquam ab iisdem) non ſtatim vos oportet in communionem τῶν ἀποβαινόντων venire." Quare μόνον, quod in duobus libris et edd. vett. eſt, praeferam vulgato μόνων.

40. μὴ ἄλλων ἑαυτὸν ἀποστερῶν. Boni codices habent ἄλλον, quod Benedicto praeferendum videtur, tamquam elegantius. Equidem, etſi iſtam elegantiam non aſſequor, tamen probo.

ἀνάγκη γὰρ — ἀμύνεσθαι. Int. ἡμῖν, aut ad infinitivum ἡμᾶς.

αντίον, ἐπὶ τούτους μεθ᾽ ἡμῶν ἰέναι· (Κορινθίοις μέν γε ἔνσπονδοι ἐστέ, Κερκυραίοις δὲ οὐδὲ δι᾽ ἀνακωχῆς πώποτ᾽ ἐγένεσθε) καὶ τὸν νόμον μὴ καθιστάναι, ὥςτε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι. Οὐδὲ γὰρ ἡμεῖς, Σαμίων ἀποστάντων, ψῆφον προςεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων, εἰ χρὴ αὐτοῖς ἀμύνειν· φανερῶς δὲ ἀντείπομεν, τοὺς προςήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. Εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόςεισι, καὶ τὸν νόμον ἐφ᾽ ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ᾽ ἡμῖν θήσετε.

41. „Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, ἱκανὰ, κατὰ τοὺς Ἑλλήνων νόμους· παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος, τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες, ὥςτε βλάπτειν, οὐδ᾽ αὖ φίλοι, ὥςτ᾽ ἐπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι. νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον, παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς Σαμίους, τὸ δι᾽ ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινη-

Σαμίων ἀποστάντων. Vide cap. 115 — 117. Iterum hoc bellum attingit c. 41.

φανεῖται καὶ ἃ — πρόςεισι. Ordinem verborum hunc puto: *φανεῖται οὐκ ἐλάσσω (χωρία), ἃ ἡμῖν πρόςεισι τῶν ὑμετέρων.* — *ἐφ᾽ ὑμῖν* idem fere fonat, quod *καθ᾽ ὑμῶν*. Defcribitur privilegium, quod ipfis latoribus magis damno fit, quam aliis.

41. **Δικαιώματα**, Rechtsgründe. Poft *ἔχομεν* interpunximus.

ὥςτ᾽ ἐπιχρῆσθαι. Quae h. l. vis fit vocabuli *ἐπιχρῆσθαι*, non conftat. Alii exponunt *faepius uti*, alii *abuti*, alii *uti* fimpliciter. Bredov. vertit: zugreifen, aui fenfum bene; opponitur enim ftatim *ἀντιδοθῆναι*. Rectius *Riemerus* in Lex. Graec. explicat *viciffim uti*, et comparat *ἐπιφράζομαι*, ubi *ἐπὶ* eodem modo vel viciffitudinem vel communionem notat.

πρὸς τὸν Αἰγινητῶν — Cf. Herodot. 5, 82. Aeginetae Epidauriis duas ftatuas furripuerant, quas negabant fe redituros Athenienfibus, quibus ab Epidauriis debitum vectigal, ob raptas ftatuas detrectabatur. Inde ortum bellum inter Athenienfes et Aeginetas.

καὶ ἡ ἐς Σαμίους, i. e. beneficium noftrum *ratione Samiorum* vobis collatum. Disfuaferant nempe Peloponnefiis, ne Samiis contra Athenienfes opem ferrent. V. cap. 40.

τῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν, καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο, οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες, τῶν ἁπάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾷν. φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ· πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν· ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φιλονεικίας ἕνεκα τῆς αὐτίκα.

42. „Ὧν ἐνθυμηθέντες, καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν, ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι· καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι, ξύμφορα δὲ, εἰ πολεμήσει, ἄλλα εἶναι. Τό τε γὰρ ξυμφέρον, ἐν ᾧ ἄν τις ἐλάχιστα ἁμαρτάνῃ, μάλιστα ἕπεται· καὶ τὸ μέλλον τοῦ πολέμου (ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύουσιν ἀδικεῖν) ἐν ἀφανεῖ ἔτι κεῖται· καὶ οὐκ ἄξιον, ἐπαρθέντας αὐτῷ, φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς Κορινθίους κτήσασθαι· τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγαρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον. Ἡ γὰρ τελευταία χάρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι. Μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε. Τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους, ἐχυρωτέρα

ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾷν. ἀπερίοπτος vox est Thucydidea, activo sensu pronunciata. παρὰ τὸ νικᾷν; prae victoriae studio.

φιλονεικίας ἕνεκα τῆς αὐτίκα. Pro φιλονεικίας Poppo coniicit φιλονικίας propter verba παρὰ τὸ νικᾷν. Permutari quidem saepe haec vocabula, notum est; hoc tamen loco non dixerim, alterum necessarium et unice verum esse.

42. ἡμᾶς ἀμύνεσθαι. Scholiastae et Grammatici, veluti Suidas et Eustathius, docent, ἀμύνεσθαι apud Thucydidem aliosque esse pro ἀμείβεσθαι, hoc loco diligenter notato.

ἐν ᾧ ἄν τις ἐλάχ. ἁμαρτάνῃ. Ita pro ἁμαρτάνοι, linguae usu iubente, ex melioribus libris scribendum esse, monuit Poppo.

ᾧ φοβοῦντες — ἀδικεῖν. Respicit ad cap. 33. Τοὺς Λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας —. Mox οὐ μέλλουσαν, non cunctantem, i. e. praesentem.

τῆς τε ὑπαρχούσης πρότερον —. Intelligendum τί. Megarenses Corinthiis addicti, Atheniensibus semper odiosi et infesti erant. Inde bello Peloponnesiaco Nisaea, portus illorum, ab Atheniensibus capta, et moenia diruta. Vid. infra 4, 66 seqq.

δύναμις, ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας, διὰ κινδύνων τὸ πλέον ἔχειν.

43. „Ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ Λακεδαίμονι αὐτοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ, τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας, τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. Τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν, ἐν ᾧ ὅ,τε ὑπουργῶν, φίλος μάλιστα, καὶ ὁ ἀντιστὰς, ἐχθρός. καὶ Κερκυραίους τούσδε, μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν, μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσι. Καὶ τάδε ποιοῦντες, τὰ προσήκοντά τε δράσετε, καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν αὐτοῖς.“ Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

44. Ἀθηναῖοι δὲ, ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους, ἐν δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν, Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν, (εἰ

44. Athenienfes prima ecclefia Corinthiis obtemperant, altera Corcyraeis ita opem decernunt, fi quis Corcyram ag-

43. ἐν τῇ Λακεδαίμονι αὐτοὶ προείπομεν. V. c. 40 extr.

καὶ μὴ — βλάψαι. De hoc transitu ad aliud fubiectum diximus ad 1, 39 extr. Nam ad κομίζεσθαι Corinthii intelligendi funt, ad ὠφεληθέντας βλάψαι Athenienfes.

καὶ Κερκυραίους τούσδε. Vulgo foloece legitur καὶ Κερκυραίους τε τούσδε. Cum in quatuor codicibus illud τέ defit, in aliis legatur δέ, cum Benedicto et Poppone eiecimus. Saepe τέ inepte additum in codicibus reperitur. Exempla vide ad 1, 133. 6, 17.

μήτε ξυμμάχους δέχεσθε — ἀμύνετε. Coniunctivum praefentis δέχησθε — ἀμύνητε, qui cum μή prohibitivo coniunctus foloecus eft, et hic et infra 5, 103 emendavit Poppo. Utroque loco codices nonnulli adfpirant. Cf. Buttmann. Gr. gr. p. 511.

τοιαῦτα δὲ καὶ οἱ Κορ. εἶπον. Stephanus, quem Benedictus fequitur, neceffario legendum putabat τοιαῦτα δή. Sed δέ retinendum effe, alia docent exempla. Vid. ad 1, 87. cf. Schol. ad 3, 49 init.

44. γενομένης καὶ δὶς ἐκκλησίας. καί h. l. eft adeo. Paullo poft ex μετέγνωσαν fubaudiendum ψηφισάμενοι, ut inde pendeat infinitivus μὴ ποιήσασθαι.

ὥστε τοὺς αὐτοὺς — νομίζειν. Intellige Corcyraeos, quibus tamquam *Neutralibus*, ut recentiores dicunt, utebantur.

γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαί·) ἐπιμαχίαν δὲ ἐποιήσαντο, τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ, ἢ Ἀθήνας, ἢ τοὺς τούτων ξυμμάχους. Ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὣς ἔσεσθαι αὐτοῖς, καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι [τοῖς] Κορινθίοις, ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἤν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν, ἐς πόλεμον καθιστῶνται. ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι.

45. Τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προσεδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων, οὐ πολὺ ὕστερον δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς.

grediatur. 45. Itaque navibus decem Corcyram miſſis

ἐπιμαχίαν δέ. Qui συμμαχίαν et ἐπιμαχίαν h. l. inter ſe permutata eſſe putarent, plures fuere. Sed rectiſſime de hac controverſia ſtatuit Bauerus, cuius notam apponam: „Sane ex vi vocabulorum etymologica ξυμμαχία eſt conditio auxilii ferendi (Defenſiv-Bündniſs), ἐπιμαχία foedus aggrediendi et impugnandi (Offenſiv-Alliance). Sed enim, cum loco ſuo movendi verba non adſit ratio critica, nec notatio nimis urgenda ſit, aut in uſu loquendi ſervetur, ſimplicius eſt, ξυμμαχίαν, ut frequentius vocabulum et per ſe latius patens, eſſe *genus*, et complecti omnia iura et auxilia foederum, qua defendendis ſociis, qua hoſtibus eorum bello petendis: ἐπιμαχίαν autem eſſe ſpeciem vel formam, quaſi ἐπιβοήθειαν, conditionem opis ferendae contra impugnantes, non tamen, ut hi ſint hoſtes defendentium." — Aptiſſimus ad hanc rem probandam locus exſtat 5, 27. ubi Graeciae civitates invitandae dicuntur, πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν. Ergo genus ſocietatis accuratius definitur addita defendendi hoſtis ratione, quae ineſt in ἐπιμαχεῖν. Non enim invadentes ſolum reprimere, ſed etiam redeuntes perſequi denotat, nec tamen invadere et impugnare (ἐπιστρατεύειν) cf. 5, 48. τῇ ἀλλήλων, int. χώρᾳ.

μὴ προέσθαι [τοῖς] Κορινθίοις. Articulum τοῖς ſeptem codd. omittunt; quare uncis incluſi.

τῆς τε Ἰταλίας — κεῖσθαι. Fruſtra Bauerus negat, genitivum Ἰταλίας καὶ Σικελίας pendere a παράπλῳ. Παράπλους Ἰταλίας neque hic, neque c. 36. eſt praeternavigatio *Italiae*, ſed *in Italiam*, neque hic genitivus pendere poteſt a καλῶς, a quo vocabulo ipſum παράπλου pendebat cap. 36.

45. δέκα ναῦς. In contumeliam Lacedaemonii, Cimonis filii

ἐστρατήγει δὲ αὐτῶν Λακεδαιμόνιός τε ὁ Κίμωνος, καὶ Διότιμος ὁ Στρομβίχου, καὶ Πρωτέας ὁ Ἐπικλέους. Προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι, καὶ μέλλωσιν ἀποβαίνειν, ἢ ἐς τῶν ἐκείνων τὶ χωρίον· οὕτω δέ, κωλύειν κατὰ δύναμιν. Προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. Αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν.

46. Οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. Ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγαρέων δὲ δώδεκα, καὶ Λευκαδίων δέκα, Ἀμπρακιωτῶν δὲ ἑπτὰ καὶ εἴκοσι, καὶ Ἀνακτορίων μία· αὐτῶν δὲ Κορινθίων ἐννενήκοντα. Στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους, πέμπτος αὐτός. Ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ, ἀπὸ Λευκάδος πλέοντες, ὁρμίζονται ἐς Χειμέριον τῆς

mandant, ne Corinthios invadant, nisi impetum in Corcyram facientes. 46. Corinthii naves CL emittunt; XC

(nam *Κίμωνος* scribi in sequentibus, non *Κίμμωνος*, etiam codices iubent), hoc factum esse tradit Plutarchus, quod decem tantum naves ei attribuerint, auctore Pericle.

ἢ ἐς τῶν ἐκείνων τὶ χωρίον. Οἱ ἐκεῖνοι soloecum esse, monuit Matthiae (Vid. Ed. Lipf. Tom. II. p. 765.). Itaque et hic, et cap. 53 extr. legit *τῶν ἐκεῖ τι χωρίον*. Sed cum ita Atheniensium mandatum nimis sit vagum et parum definitum, cumque in vocabulo *ἐκείνων* codices nihil varient: hoc quidem intactum relinquimus, *χωρίον* autem, pro quo Caff. et Aug. exhibent *χωρίων*, interpretamentum esse suspicaremur, nisi illorum codicum scriptura fere ubique ita congrueret, ut pro unius quamvis boni et vetustissimi libri testimonio haberi posset, aut si, eiusmodi varietates etiam in praestantissimis codicibus casu et errore oriri, ignotum esset. Sed nihil obstat, quo minus *τῶν* ab *ἐκείνων* separetur. Ut enim in singulari aliquis recte scribat: *ἐς τῶν ἐκείνου τὶ χωρίον*, ita etiam in plurali *ἐς τῶν ἐκείνων τὶ χωρίον* recte dixeris. Itaque vana est corruptionis suspicio. Scholiastes Epidamnum innui opinatur.

τοῦ μὴ λύειν ἕνεκα. Plerumque in tali structura omittitur *ἕνεκα*, per ellipsin, ut bis 2, 22. cf. 2, 75.

46. *Μεγαρέων δὲ δώδεκα.* Supra c. 27. octo tantum naves Megarensium numerabantur, quae proelio navali fusae erant cap. 29. Maiore igitur studio Megarenses classem suam reparaverant.

Θεσπρωτίδος γῆς. Ἔστι δὲ λιμήν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἄπο θαλάσσης, ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίδος, Ἐφύρα. ἐξίησι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν· διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτήν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. ῥεῖ δὲ καὶ Θύαμις ποταμός, ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεστρίνην· ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. Οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε καὶ στρατόπεδον ἐποιήσαντο.

47. Οἱ δὲ Κερκυραῖοι ὡς ᾔσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης, καὶ Αἰσιμίδης, καὶ Εὐρύβατος, ἐστρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων, αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. Ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν, καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοηθηκότες. Ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ

suas, ceteras sociorum. Eae ad Chimerium, Thesprotidis promontorium, appellunt. 47. Corcyraeorum apparatus

ἄπο θαλάσσης, a mari remota. In vulgatis editionibus recte hic ἄπο, cum supra c. 7. in eadem sententia ἀπὸ θαλάσσης scriptum sit.

ἐν τῇ Ἐλαιάτιδι — Ἐφύρα. Codices plerique exhibent Ἐφύρῃ, nonnulli Ἐφύρη sine iota subscripto. Neutra harum lectionum a Thucydide proficisci potuit, cum et dativus per se ineptus sit (non enim dicere poterat, urbem in urbe sitam esse), et Attica dialectus poscat Ἐφύρα. Huius nominis urbem etiam Strabo in Thesprotia memorat, et Scholiastes, licet corruptam terminationem sequatur, tamen hoc certe nomen urbis in exemplari suo invenit, ne quid aliud latere hic suspicemur. Ergo Ἐφύρα rescripsimus. — Ἐλαιάτιδι alii in Ἐλαιούντιδι (ab oppido Elaeunte) alii in Ἑλειάτιδι (palustri loco sita) mutare voluerunt. Sed vulgata retinenda videtur, ut in re incerta, praesertim cum Ptolemaeus portum Ἐλαίας memoret, a quo tota regio potuerit denominari.

ἐξίησι δὲ παρ' αὐτὴν — Ita cum Benedicto et Popp. e codd. reposuimus pro ἐξίεισι. Cf. 4, 103 init. ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν. 2, 102. Ἀχελῷος ποταμὸς — ἐς θάλασσαν ἐξίησι. Ita mox Ἀχέρων — ἐσβάλλει ἐς αὐτήν neutrali significatione dicitur. Cum iisdem viris doctis eiecimus articulum τὴν ante θάλασσαν, qui ab octo libris abest. — ὧν ἐντός, int. ποταμῶν. Nam Cestrine a littore erat remota. Quare ante ὧν colon pro commate posui.

47. *Σύβοτα.* Strabo VII. p. 449. Casaub. has insulas prope Leucimnam, Corcyrae orientale promontorium, sitas esse, refert. Scholiasta ad h. l., si homini fides,

ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες. Οἱ γὰρ ταύτῃ ἠπειρῶται ἀεί ποτε φίλοι αὐτοῖς εἰσιν.

48. Ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς Κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία, ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν ἀπὸ τοῦ Χειμερίου νυκτός. καὶ ἅμα ἕῳ πλέοντες, καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας. Ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων αἱ Ἀττικαὶ νῆες, τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον, τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς. Οὕτω μὲν Κερκυραῖοι ἐτάξαντο. Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἱ Μεγαρίδες νῆες εἶχον, καὶ οἱ Ἀμπρακιῶτιδες· κατὰ δὲ τὸ μέσον, οἱ ἄλλοι ξύμμαχοι ὡς ἕκαστοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ Κορίνθιοι, ταῖς ἄριστα τῶν νεῶν πλεούσαις, κατὰ τοὺς Ἀθηναίους καὶ τὸ δεξιὸν τῶν Κερκυραίων, εἶχον.

49. Ξυμμίξαντες δὲ, ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταστρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστάς· τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. Ἦν τε ἡ ναυμαχία καρτερὰ, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσα. Ἐπειδὴ γὰρ προσβάλλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο, ὑπό τε τοῦ πλήθους καὶ ὄχλου τῶν νεῶν,

bellici. 48. Utriusque classis acies instructa. 49. Descriptio naumachiae, quae atrox quidem, sed magis pede-

radit, tres esse parvas insulas, multos porcos alentes.

ἀεί ποτε φίλοι αὐτοῖς εἰσιν. Boni codices Reg. Cass. Aug. Marg. ordinem verborum hunc exhibent: *αὐτοῖς φίλοι εἰσί.*

48. *ὡς ἐπὶ ναυμαχίᾳ.* Iidem codices cum Mosq. et tribus Par. habent *ναυμαχίαν*, quorum auctoritatem sequendam esse duximus, cum ita Thucydides loqui soleat. Vide 2, 85 med. 86 init. Ibidem c. 83. pro *ὡς οὐκ ἐπὶ ναυμαχίᾳ*, ad optimorum librorum fidem reponendum est *οὐχ ὡς ἐπὶ ναυμαχίαν*. Cf. 4, 13. ubi sic legitur sine varietate.

49. *ἐπειδὴ τὰ σημεῖα — ἤρθη.* Schol. *σύμβολά τινα εἶχον, περὶ τὸν καιρὸν τῆς μάχης δεικνύμενα· καὶ ὅτε μὲν ἀνετείνετο τὰ σύμβολα, ἤρχοντο τῆς μάχης· ὅτε δὲ κατεσπῶντο, ἐπαύοντο.* Cf. cap. 63 med.

καὶ μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταστρώματος ὁπλίταις ἐς τὴν νίκην, οἳ καταστάντες ἐμάχοντο, ἡσυχαζουσῶν τῶν νεῶν. Διέκπλοι δ' οὐκ ἦσαν, ἀλλὰ θυμῷ καὶ ῥώμῃ τὸ πλέον ἐναυμάχουν, ἢ ἐπιστήμῃ. Πανταχῇ μὲν οὖν πολὺς θόρυβος, καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγιγνόμεναι τοῖς Κερκυραίοις, εἴ πῃ πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν πρόῤῥησιν τῶν Ἀθηναίων. Μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων ἐπόνει. Οἱ γὰρ Κερκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι, καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον, [καὶ] μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν, καὶ ἐπεκβάντες, ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους, καὶ τὰ χρήματα διήρπασαν. Ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό [τε], καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν· ᾗ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. Οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κερκυραίους πιεζομένους, μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τὸ μὲν πρῶτον

ſtri, quam navali proelio ſimilis erat. Dextrum Corinthio-

διέκπλοι. Sunt navium decurſus, quibus ſe ordini navium hoſtilium inſinuant, vel per medias elapſae a tergo eas adoriuntur. Cf. 2, 89 extr. 7, 36 poſt med., ubi memorat Auctor, Athenienſes hoc artificio ſuo maxime eſſe confiſos. Et ſane hac arte plerumque impari navium numero victoriam reportarunt.

εἴ πῃ πιέζοιντο, int. *οἱ Κερκυραῖοι.*

καὶ μέχρι τοῦ στρατοπέδου πλεύσαντες. *Καί* deeſt Reg. Caſſ. Aug. quod non caſu vel errore factum videtur. Ita enim apodoſis a verbis *μέχρι τοῦ στρατοπέδου* — incipit, ut alibi in ſimilibus locis. Certe facilius intelligitur h. l., quomodo adiici potuerit *καί*, quam cur exciderit.

οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό τε. Soloece legitur *ἡσσῶντό τε*, quod *τέ* non habet quo referatur, cum ſequens *καί* ad aliud ſubiectum pertineat. Quare extruſimus.

τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους. Paullo ante narraverat, Corcyraeos in ſiniſtro cornu viginti navibus hoſtes usque ad ſtationem eorum perſequutos eſſe. Ergo Corcyraeorum navium numerus, per ſe minor (ipſorum enim erant CX, Athenienſium X; Corinthii CL ferme habebant), impar erat hoſtium copiis.

ἀπροφασίστως, i. e. *μὴ προφασιζόμενοι,* ſine haeſitatione.

ἀπεχόμενοι, ὥστε μὴ ἐμβάλλειν τινί· ἐπειδὴ δὲ ἡ τροπὴ ἐγίγνετο λαμπρῶς, καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἴχετο ἤδη καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης, ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους.

50. Τῆς δὲ τροπῆς γενομένης, οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν, ἃς καταδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο, φονεύειν διεκπλέοντες μᾶλλον ἢ ζωγρεῖν· τούς τε αὐτῶν φίλους (οὐκ ᾐσθημένοι, ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ) ἀγνοοῦντες ἔκτεινον. πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων, καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμιξαν

rum cornu Corcyraei fugant, ſiniſtro Corinthii ſuperiores ſunt, donec Athenienſes quoque pugnam committant. 50. Corinthii iam victores inſequuntur Corcyraeos, ſed cum in

ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης. Bonae notae codices, Marg. Reg. Aug. Caſſ. Vind. Vaſc. et Schol. (nam ſubaudit τὰ πράγματα; quod abſurdum eſſet, ſi in ſuo exemplari vulgatum ξυνέπεσον inveniſſet) habent ξυνέπεσεν, quod non ſolum propter horum teſtimoniorum fidem, ſed etiam quod per ſe pateat, elegantiorem formam in vulgariorem facile mutari potuiſſe, repoſuimus.

50. τὰ σκάφη μὲν — ἃς καταδύσειαν. Τὰ σκάφη Scholiaſta recte explicat τὰ κοιλώματα τῶν νεῶν, quam interpretationem a Duckero improbatam eſſe mireris. Nam quid magis alienum eſt a Thucydidis loquendi more, quam poëtica iſta periphraſis, qua σκάφος νεώς pro nave accipiatur? — Verba ἃς καταδύσειαν una cum Scholiaſtae expoſitione: Ἀττικῶς, ὧν κατέδυον, varie intellecta ſunt; ſed eos verum vidiſſe puto, qui Scholiaſtae animadverſionem tantummodo ad pronomen referunt, et ad neglectam *attractionem*, Atticis ſcriptoribus maxime frequentatam. Nam καταδύσειαν quidem eſt pro κατέδυον, ut cap. 49 init. ἐπειδὴ γὰρ προσβάλλοιεν ἀλλήλοις pro προσέβαλλον, (cf. 7. 44 extr. ἐπειδὴ καταβαίνοιεν.) et hic proprius eſt Optativi uſus, ut rem ſaepius factam indicet, maxime in protaſi. V. Buttmann. Gr. gr. p. 479. Sed is uſus omnium Graecorum communis eſt. Ceterum καταδύειν nonnulli cum Scholiaſta ad cap. 54. exponunt *lacerare*; rectius explices: *perforando mergere*. Corinthii, ut homines trucidarent, non tantum vel temporis vel operae impendebant, ut ναυάγια ſive alveos navium, quas ipſi demergebant, ſuis navibus adnecterent et ſecum abducerent.

οὐκ ᾐσθημένοι. Boni codices habent αἰσθόμενοι, quod Benedictus reponendum cenſet. Cf. c. 26. Sed h. l. ᾐσθημένοι ſervo; eſt enim: *adhuc non animadverterant.*

ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο, ὁποῖοι ἐκράτουν, ἢ ἐκρατοῦντο. Ναυμαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ αὐτῆς γεγένηται. Ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο· καὶ τῶν πλείστων ἐκράτησαν, ὥστε προςκομίσαι πρὸς τὰ Σύβοτα, οἷ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προςβεβοηθήκει. Ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἔρημος. Τοῦτο δὲ ποιήσαντες, αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς Κερκυραίοις. Οἱ δὲ ταῖς πλωΐμοις, καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν, καὶ αὐτοὶ ἀντεπέπλεον, δείσαντες, μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν. ἤδη δὲ ἦν ὀψέ, καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν· καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο, κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προςπλεούσας, ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι, δείσαντες (ὅπερ ἐγένετο) μὴ νικηθῶσιν οἱ Κερκυραῖοι, καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι.

51. Ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι, καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι οὐχ ὅσας ἑώρων, ἀλλὰ πλείους, ὑπανεχώρουν. Τοῖς δὲ Κερκυραίοις (ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς) οὐχ ἑωρῶντο, καὶ ἐθαύμα-

eo effet, ut proelium iteraretur, adventu viginti navium Atticarum, quas Athenienfes, id quod factum erat providentes, in fubfidium miferant, fe recipiunt, 51. et pu-

πρὸς τὰ Σύβοτα. Ne haec Sybota, quae portum Thefprotidis appellat, cum infulis eiusdem nominis, fupra c. 47. memoratis, confundas. Cf. c. 54. Ibi erat ftatio et caftra Corcyraeorum: in his Corinthiorum.

ὡς ἐς ἐπίπλουν. Si vera eft recentiorum Criticorum obfervatio, ὡς non nifi de re animata dici: iam Stephanus verum vidit, qui lectionem aliquot codicum, ὡς ἐς ἐπίπλουν, probabat. Cf. c. 63. ὡς ἐς ἐλάχιστον χωρίον, ubi item nonnulli ἐς omittunt.

πρύμναν ἐκρούοντο, i. e. paullatim retro cedebant, non averfis navibus. Schol. ad h. l. ἐπὶ τὴν πρύμναν κωπηλατεῖν.

ὕστερον τῶν δέκα. Haec verba iungenda effe, neque τῶν δέκα ad βοηθοὺς referendum, facile intelligitur vel fine admonitione noftra. — *ὀλίγαι ἀμύνειν.* Vid. ad 2, 61.

51. *ὑπανεχώρουν.* Hanc le-

ζον τοὺς Κορινθίους πρύμναν κρουομένους· πρὶν τινὲς ἰδόντες εἶπον, ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι· τότε δὴ καὶ αὐτοὶ ἀνεχώρουν, (ξυνεσκόταζε γὰρ ἤδη,) καὶ οἱ Κορίνθιοι ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. Οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. Τοῖς δὲ Κερκυραίοις στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμνῃ, αἱ εἴκοσι νῆες ἐκ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάργου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι, κατέπλεον ἐς τὸ στρατόπεδον, οὐ πολλῷ ὕστερον ἢ ὤφθησαν. οἱ δὲ Κερκυραῖοι (ἦν γὰρ νὺξ) ἐφοβήθησαν, μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν, καὶ ὡρμίσαντο.

52. Τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κερκυραίων ὅσαι πλώϊμοι ἦσαν, ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι, εἰ ναυμαχήσουσιν. Οἱ δέ, τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς, καὶ παραταξάμενοι μετεώρους, ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηναίων ἀκραιφνεῖς, καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς, οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν ἐν

gna dirimitur, nocte ingruente. 52. Poſtridie Atticae naves Corinthiis pugnae occaſionem praebent. Sed illi de

ctionem cum Benedicto ex codd. recepimus pro ἐπανεχώρουν.

αἱ εἴκοσι νῆες αἱ ἐκ τῶν Ἀθ. αὗται. Alterum αἱ, auctoritate meliorum codicum eiecimus, quorum nonnulli pro ἐκ praebent ἀπό. Sed etiam cap. 52. legitur: ναῦς ἐκ τῶν Ἀθηναίων.

καὶ Ἀνδοκίδης ὁ Λεωγόρου. Hic eſt celeber ille orator, quem in numerum τῶν δέκα Grammatici Alexandrini retulerunt.

καὶ ὡρμίσαντο, ſc. αἱ νῆες. De hoc transitu ad aliud ſubiectum, non addito pronomine vide ad cap. 39.

52. *αἰχμαλώτων τε περὶ φυλακῆς.* Omnes editiones, praeter Steph. 2., tonum in πέρι retrahunt. Sed non video, unde pendeat φυλακῆς, niſi περὶ ſcribatur. Mox ad ἐπισκευὴν οὐκ οὖσαν ſubaudi ex ſuperioribus ὁρῶντες. Variat orationem de more Thucydides, pro ἐπισκευῆς οὐκ οὔσης. ἐπισκευή eſt reparatio, refectio.

χωρίῳ ἐρήμῳ· τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν, ὅπῃ κομισθήσονται, δεδιότες, μὴ οἱ Ἀθηναῖοι, νομίσαντες λελύσθαι τὰς σπονδὰς, διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν.

53. Ἔδοξεν οὖν αὐτοῖς, ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας, ἄνευ κηρυκίου προπέμψαι τοῖς Ἀθηναίοις, καὶ πεῖραν ποιήσασθαι. πέμψαντές τε ἔλεγον τοιάδε· „ΑΔΙΚΕΙΤΕ, ὦ ἄνδρες Ἀθηναῖοι, πολέμου ἄρχοντες, καὶ σπονδὰς λύοντες. Ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμποδὼν ἵστασθε, ὅπλα ἀνταιρόμενοι. Εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν, ἢ ἄλλοσε, εἴ ποι βουλόμεθα, πλεῖν, καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούςδε πρώτους λαβόντες, χρήσασθε ὡς πολεμίοις." Οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον, ὅσον ἐπήκουσεν, ἀνεβόησεν εὐθὺς λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι. Οἱ δὲ Ἀθηναῖοι τοιά-

reditu cogitant, veriti, ne domo intercludantur. 53. Statuunt igitur, viros quosdam absque caduceo ad Athenienſes mittere. Illis obiurgantibus, quod pacem ruperint, Athenienſes reſpondent, ſe non pacem violare, ſed Corcy-

τοῦ δὲ οἴκαδε πλοῦ — Abſolute hic genitivus non ponitur, quem intelligas, ſubaudita praepoſitione περί, *quod ad reditum attinebat*, *ratione reditus*; ſed pendet a διεσκόπουν, in quo latet notio τοῦ ἐνθυμεῖσθαι, διανοεῖσθαι. Cf. infra c. 68. ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε. Diod. Sic. 11, 77. λογισάμενοι τοῦ πολλὰς μυριάδας ἀποβαλεῖν.

53. ἄνευ κηρυκίου. Caduceo legati utebantur in bello, qui eius religione tuti et ſacroſancti erant. In pace non opus erat caduceo, ſed ἄνευ κηρυκίου ſive ἀκηρύκτως (cap. 146) ad hoſtes ſe conferebant. Corinthii volebant adhuc amici et ſocii Athenienſium videri, certe explorare, ipſisne impune abire liceret. Quod non poterant ſcire, niſi hoc modo, ne per caduceatores quidem, utut ab iis temperatum eſſet.

προπέμψαι. Codices non nulli προσπέμψαι habent. Sed vulgata vera eſt. Cf. ſupra c. 29 init. 4, 30. 7, 5 init. ubi vid. not. Ea verbi προπέμπειν vis, quae frequens eſt apud Homerum, e. c. Il. α, 442. πρό μ' ἔπεμψεν ἄναξ. ut ſimpliciter ſit mittere, (fortſchicken) haud ſcio an aliena ſit a Thucydide.

ὅσον ὑπήκουσεν. Reg. Caſſ. Aug. et duo Par. exhibent ἐπήκουσεν, quod cum Benedicto vulgato praetulerim, ut magis proprium in hac re vocabulum. Nam ὑπακούειν eſt *obtemperare*, *obſequi*, (v. 1, 140. 143 extr. 2, 62 med. al.); ἐπακούειν autem *adſtantem exaudire*.

δε ἀπεκρίναντο· „ΟΥΤΕ ἄρχομεν πολέμου, ὦ ἄνδρες Πελοποννήσιοι, οὔτε τὰς σπονδὰς λύομεν· Κερκυραίοις δὲ τοῖσδε, ξυμμάχοις οὖσι, βοηθοὶ ἤλθομεν. Εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δὲ ἐπὶ Κέρκυραν πλευσεῖσθε, ἢ ἐς τῶν ἐκείνων τὶ χωρίον, οὐ περιοψόμεθα κατὰ τὸ δυνατόν.“

54. Τοιαῦτα τῶν Ἀθηναίων ἀποκριναμένων, οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο, καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις. οἱ δὲ Κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς, ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ· καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις, ὡς νενικηκότες. Γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο· Κορίνθιοι μέν, κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτὸς, ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι, καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κερκυραῖοι δέ, τριάκοντα ναῦς μάλιστα διαφθείραντες, καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ νεκρούς, καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ Κορίνθιοι, ἰδόντες τὰς Ἀττικὰς ναῦς, καί, ἐπειδὴ ἦλθον, οὐκ ἀντέπλεον ἐκ τῶν Συβότων, διὰ ταῦτα τροπαῖον ἔστησαν. Οὕτω μὲν ἑκάτεροι νικᾶν ἠξίουν.

raeis, ſociis ſuis, opem ferre. Si aliquo vellent curſum dirigere, ſe non impedire; ſin Corcyram, non eſſe paſſuros. 54. Poſito ab utraque parte tropaeo, quod utraque victo-

54. καί, ἐπειδὴ ἦλθον — Duodecim codices poſt haec verba addunt vel οἱ Ἀθηναῖοι vel Ἀθηναῖοι, quod iam Stephanus recte reiiciebat, ut aperte falſum, cum haec ad Corcyraeos pertinerent, et ex antecedentibus (ἐπειδὴ Ἀθηναῖοι ἦλθον) ortum. Benedictus tamen defendere auſus eſt. ἐπειδὴ ἦλθον eſt pro ἐπ. ἐπέπλευσαν, quod altero die factum eſſe narravit ſupra cap. 52.

55. Οἱ δὲ Κορίνθιοι ἀποπλέοντες ἐπ' οἴκου, Ἀνακτόριον, ὅ ἐστιν ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, εἷλον ἀπάτῃ· (ἦν δὲ κοινὸν Κερκυραίων καὶ ἐκείνων) καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτορας, ἀνεχώρησαν ἐπ' οἴκου· καὶ τῶν Κερκυραίων ὀκτακοσίους μὲν, οἳ ἦσαν δοῦλοι, ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους δήσαντες ἐφύλασσον, καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως αὐτοῖς τὴν Κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν. ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως. Ἡ μὲν οὖν Κέρκυρα οὕτω περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀνεχώρησαν ἐξ αὐτῆς. Αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ πολέμου τοῖς Κορινθίοις ἐς τοὺς Ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κερκυραίων ἐναυμάχουν.

56. Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν. Τῶν γὰρ Κορινθίων πρασσόντων, ὅπως τιμωρήσωνται αὐτοὺς, ὑποτοπήσαντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι, Ποτιδαιάτας, οἳ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, ὄντας Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν, καὶ ὁμήρους δοῦναι· τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν, καὶ τὸ λοιπὸν μὴ δέχεσθαι, οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον· δείσαντες, μὴ ἀπο-

riam ſibi vindicabat, 55. Corinthii, domum proficiſcentes, in itinere Anactorium dolo capiunt, captosque Corcyraeos in vinculis cuſtodiunt, quorum opera (erant enim nobiliſſimi) Corcyram ſibi conciliatum iri ſperant. 56. Praeter hanc belli Athenienſium cum Peloponneſiis cauſam et aliae intercedebant. Nam Potidaeatis, Corinthiorum colo-

56. *πρασσόντων, ὅπως τιμωρήσωνται.* E ſeptem codicibus Gailius edidit *τιμωρήσονται*, probante Benedicto. Utrumque uſus Thucydidis fert. Cf. 3, 4. *ἔπρασσον, ὅπως τὶς βοήθεια ἥξει.* 1, 65. *ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα.* 7, 17. *ὅπως ναυμαχίας ἀποπειράσωσι.* Etiam *ὅπως μὴ* cum coniunctivo aor. 1. activi et medii iungitur apud Noſtrum. Vid. Poppo p. 155, qui praeter alios Daweſianum illum canonem impugnat.

στῶσιν, ὑπό τε Περδίκκου πειθόμενοι καὶ Κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ Θράκης ξυναποστήσωσι ξυμμάχους.

57. Ταῦτα δὲ περὶ τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν. Οἵ τε γὰρ Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεὺς, ἐπεπολέμωτο, ξύμμαχος πρότερον καὶ φίλος ὤν. Ἐπολεμώθη δὲ, ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Δέρδᾳ, κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις, οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. Δεδιώς τε ἔπρασσεν, ἔς τε τὴν Λακεδαίμονα πέμπων, ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο, τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θράκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ᾽ αὐτῶν ποιεῖσθαι. Ὧν οἱ Ἀθηναῖοι αἰσθόμενοι, καὶ βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις (ἔτυχον

nis, Athenienſium autem ſociis, ne ab illis ad defectionem perducerentur, hi imperarunt, ut murum, Pallenen ſpectantem, diruerunt, obſidesque darent, et Corinthiorum praefectos dimitterent. 57. Eodem tempore etiam Perdiccas, Macedoniae rex, hoſtis Athenienſium ex ſocio factus, ut bellum illis cum Lacedaemoniis conflaret, horum

57. ταῦτα δὲ περὶ τοὺς Ποτιδαιάτας — Recepi lectionem multorum codd. περί loco πρός, quae ipſa huius loci ſententia defenditur. Nam non *adverſus Potidaeatas* hoc moliebantur Athenienſes, ſed *de Potidaeatis* praeparabant.

Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν. Addidi ἤδη ex Cl. Reg. Caſſ. Aug., quod facile potuit excidere propter primam ſyllabam ſequentis vocabuli. Et ſic alibi Thucydides. cf. 6, 31 extr. 32 init.

καὶ Δέρδᾳ. Derdas erat, ſecundum Scholiaſtam, Arrhidaei filius, Perdiccae et Philippi conſobrinus.

δεδιώς τε ἔπρασσεν —. Πράσσειν h. l. eſt *agere*, unterhandeln, ut cap. 56. 58. 3, 4. et plurimis locis. Notandus eſt hic locus propter mutatam ſtructuram. Transit enim Auctor a participio ad verbum finitum: ἔς τε τὴν Λακεδαίμονα πέμπων — καὶ τοὺς Κορινθίους προσεποιεῖτο pro προσποιούμενος. Vid. ad 3, 37.

γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων δέκα στρατηγοῦντος·) ἐπιστέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν, Ποτιδαιατῶν τε ὁμήρους λαβεῖν, καὶ τὸ τεῖχος καθελεῖν, τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν, ὅπως μὴ ἀποστήσωνται.

58. Ποτιδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους πρέσβεις, εἴ πως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδέν, ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων, ὅπως ἑτοιμάσαιντο τιμωρίαν, ἢν δέῃ, ἐπειδὴ ἔκ τε Ἀθηναίων ἐκ πολλοῦ πράσσοντες οὐδὲν εὕροντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες, αἱ ἐπὶ Μακεδονίαν, καὶ ἐπὶ σφᾶς ὁμοίως ἔπλεον, καὶ τὰ τέλη τῶν Λακεδαιμονίων ὑπέσχοντο αὐτοῖς, ἢν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐςβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται μετὰ Χαλκιδέων καὶ Βοττιαίων, κοινῇ ξυνομόσαντες. καὶ Περδίκκας πείθει Χαλκιδέας, τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας, καὶ καταβαλόντας, ἀνοικίσασθαι ἐς Ὄλυνθον, μίαν τε πόλιν

ſocietatem petiit. 58. Interim Potidaeatae ſimul cum Athenienſibus et Lacedaemoniis agunt. Quoniam ab illis nil impetrant, ab his autem auxilium ita promittitur, ſi Athenienſes Potidaeam irent, Potidaeatae deficiunt cum Bottiaeis et Chalcidenſibus, qui Chalcidenſes, ſuadente

ἐπιστέλλουσιν. Schol. ἐντέλλονται. οὔπω γὰρ ἦσαν ἀποδημήσαντες.

58. ὅπως ἑτοιμάσαιντο τιμωρίαν. Ante haec verba in omnibus libris legitur ἔπρασσον. Sed cum, ſi hoc verbum retineas, ſequens periodus Ἐπειδὴ ἔκ τε Ἀθηναίων — τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται copula careat; eo abſente contra optime omnia una periodo procedant, ſuſpectum mihi viſum eſt ἔπρασσον gloſſematis nomine, et uncis includendum eſſe ſtatui. Cum autem etiam Poppo idem vocabulum damnet, et gravius etiam accuſet, propterea quod ex periodi forma ad πέμψαντες non minus quam ad ἐλθόντες illud verbum referri neceſſe ſit, ſententia autem poſcat, ut non niſi ad poſterius referatur (nam Athenas non auxilii petendi cauſa venerunt, ſed perſuaſuri, ne quid de ipſorum ſtatu mutaretur) manifeſtum interpretamentum extruſimus.

τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον. Eodem modo paullo latius loquitur 2, 84 med. Ita 1, 5 init. πρὸ τῶν Τρωϊκῶν πρότερον. Vid. ad 1, 23.

ταύτην ἰσχυρὰν ποιήσασθαι· τοῖς τε ἐκλείπουσι τούτοις, τῆς ἑαυτοῦ γῆς τῆς Μυγδονίας περὶ τὴν Βόλβην λίμνην ἔδωκε νέμεσθαι, ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. Καὶ οἱ μὲν ἀνῳκίζοντό τε, καθαιροῦντες τὰς πόλεις, καὶ ἐς πόλεμον παρεσκευάζοντο.

59. *Αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ Θρᾴκης, καὶ καταλαμβάνουσι τήν τε Ποτιδαίαν καὶ τἄλλα ἀφεστηκότα. Νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει, καὶ τὰ ξυναφεστῶτα χωρία, τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ᾽ ὅπερ καὶ τὸ πρότερον ἐξεπέμποντο· καὶ καταστάντες, ἐπολέμουν μετὰ Φιλίππου καὶ τῶν Δέρδου ἀδελφῶν, ἄνωθεν στρατιᾷ ἐσβεβληκότων.*

60. *Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι, τῆς Ποτιδαίας ἀφεστηκυίας, καὶ τῶν Ἀττικῶν νεῶν περὶ Μακεδονίαν οὐσῶν, δεδιότες περὶ τῷ χωρίῳ, καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι, πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς, καὶ τῶν ἄλλων Πελοποννησίων μισθῷ πείσαντες, ἑξακοσίους καὶ χιλίους τοὺς πάντας ὁπλίτας, καὶ ψιλοὺς τετρακο-*

Perdicca, urbes ſuas prope mare ſitas deſtruunt, et Olynthum et in Mygdoniam migrant. 59. Itaque Athenienſium naves advectae, cum Potidaeam aliasque urbes Thraciae iam deſeciſſe cognoviſſent, quia ſimul cum Thracia et Perdicca contendere non poterant, in Macedoniam ſe convertebant, et una cum Philippo et Derda, deſuper invadentibus, adverſus Perdiccam bellum gerebant. 60. In-

τῆς τε Μυγδονίας. *Τέ*, quod duodecim Mſſ. ignorant, cum aliis delevimus. Pro *Βολβήν* ſcripſerim *Βόλβην*, accentu mutato, e codicibus Gr. Caſſ. Aug. et quia ſic legitur infra 4, 103.

59. *καὶ καταστάντες.* *Καταστῆναι* h. l. eſt *conſiſtere in loco et ad pugnandum ſe parare* (ſich aufſtellen, Poſto faſſen). c. 62. *ἀντικαθίσταντο καὶ αὐτοί.* cf. 3, 92 extr. *Καταστάντες δὲ, ἐτείχισαν τὴν πόλιν.*

60. *δεδιότες περὶ τῷ χωρίῳ.* Sic rurſus cap. 67 init. 74 extr. *δείσαντες περὶ τῇ χώρᾳ.* 4, 70. *δείσας περὶ Πελοποννησίοις.* Neque tamen genitivus ſine exemplo eſt apud Thucydidem. 7, 75 med. *περὶ τῶν ἐν ἀφανεῖ δεδιότας.*

σίους. Ἐστρατήγει δὲ αὐτῶν Ἀριστεὺς ὁ Ἀδειμάντου, κατὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ Κορίνθου στρατιῶται ἐθελονταὶ ξυνέσποντο· ἦν γὰρ τοῖς Ποτιδαιάταις ἀεί ποτε ἐπιτήδειος. Καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ Θρᾴκης, ᾗ Ποτίδαια ἀπέστη.

61. Ἦλθε δὲ καὶ τοῖς Ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων, ὅτι ἀφεστᾶσι· καὶ πέμπουσιν, ὡς ᾔσθοντο καὶ τοὺς μετὰ Ἀριστέως ἐπιπαρόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας καὶ τεσσαράκοντα ναῦς, πρὸς τὰ ἀφεστῶτα, καὶ Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτὸν στρατηγόν. Οἳ ἀφικόμενοι ἐς Μακεδονίαν πρῶτον, καταλαμβάνουσι τοὺς προτέρους χιλίους Θέρμην ἄρτι ᾑρηκότας, καὶ Πύδναν πολιορκοῦντας. Προσκαθεζόμενοι δὲ καὶ αὐτοὶ τὴν Πύδναν ἐπολιόρκησαν μέν, ἔπειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμμαχίαν ἀναγκαίαν πρὸς τὸν Περδίκκαν, ὡς αὐτοὺς κατήπειγεν ἡ Ποτίδαια, καὶ ὁ Ἀριστεὺς παρεληλυθώς, ἀπανίστανται ἐκ τῆς Μακεδονίας· καὶ ἀφικόμενοι ἐς Βέροιαν, κἀκεῖθεν, ἐπιστρέψαντες καὶ πειράσαντες πρῶτον τοῦ χωρίου,

terim Corinthii praeſidium mittunt Potidaeam, duce Ariſteo. 61. Item Athenienſes XL naves et duo millia militum gravis armaturae, duce Callia, ſubſidio mittunt eodem. Qui

ᾗ Ποτίδαια ἀπέστη. Ita codices omnes et Scholiaſta, quod ſine cauſa impugnatum eſt. Nihil Graecis frequentius eſt, quam pronomen demonſtrativum ante relativum omittere. Hoc loco *ἐκείνης* ſc. *ἡμέρας* ſubaudiendum eſt.

61. *ἡ ἀγγελία τῶν πόλεων, ὅτι ἀφ.* Pro *ἡ ἀγγελία, ὅτι αἱ πόλεις ἀφεστᾶσι.* Genitivus *πόλεων* paſſivam habet ſignificationem; vulgo ſubaudiunt *περί.*

ἐς Βέροιαν. Ita pro vulgato *Βέῤῥοιαν* exhibent boni codices et nummi huius oppidi nomen. v. Bredov. ad h. l. Sita eſt Beroea Pydnae verſus occidentem et ſeptemtrionem, quae licet non extra fines Macedoniae eſſet, tamen certum eſt, Macedoniam verſus occidentem illis temporibus anguſtis ſane finibus circumſcriptam fuiſſe. Pieria tamen, Bottiaea, pars Paeoniae, Mygdonia, Biſaltia et Creſtonia iam tum Macedoniae provinciae erant. Vid. 2, 99. Ceterum cum Beroea Macedoniae oppidum ſit, *ἀπανίστανται* de conatu et conſilio Macedoniam relinquendi accipiendum eſt.

κἀκεῖθεν ἐπιστρέψαντες

καὶ οὐχ ἑλόντες, ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν, τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων πολλοῖς, ἱππεῦσι δὲ ἑξακοσίοις Μακεδόνων τοῖς μετὰ Φιλίππου καὶ Παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομήκοντα. κατ' ὀλίγον δὲ προϊόντες, τριταῖοι ἀφίκοντο ἐς Γίγωνον, καὶ ἐστρατοπεδεύσαντο.

62. Ποτιδαιάται δὲ καὶ οἱ μετὰ Ἀριστέως Πελοποννήσιοι προσδεχόμενοι τοὺς Ἀθηναίους, ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθῳ ἐν τῷ ἰσθμῷ· καὶ ἀγορὰν ἔξω τῆς πόλεως ἐπεποίηντο. Στρατηγὸν μὲν οὖν τοῦ δὴ πεζοῦ παντὸς οἱ ξύμμαχοι ᾕρηντο Ἀριστέα, τῆς δὲ ἵππου, Περδίκκαν. Ἀπέστη γὰρ εὐθὺς πάλιν τῶν Ἀθηναίων, καὶ ξυνεμάχει τοῖς Ποτιδαιάταις, Ἰόλαον ἀνθ' αὐτοῦ καταστήσας ἄρχοντα. Ἦν δὲ ἡ γνώμη τοῦ Ἀριστέως, τὸ μὲν μεθ' ἑαυτοῦ στρατόπεδον ἔχοντα ἐν τῷ ἰσθμῷ, ἐπιτηρεῖν τοὺς Ἀθηναίους, ἢν ἐπίωσι, Χαλκιδέας δέ, καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους, καὶ τὴν παρὰ Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν· καὶ ὅταν Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. Καλλίας δ' αὖ ὁ τῶν Ἀθηναίων στρατηγὸς, καὶ οἱ ξυνάρχοντες, τοὺς μὲν Μακεδόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ Ὀλύνθου ἀποπέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν· αὐτοὶ

cum in Pydnae oppugnatione a Potidaeatis et Ariſteo premerentur, cum Perdicca ſocietatem neceſſario ineuntes, Beroeam contendunt, indeque terra verſus Potidaeam iter dirigentes, caſtra ponunt ad Gigonum. 62. Utriusque partis conſilia. Perdiccas ſtatim ab Athenienſibus ad Poti-

— Bauerus diſtinguit *urbem* Beroeam a *regione* Beroea. In hanc ita veniſſe putat Athenienſes, ut a tergo primum relinquerent urbem; ſed repente ex itinere ad ipſam urbem converſos eſſe. Simplicius cum Bredovio iunges *κἀκεῖθεν* cum *ἐπορεύοντο*. „Venerunt Beroeam, indeque, poſtquam ad oppidum converſi illud tentaverant fruſtra, Potidaeam iter fecerunt.“ Ita omnis difficultas tollitur, ſi comma poſt *ἐπιστρέψαντες* migrare iubeas ante hoc participium.

Παυσανίου. Hunc Pauſaniam, ſecundum Scholiaſtam, filium Derdae alii, alii fratrem perhibent. Cf. cap. 59.

δ' ἀναστήσαντες τὸ στρατόπεδον, ἐχώρουν ἐπὶ τὴν Ποτίδαιαν. Καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο, καὶ εἶδον τοὺς ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίσταντο καὶ αὐτοί· καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον. Καὶ αὐτὸ μὲν τὸ τοῦ Ἀριστέως κέρας, καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων τε καὶ τῶν ἄλλων λογάδες, ἐτρέψαντο τὸ καθ' ἑαυτούς, καὶ ἐπεξῆλθον διώκοντες ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον τῶν Ποτιδαιατῶν καὶ τῶν Πελοποννησίων ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐς τὸ τεῖχος κατέφυγεν.

63. Ἐπαναχωρῶν δὲ ὁ Ἀριστεὺς ἀπὸ τῆς διώξεως, ὡς ἑώρα τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μέν, ὁποτέρωσε διακινδυνεύσει χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου, ἢ ἐς τὴν Ποτίδαιαν· ἔδοξε γοῦν ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ ὡς ἐς ἐλάχιστον χωρίον, δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν. καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης, βαλλόμενός τε καὶ χαλεπῶς, ὀλίγους μέν τι-

daeatas transit. Prope Potidaeam pugna committitur; Corinthii Potidaeam refugiunt. 63. Aegre Ariſteus Potidaeam regreditur. Qui Olynthum tenebant, eruptionem-

62. *στρατόπεδον Ποτιδαιατῶν καὶ Πελ.* Codices Cl. Reg. Caſſ. Aug. habent *τῶν Ποτιδ. καὶ τῶν Πελοπ.* quorum auctoritatem ſequendam duxi.

63. *ἔδοξε γοῦν ξυναγαγόντι — χωρίον.* Egregie placet Popponis coniectura *ἔδοξε δ' οὖν*, quod ad *ἠπόρησε μέν* referatur. *Γοῦν*, quod notat *certe quidem*, minus aptum eſt huic loco, et alibi quoque in codicibus *γοῦν* et *δ' οὖν* inter ſe permutantur, ut 2, 5. 34. Invitis tamen omnibus libris illam coniecturam admittere non auſus ſum. — Mox *ἐς* omittunt tres codices; male. Vid. ſupra ad c. 51. *ὡς ἐς ἐπίπλουν.* Verba *ὡς ἐς ἐλαχ. χωρίον* alii iungunt cum *ξυναγαγόντι*, ut ſit: *ontractis in anguſtum copiis*, et omnia ponunt non poſt *ἑαυτοῦ*, ſed poſt *χωρίον;* alii ad *δρόμῳ βιάσασθαι* referunt, et explicant: *ad Potidaeam curſu tendere, tamquam proximum locum, et minimi intervalli*, ut *ἐλάχιστον χωρίον* ſit, cuius *διάστημα* ſit *ἐλάχιστον.* Utramque rationem iam in Scholiis reperies. Bauero, contortiora amanti, poſterior magis placet. Equidem probo alteram, quod perrupturo ſane uſui eſt contracta in anguſtum acies. Hanc autem interpretationem qui ſequitur, ordinem verborum *ὡς ἐς ἐλαχ.* mutatum exiſtimet, pro *ἐς ὡς ἐλάχιστον χωρ.*, qua ratione et alibi *ὡς* et *ὅτι* a ſuperlativo interpoſita praepoſitione ſeparari, docet Poppo p. 223. Vid. 3, 46. *ὅτι ἐν βραχυτάτῳ.*

παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενος —

νας ἀποβαλὼν, τοὺς δὲ πλείους σώσας. Οἱ δ' ἀπὸ τῆς Ὀλύνθου τοῖς Ποτιδαιάταις βοηθοὶ, (ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους, καὶ ἔστι καταφανὲς) ὡς ἡ μάχη ἐγίγνετο, καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον, ὡς βοηθήσοντες. καὶ οἱ Μακεδόνες ἱππεῖς ἀντιπαρετάξαντο, ὡς κωλύσοντες· ἐπεὶ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο, καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος, καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππεῖς δ' οὐδετέροις παρεγένοντο. Μετὰ δὲ τὴν μάχην, τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις. Ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δὲ αὐτῶν πεντήκοντα καὶ ἑκατὸν, καὶ Καλλίας ὁ στρατηγός.

64. Τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ Ἀθηναῖοι

que in Athenienſes facere iuſſi erant, intellecta horum victoria, ſe recipiunt. Athenienſes tropaeum erigunt. Numerus occiſorum. 64. Athenienſes Potidaeam ab iſthmo

Χηλὴ eſt muri, portum cingentis brachium, in mare usque exiens, ad impetum fluctuum a muro arcendum. Vid. Schol. ad h. l. cf. 7, 53. 8, 90. — *διὰ τῆς θαλάσσης* male accipit Gottleberus *praeter mare*, cum ſit *per mare*, haud dubie tempore refluxus. cf. Benedict. qui tamen male conatur iungere haec verba cum *βαλλόμενος*, ut Athenienſes ſagittis trans interiectum maris intervallum emiſſis petitos intelligamus.

καὶ ἔστι καταφανές, int. *τὸ χωρίον ἡ Ὄλυνθος*.

ὡς ἡ μάχη ἐγίγνετο. Ita ex bonis codicibus ſcripſimus pro *ἐγένετο*. Nam etiam paullo poſt legitur *ἐπεὶ ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο*, ſequente in eodem membro aoriſto, quod noſtro loco corruptionis anſam praebuit. Cf. ad 7, 42. Iidem autem codices, Reg. Caſſ. Aug. et Cl., etiam ſuperius habent *ἀπεῖχε* pro *ἀπέχει*, quod non ferendum videbatur propter *ἔστι*; etiam Scholiaſtes *ἀπέχει* invenit in ſuo exemplari. — *σημεῖα ἤρθη*, v. ad c. 49.

ἱππεῖς δ' οὐδετέροις παρεγένοντο. Ne hoc iis, quae modo dixit, contrarium ſit, cum Macedones equites adfuerint, cum Scholiaſta de ipſo proelio accipies. Neque enim Athenienſibus Athenienſes, neque Potidaeatis Potidaeatae equites aderant.

ὑποσπόνδους. Schol. *Ἐπειδάν τι μέρος ἡττηθῇ τῶν μαχομένων, μὴ δυνάμενον τοὺς νεκροὺς αὐτοῦ λαβεῖν, αἰτεῖ γενέσθαι σπονδὰς, ἕως οὗ λαβὸν θάψῃ, καὶ τότε πάλιν μάχονται. Ἔστι δὲ πολλάκις, ὅτε καὶ ἀσπόνδους αὐτοὺς ἐκομίζοντο, δηλονότι κατὰ τὸ ἴσον ἔχοντες ἑκάτεροι, καὶ τῆς μάχης ἰσοῤῥόπου γενομένης.*

64. *τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος.*

ἀποτειχίσαντες ἐφρούρουν· τὸ δ' ἐς τὴν Παλλήνην ἀτείχιστον ἦν. οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν, καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν· δεδιότες, μὴ σφίσιν οἱ Ποτιδαιᾶται καὶ οἱ ξύμμαχοι, γιγνομένοις δίχα, ἐπίθωνται. Καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν, χρόνῳ ὕστερον πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν, καὶ Φορμίωνα τὸν Ἀσωπίου στρατηγόν. Ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην, καὶ ἐξ Ἀφύτιος ὁρμώμενος προςήγαγε τῇ Ποτιδαίᾳ τὸν στρατὸν, κατὰ βραχὺ προϊὼν, καὶ κείρων ἅμα τὴν γῆν. Ὡς δὲ οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλλήνης τεῖχος· καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο, καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις.

65. Ἀριστεὺς δὲ, ἀποτειχισθείσης αὐτῆς, καὶ ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας, ἢν μή τι ἀπὸ Πελοποννήσου ἢ ἄλλο παράλογον γίγνηται, ξυνεβούλευε μὲν, πλὴν πεντακοσίων, ἄνεμον τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπὶ πλέον ὁ σῖτος ἀντίσχῃ· καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι. Ὡς δ' οὐκ ἔπειθε, βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα, ἔκπλουν ποιεῖται λαθὼν τὴν φυλακὴν τῶν Ἀθηναίων· καὶ παραμένων ἐν Χαλκιδεῦσι,

intercludunt; deinde Athenis ſubmiſſi alii milites etiam ab altera parte urbem circumvallant. 65. Quo facto Ariſteus clam Potidaea excedit, et cum Peloponneſiis de auxilio mit-

Intelligendus murus is, qui verſus continentem Macedoniae protendebatur; alter Pallenen ſpectabat. Neque vero video, quid interſit, urbsne Pallene, an peninſula eiusdem nominis intelligatur. — ἀτείχιστον ἦν, nondum circumvallatum ab Athenienſibus erat. Nam per exiguum militum numerum non licebat, urbem ab utraque parte circumcludere.

65. παράλογον. Infra 2, 91. γενομένου τούτου τοῦ ἀπροσδοκήτου τε καὶ παραλόγου.

τὰ ἐπὶ τούτοις, i. e. quae poſt haec neceſſaria videbantur. Male enim Scholiaſta haec ad ſuperius conſilium refert, cum alterum innuatur in proximis.

τά τε ἄλλα ξυνεπολέμει, καὶ Σερμυλίων, λοχήσας πρὸς τῇ πόλει, πολλοὺς διέφθειρεν· ἔς τε τὴν Πελοπόννησον ἔπρασσεν, ὅπη ὠφέλειά τις γενήσεται. Μετὰ δὲ τῆς Ποτιδαίας τὴν ἀποτείχισιν, Φορμίων μὲν, ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους, τὴν Χαλκιδικὴν καὶ Βοττικὴν ἐδῄου, καὶ ἔστιν ἃ καὶ πολίσματα εἷλε.

66. Τοῖς δ᾽ Ἀθηναίοις καὶ Πελοποννησίοις αἰτίαι μὲν αὗται προεγεγένηντο ἐς ἀλλήλους· τοῖς μὲν Κορινθίοις, ὅτι τὴν Ποτίδαιαν, ἑαυτῶν οὖσαν ἀποικίαν, καὶ ἄνδρας Κορινθίων τε καὶ Πελοποννησίων ἐν αὐτῇ ὄντας ἐπολιόρκουν· τοῖς δ᾽ Ἀθηναίοις ἐς τοὺς Πελοποννησίους, ὅτι ἑαυτῶν τε πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέστησαν, καὶ ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ Ποτιδαιατῶν. Οὐ μέντοι ὅγε πόλεμός πω ξυνεῤῥώγει, ἀλλ᾽ ἔτι ἀνοκωχὴ ἦν. Ἰδίᾳ γὰρ ταῦτα οἱ Κορίνθιοι ἔπραξαν.

67. Πολιορκουμένης δὲ τῆς Ποτιδαίας, οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων, καὶ ἅμα περὶ τῷ χω-

tendo agit; interim permanens apud Chalcidenſes. 66. Conſummatio belli cauſarum, ex hac de Potidaea contentione tum Corinthiis, tum Athenienſibus natarum. 67. Inſtigantibus Corinthiis Spartam vocatur concilium Pelo-

τά τε ἄλλα ξυνεπολέμει. Ita codd. auctoritate repoſuimus pro ἐπολέμει. Valla quoque vertit: *Illis ſociis cum alia proelia fecit* —.

Σερμυλίων. Nonnulli codices praebent Ἑρμυλίων. Sermylis eſt urbs Chalcidicae, Athenienſibus addicta.

66. ἐλθόντες σφίσιν — ἐμάχοντο. Σφίσιν pertinet ad ἐμάχοντο. ἀπὸ τοῦ προφανοῦς pro προφανῶς.

ἀνοκωχὴ ἦν. Utrum apud Thucydidem ἀνοκωχή, an ἀνακωχή reponendum ſit, adhuc non conſtat. Vid. Interprr. ad 1, 40. Poppo Obſervatt. critt. p. 134. Thucydidis codices plerique omnes praebent formam per ᾱ, 1, 40. 3, 4. 4, 58. 117. et διακωχή 3, 87. Hoc tamen loco plurimorum codicum auctoritas ἀνοκωχή defendit. Quare, cum et Grammatici veteres (v. Poppo l. c.) teſtentur, hanc formam per ο apud Thucydidem frequentius inveniri, ἀνοκωχή hic retinuimus. Supra autem cap. 40. et alibi librorum ſcripturam non minus ſecuti ſumus. Neque veremur, ne haec inconſtantia ab aequis indicibus improbetur, cum et incerta adhuc res ſit, nec demonſtrari poſſit, ſcriptorem tam eſſe conſtantem, ut altera tantum forma uti potuerit.

ρίῳ δεδιότες· παρεκάλουν τε εὐθὺς ἐς τὴν Λακεδαίμονα τοὺς ξυμμάχους. καὶ κατεβόων ἐλθόντες τῶν Ἀθηναίων, ὅτι σπονδάς τε λελυκότες εἶεν, καὶ ἀδικοῖεν τὴν Πελοπόννησον. Αἰγινῆταί τε, φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ, οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. Οἱ δὲ Λακεδαιμόνιοι, προςπαρακαλέσαντες τῶν ξυμμάχων καὶ εἴ τίς τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων, ξύλλογον σφῶν αὐτῶν ποιήσαντες τὸν εἰωθότα, λέγειν ἐκέλευον. Καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι, καὶ Μεγαρεῖς, δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα, μάλιστα δὲ, λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων ἀρ-

ponnesiorum, ac potestate accusandi Athenienses omnibus facta, prodeunt singuli, post omnes autem Corinthii Lace-

67. *Αἰγινῆταί τε.* Pro *δέ*, ex codicibus recepimus *τέ*, quod aptius est totius loci sententiae, cum Aeginetae non diversi quid, sed idem, quod Corinthii, fecisse perhibeantur. — Mox interpunximus post *κρύφα δέ*, ut haec verba ad participium *πρεσβευόμενοι* referri possint, quod poscunt particulae *μέν — δέ*. — *μετ' αὐτῶν*, *Κορινθίων*.

λέγοντες οὐκ εἶναι αὐτόνομοι. Semel ad h. l. monebimus de hoc graecae linguae idiotismo. Latine verteris: negantes, *se* sua libertate uti. Latini enim subiectum, etiamsi in utroque membro unum idemque sit, apud infinitivum accusativo enuntiant; Graecis omnes casus infinitivo iungere licet. Et nominativo quidem utuntur, sive is casus in verbo vel participio praecedente insit, sive diserte pronuntietur. Illud nostro loco fit: *λέγοντες οὐκ εἶναι αὐτόνομοι*, hoc verbis paullo post sequentibus: *εἴ τίς τι ἄλλο ἔφη ἠδικῆσθαι*. At enim vero, si aliud est subiectum verbi finiti vel participii, aliud infinitivi, etiam Graeci accusativum adhibent. Aptissimus utrique rationi cognoscendae locus est infra 4, 28. *Οὐκ ἔφη αὐτὸς, ἀλλ' ἐκεῖνον στρατηγεῖν.* Cf. Buttmann. Gr. Gr. p. 485 seqq.

τῶν ξυμμάχων τε καὶ εἴ τίς τι ἄλλο — Codices Cass. Aug. Reg. et alii duo Pariss. ignorant particulam *τέ*, quae huius loci sensum valde turbat. Per se quidem non est incredibile, Lacedaemonios et alios praeter socios suos ad illud concilium invitasse, cum gravaminibus eorum speciose uti possint tamquam iusta belli, quod cupiebant, causa. Sed huic rationi obstat *τὶ ἄλλο*, quod esse debebat aut *τῶν ἄλλων*, aut *εἴ τις ἄλλος*, ut Reiskio placebat, aut *εἴ τί τις ἄλλος*, quod Matthiaeo in mentem veniebat. Omnibus his correctionibus supersedere possumus, eiecta particula *τέ*, quae ab optimis libris abest, et cum saepe inepte additur (v. supra cap. 43.), tum hoc loco propter sequens *καί* facillime intrudi potuit.

λιμένων τε εἴργεσθαι.

χῇ, καὶ τῆς Ἀττικῆς ἀγορᾶς, παρὰ τὰς σπονδάς. Παρελθόντες δὲ τελευταῖοι οἱ Κορίνθιοι, καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξῦναι τοὺς Λακεδαιμονίους, ἐπεῖπον τοιάδε.

68. „ΤΟ ΠΙΣΤΟΝ ὑμᾶς, ὦ Λακεδαιμόνιοι, τῆς καθ' ὑμᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας ἀπιστοτέρους ἐς τοὺς ἄλλους, ἤν τι λέγωμεν, καθίστησι· καὶ ἀπ' αὐτοῦ, σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλείονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε. Πολλάκις γὰρ προαγορευόντων ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε, ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι· καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμέν, τοὺς ξυμμάχους τούσδε παρεκαλέσατε, ἐν οἷς προσήκει ἡμᾶς οὐχ ἥκιστα εἰπεῖν, ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν, ὑπὸ μὲν Ἀθηναίων ὑβριζόμενοι, ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι. Καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδίκουν τὴν Ἑλλάδα, διδασκαλίας

daemonios incitare conantur. Eorum oratio 68 — 71. Primum accufant Lacedaemonios fecuritatis et negligentiae,

Hoc etiam infra c. 139 inter graviffimas querelas Peloponnefiorum commemoratur. Cf. c. 144.

τελευταῖοι οἱ Κορίνθιοι. Addidi articulum οἱ, qui eft in quinque Pariff., et ab ultima in τελευταῖοι facile potuit intercipi.

68. ἐς τοὺς ἄλλους, ἤν τι λέγωμεν. Kiftemakerus, commate poft ἀμφοτέροις fixo, poft ἄλλους autem fublato, haec verba iungenda effe cenfebat, ne ἤν τι λέγωμεν nimis indefinite dici videretur. Sed ita Corinthius diceret: Fides, quam vobis in publicis et privatis rebus invicem fervatis, fufpicionem veftram in nos, alios criminantes, movet. Cum autem natura ita comparatum fit, ut optimus quisque alios maxime putet probos et integros, atque haec fententia, retenta vulgata interpunctione, fundatur: ἐς τοὺς ἄλλους interpretamur: *de ceteris, quod pertinet ad ceteros*, ut cap. 2 extr. ἐς τὰ ἄλλα. Λέγειν τι fimpliciter pofitum habes etiam cap. 39 init. Et hoc quidem loco facile ἀπὸ κοινοῦ intelligatur κατ' αὐτῶν. Denique hoc quoque dubito, an λέγειν τι ἔς τινα graece dici poffit, pro λέγειν ἔς τινα, vel λέγειν τινά τι.

τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε. Etiam hic fubaudiunt περί, cum tamen genitivus pendeat a verbo ὑπενοεῖτε, monente vetere Grammatico in Anecdotis Graecis, a Bekkero editis, Vol. I. p. 178. Cf. fupra cap. 52. τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν.

ἂν ὡς οὐκ εἰδόσι προςέδει· νῦν δὲ τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτοὺς, καὶ οὐχ ἥκιστα τοῖς ἡμετέροις ξυμμάχοις, καὶ ἐκ πολλοῦ προπαρεσκευασμένους, εἴποτε ἄρα πολεμήσονται. Οὐ γὰρ ἂν Κέρκυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον, καὶ Ποτίδαιαν ἐπολιόρκουν· ὧν τὸ μὲν ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι, ἡ δὲ ναυτικὸν ἂν μέγιστον παρέσχε Πελοποννησίοις.

69. „Καὶ τῶνδε ὑμεῖς αἴτιοι, τό,τε πρῶτον ἐάσαντες αὐτοὺς τὴν πόλιν μετὰ τὰ Μηδικὰ κρατῦναι, καὶ ὕστερον τὰ μακρὰ στῆσαι τείχη· ἐς τόδε τε ἀεὶ ἀποστεροῦντες οὐ μόνον τοὺς ὑπ' ἐκείνων δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμετέρους ἤδη ξυμμάχους. Οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ, ἀληθέστερον αὐτὸ δρᾷ, εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται.

eoque nomine eos cum Athenienſibus comparant. Deinde

ὧν τοὺς μὲν — αὐτούς. Mutat ſtructuram, a relativo ad demonſtrativum pronomen transiens.

δεδουλωμένους Scholiaſta refert ad Aeginetas; *τοῖς δέ* autem ad Potidaeatas et Megarenſes.

εἴποτε ἄρα πολεμήσονται. *Si forte quando bello petantur.* Futurum medii pro paſſivo frequentatur, et ita hoc quoque loco accipiendum eſt, licet verum ſit, quod Bauerus ait, activam notionem magis convenire ſententiae, cum Athenienſes non tam metuiſſe ab aliis bellum, quam ipſi paraſſe ſe ei gerendo arguantur. — *ὑπολαβόντες*, furtim ſubiicientes ſibi. Cf. cap. 143 in.

ἀποχρῆσθαι. Non potui tot codicum auctoritati reſiſtere, qui hoc verbum exhibent pro vulgato *ἐπιχρῆσθαι*. Verba autem ſic ordino: *ὧν τὸ μὲν χωρίον (ἔδει) ἐπικαιρότατον πρὸς τὰ ἐπὶ Θρᾴκης (ὥςτε) ἀποχρῆσθαι (αὐτοῖς).* *ἀποχρῆσθαι* eſt *abuti, multum et libere uti aliqua re.* Vid. 6, 17.

ναυτικὸν ἂν — παρέσχε; maximam claſſem *praebuiſſet.* Ea h. l. eſt vis particulae *ἄν*, indicativo iunctae. Vid. Buttmann. Gr. Gr. p. 476. Tacite enim ſubaudimus: *εἰ μὴ ἐκεῖνοι εἶχον ὑπολαβόντες.*

69. *κρατῦναι*, *munire.* Themiſtoclis enim ſuaſu primum urbs munita eſt, deinde muri longi usque ad Piraeeum ducti. Lacedaemonii quidem per legatos ſuos hoc conſilium evertere conati ſunt, ſed fruſtra. Vid. cap. 90 ſeq. — *ἐς τόδε, μέχρι τοῦδε*, cap. 71 med.

ἀλλὰ καὶ τοὺς ὑμετέρους. Ex deterioribus plerisque libris enotatur *ἡμετέρους*. Vulgata gravior et aptior videtur, propterea quod ipſi Corinthii intelligendi ſunt.

Μόλις δὲ νῦν τε ξυνήλθομεν, καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς. Χρῆν γὰρ οὐκ, εἰ ἀδικούμεθα, ἔτι σκοπεῖν, ἀλλὰ καθότι ἀμυνούμεθα. Οἱ γὰρ δρῶντες βεβουλευμένοι, πρὸς οὐ διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες ἐπέρχονται. Καὶ ἐπιστάμεθα, οἵᾳ ὁδῷ οἱ Ἀθηναῖοι καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν ἐπὶ τοὺς πέλας· καὶ λανθάνειν μὲν οἰόμενοι, διὰ τὸ ἀναίσθητον ὑμῶν, ἧσσον θαῤῥοῦσι· γνόντες δὲ εἰδότας περιορᾷν, ἰσχυρῶς ἐγκείσονται. Ἡσυχάζετε μὲν γὰρ μόνοι Ἑλλήνων, ὦ Λακεδαιμόνιοι, οὐ τῇ δυνάμει τινὰ, ἀλλὰ τῇ μελλήσει, ἀμυνόμενοι, καὶ μόνοι οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν, διπλασιουμένην δὲ καταλύοντες· καίτοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι, ὧν ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει. Τόν τε γὰρ Μῆδον αὐτοὶ ἴσμεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν Πε-

tarditatem quandam consilii Lacedaemoniis exprobrant, qua

μόλις δὲ νῦν τε. Stephanus malebat *γέ*. Sed nihil opus esse correctione facile intelliges, si verba ita ordinaveris: *μόλις νῦν τε καὶ ἐπὶ φανεροῖς ξυνήλθομεν:* Vix nunc convenimus, et ne nunc quidem de re manifesta.

καὶ ἐπιστάμεθα. Hunc locum et alios plures huius orationis (v. c. initio capitis *καὶ τῶνδε ὑμεῖς αἴτιοι* —) imitatus est Demosthenes in Oratt. Olynthiacis, ubi Philippum ita describit, ut hic Athenienses describuntur a Corinthiis.

θαῤῥοῦσι — ἐγκείσονται. Variis commentis hunc locum turbant interpretes. *Θαῤῥοῦσι* aut esse volunt pro *θαῤῥήσουσι*, aut ita corrigere; et *ἐγκείσονται* Bauero quidem praesentis vice videtur esse. Sed utrumque tempus vim suam genuinam habet. Primum enim indicat, quod nunc faciunt Athenienses, (nempe *εὐλαβῶς καὶ κατ' ὀλίγον χωροῦσι*); alterum significat, quid facturi sint iidem, sentientes, Lacedaemoniis scire quidem ipsorum consilia, sed ea negligere et contemnere.

ἡσυχάζετε μὲν γάρ. Codices Cl. Cass. Aug. inserunt *μέν*, quod, cum non sequatur *δέ*, facilius potuit omitti, quam addi. Quare restitui illam particulam, quae pertinet quodammodo ad *καίτοι ἐλέγεσθε.* Vid. supra ad cap. 10.

ἀλλὰ τῇ μελλήσει. Gottleberus *μέλλησιν* explicat *vanas minas*, Bauerus de conatu accipit, quasi sit: *μέλλοντες ἀμύνεσθαι.* Sed proxime sequentia docent, *cunctationem* Lacedaemoniorum argui, quippe qui putarent, cunctando rem posse restitui; quare eos desides potius, quam cautos et providos (*ἀσφαλεῖς*) perhibent Corinthii.

ὧν ἄρα ὁ λόγος — ἐκράτει, quorum existimatio (respectu *εὐλαβείας*) rem superabat. Ita cap. 73 med. *ὁ λόγος* opponitur *τῷ ἔργῳ: τοῦ μὲν ἔργου μέρος μετέχετε, τοῦ δὲ λόγου μὴ παντὸς στερισκώμεθα.*

λοπόννησον ἐλθόντα, ἢ τὰ παρ᾽ ὑμῶν ἀξίως προαπαντῆσαι· καὶ νῦν τοὺς Ἀθηναίους, οὐχ ἑκὰς, ὥσπερ ἐκεῖνον, ἀλλ᾽ ἐγγὺς ὄντας, περιορᾶτε, καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ, ἀμύνεσθαι βούλεσθε μᾶλλον ἐπιόντας, καὶ ἐς τύχας, πρὸς πολλῷ δυνατωτέρους ἀγωνιζόμενοι, καταστῆναι· ἐπιστάμενοι καὶ τὸν βάρβαρον αὐτὸν περὶ αὑτῷ τὰ πλείω σφαλέντα, καὶ πρὸς αὐτοὺς τοὺς Ἀθηναίους πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρτήμασιν αὐτῶν μᾶλλον, ἢ τῇ ἀφ᾽ ἡμῶν τιμωρίᾳ περιγεγενημένους· ἐπεὶ αἵ γε ὑμέτεραι ἐλπίδες ἤδη τινάς που καὶ ἀπαρασκεύους διὰ τὸ πιστεῦσαι ἔφθειραν. Καὶ μηδεὶς ὑμῶν ἐπ᾽ ἔχθρᾳ τὸ πλέον, ἢ αἰτίᾳ νομίσῃ τάδε λέγεσθαι· αἰτία μὲν γὰρ, φίλων ἀνδρῶν ἐστιν ἁμαρτανόντων· κατηγορία δὲ, ἐχθρῶν ἀδικησάντων.

70. „Καὶ ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, ἄξιοι νομίζομεν εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν· ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων καθεστώτων, περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε, οὐδ᾽ ἐκλογίσασθαι πώποτε,

minime pares fint Athenienfibus, fumma ingenii agilitate

αὐτὸν περὶ αὑτῷ — σφαλέντα. *Sua ipſius culpa* interpretatur Gottleberus e contextu, ut fibi videtur. Bauerus quidem negat, hanc vim effe poffe verborum περὶ αὑτῷ, concedit tamen, hanc lectionem e contextu aliter explicari vix poffe. Mihi id, quod illis verbis tribuunt, potius in αὐτόν ineffe videtur, et περὶ αὑτῷ accipio *circa ſe*, vel *de ſe*, ut fupra c. 60. δεδιότες περὶ τῷ χωρίῳ.

αἵ γε ὑμέτεραι ἐλπίδες. Brevius et obfcurius dictum pro αἱ ἐλπίδες τιμωρίας τινὸς ἀφ᾽ ὑμῶν.

ἢ αἰτίᾳ. Repete ἐπί. *Αἰτία* apud Thucydidem perfaepe eft αἰτίασις, obiurgatio, reprehenfio, ut cap. 39 extr.

70. *ἄξιοι νομίζομεν εἶναι.* Hunc verborum ordinem reftituimus ex Reg. Caff. Aug. pro νομίζομεν ἄξιοι εἶναι. Ne arrogantiae accufandi fint Corinthii, fi fe prae aliis effe idoneos ad alios homines taxandos cenfeant: Benedictus verba τοῖς πέλας commate a fequentibus disiungit, et ad ἐπενεγκεῖν intelligit ὑμῖν. Sed ita primum dativus τοῖς πέλας non habet, unde pendeat; deinde nihil obftat, quominus verba τοῖς πέλας ad folos Lacedaemonios referamus.

μεγάλων τῶν διαφερόντων καθεστώτων. Loquitur de ingeniorum morumque discrimine, quod inter Athenienfes et Lacedaemonios obtinebat. Egregia autem eft ea, quae fequitur, morum defcriptio, quacum compares defenfionem Lacedaemoniorum in Archidami oratione 1, 84.

πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας, καὶ ὅσον ὑμῶν καὶ ὡς πᾶν διαφέροντας, ὁ ἀγὼν ἔσται. Οἱ μέν γε, νεωτεροποιοὶ, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ, ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδέν, καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι. Αὖθις δὲ οἱ μὲν, καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐπὶ τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον, τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. Καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς, καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους. οἴονται γὰρ οἱ μὲν, τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ, τῷ ἐπελθεῖν καὶ τὰ ἕτοιμα ἂν βλάψαι. Κρατοῦντές τε τῶν ἐχθρῶν, ἐπὶ πλεῖστον ἐξέρχονται, καὶ νικώμενοι, ἐπ' ἐλάχιστον ἀναπίπτουσιν. Ἔτι δὲ, τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ οἰκειοτάτῃ ἐς τὸ πράσσειν τὶ ὑπὲρ αὐτῆς. Καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλ-

conſpicuis, cum Spartani a veteribus inſtitutis numquam

σώζειν καὶ ἐπιγνῶναι μηδέν. Intelligendum ex *ὀξεῖς* aptum huic membro adiectivum, veluti *ἱκανοί*, *ἕτοιμο..* — *ἐπιγνῶναι μηδέν*, *nihil praeterea excogitare.* Nam *ἐπί* hoc loco ſuam habet vim, non item paullo ante in *ἐπινοῆσαι* et *ἐπιτελέσαι.*

καὶ ἐπὶ τοῖς δεινοῖς. Hoc pro *ἐν τοῖς δειν.* exhibent praeſtantiſſimi libri Cl. Reg. Caſſ. Gr. Aug., quare ita reſcribere non dubitavi. Cf. 2, 36 extr. *ἐπὶ τῷ παρόντι.* *ἐν* ex interpretatione ortum. — Mox *τῆς γνώμης τοῖς βεβαίοις* eſt pro *τῇ βεβαίᾳ γνώμῃ.*

ἐπὶ πλεῖστον ἐξέρχονται, longiſſime perſequuntur, progrediuntur, *evehuntur;* quia oppoſitum eſt *ἀναπίπτουσιν*, *recidant.*

τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις. Scholiaſta ſupplet *ὡς*, quae unice vera interpretatio eſt. *Corpora pro urbe obiectant, tamquam ſint non ſua, ſed aliena.* Valla cum aliis de auxiliis peregrinis accepit. Ne Heilmannus quidem veram Auctoris ſententiam aſſecutus fuerat.

τῇ γνώμῃ δέ. Hunc verborum ordinem pro *τῇ δὲ γνώμῃ* reſtitui iubent Codd. Reg. Caſſ. Aug. Saepiſſime *δὲ* tertio loco ponitur. Exempla congeſſit Poppo p. 30.

ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. *Τυχεῖν πράξαντες* refer ad *ἡγοῦνται*, quod ex antecedentibus et hic ſubaudiendum eſt.

λοντα τυχεῖν πράξαντες. Ἢν δ' ἄρα του καὶ πείρᾳ σφαλῶσιν, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαν τὴν χρείαν. Μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ ἐλπίζουσιν, ἃ ἂν ἐπινοήσωσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι, ὧν ἂν γνῶσι. Καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι· καὶ ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων, διὰ τὸ ἀεὶ κτᾶσθαι, καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι, ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα, ἢ ἀσχολίαν ἐπίπονον· ὥςτε εἴ τις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι.

71. „Ταύτης μέντοι τοιαύτης ἀντικαθεστηκυίας πόλεως, ὦ Λακεδαιμόνιοι, διαμέλλετε, καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες· ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε τοὺς ἄλλους, καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι, τὸ ἴσον νέμετε. Μόλις δ' ἄν, πόλει ὁμοίᾳ παροικοῦντες, ἐτυγχάνετε τούτου· νῦν δ' (ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν) ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς

recedere velint. Denique minantur defectionem, nisi for-

ἢν δ' ἄρα του καὶ πείρᾳ — Etiamnum vulgatur ἄρα που, licet iam Gottleberus intellexerit, veram esse codicum lectionem τοῦ, i. e. τινός.

ἔχουσί τε ὁμοίως καὶ ἐλπ. Etiam hic codicum plurimorum fidem cum aliis sequuti sumus, cum vulgo legatur ἔχουσί τε καὶ ὁμοίως ἐλπ.

71. καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις — ἀρκεῖν. Negligentius haec periodus formata est, cum non sequatur, quod debebat: ἀλλὰ καὶ ἐκείνοις, οἳ ἂν ἐπὶ τῷ μὴ λυπεῖν — τὸ ἴσον νέμωσι. Nam verba ἀλλὰ — τὸ ἴσον νέμετε, inchoatae structurae non conveniunt, et ita sunt comparata, ac si praecessisset καὶ οὐκ οἴεσθε τὴν ἡσυχίαν τούτοις — ἀρκεῖν. Sensus est: Et putatis, quietem non illis hominibus diutissime sufficere (i. e. aptam et accommodatam esse), qui et iusta moliuntur, et eo sunt animo, ut lacessiti iniuriam ulturi sint; sed iustitiam colitis ita, ut ceteris non officiatis, ipsique, dum vos defenditis, ne damnum patiamini.

πόλει ὁμοίᾳ, quae iisdem institutis, quibus Lacedaemon, utatur. — ὅπερ καὶ ἄρτι ἐδηλ., cap. 70. ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδέν.

αὐτούς ἐστιν. Ἀνάγκη δ', ὥσπερ τέχνης, ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν. Καὶ ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι, πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ. Διόπερ καὶ τὰ τῶν Ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπὶ πλέον ὑμῶν κεκαίνωται. Μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής. νῦν δὲ τοῖς τε ἄλλοις, καὶ Ποτιδαιάταις, ὥσπερ ὑπεδέξασθε, βοηθήσατε, κατὰ τάχος ἐσβαλόντες ἐς τὴν Ἀττικήν· ἵνα μὴ ἄνδρας τε φίλους καὶ ξυγγενεῖς τοῖς ἐχθίστοις πρόησθε, καὶ ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμμαχίαν τρέψητε. Δρῷμεν δ' ἂν ἄδικον οὐδὲν οὔτε πρὸς θεῶν τῶν ὁρκίων, οὔτε πρὸς ἀνθρώπων

titer socios suos Lacedaemonii defendant. 72. Athenien-

ὥσπερ τέχνης, int. τὰ ἐπιγιγνόμενα, ut hic genitivus sit pro ἐν τέχνῃ.

πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ. Articulus abest a Reg. Cass. Aug. haud dubie errore; nemo enim hic articulum facile adiiciat. Et sic alibi Thucydides; v. c. 6, 46 extr. πολλὴν τὴν αἰτίαν εἶχον ὑπὸ τῶν στρατιωτῶν. Cf. 7, 70. ubi iidem codices cum aliis articulum τῶν ante νεῶν abiiciunt. — Mox ante Ποτιδαιάταις articulum τοῖς inserunt Cl. Cass. Aug. Sed posteriori vocabulo articulum non addi, etsi in praecedenti affuerit, saepissime animadverti; e. c. 1, 36. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας. 1, 44. ubi eadem verba sic leguntur. 1, 57. τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι καὶ Βοττιαίοις. 1, 140 extr. τὸ γὰρ βραχύ τι τοῦτο πᾶσαν ὑμῶν ἔχει τὴν βεβαίωσιν καὶ πεῖραν τῆς γνώμης. cap. 141. decem codd. auctoritate in verbis ἥ τε μεγίστη καὶ ἡ ἐλαχίστη δικαίωσις posterior articulus eiiciendus est. cf. 4, 3. 5. Quare saepe factum est, ut aut priore quoque loco articulus a librariis omitteretur, ut 1, 46 init. τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, ubi in Reg. Cass. Aug. deest τοῖς; aut posteriore adderetur, ut hoc loco videtur factum. cf. 1, 80. ubi in verbis: πρὸς μὲν γὰρ τοὺς Πελοποννησίους καὶ ἀστυγείτονας — alii codd. articulum τοὺς ante Πελοποννησίους abiiciunt, alii ante ἀστυγείτονας addunt. 3, 20. ὑπὸ τῶν Πελοποννησίων καὶ [τῶν] Βοιωτῶν, ubi plurimi codd. posteriorem articulum omitti iubent. Etiam initio huius capitis iidem codd. Cl. Cass. Aug. articulum τοὺς ante ἄλλους omittunt, ubi non sequor eorum auctoritatem. Nam cap. 70 extr. sine ulla varietate legitur: ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν.

ὥσπερ ὑπεδέξασθε. Vid. supra c. 58 med.

οὔτε πρὸς θεῶν τῶν ὁρκίων, οὔτε πρὸς ἀνθρώπων —. Πρός h. l. neque est *in*, *adversus*, ut volebat Reiskius, inferens τινά; (etsi etiam cum genitivo hanc vim habeat apud Dionys. Hal. VII. p. 457. πρὸς ἀνδρὸς ἐχθροῦ ἐπιφέρων τὴν ψῆφον); neque vero tanquam mirandi formula satis apte adhibeatur. Sed huic significationi proxime accedit, notans *coram*, *apud*. Vid.

τῶν αἰσθανομένων. Λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσιόντες, ἀλλ' οἱ μὴ βοηθοῦντες, οἷς ἂν ξυνομόσωσι. Βουλομένων δὲ ὑμῶν προθύμων εἶναι, μενοῦμεν. Οὔτε γὰρ ὅσια ἂν ποιοῖμεν μεταβαλλόμενοι, οὔτε ξυνηθεστέρους ἂν ἄλλους εὕροιμεν. Πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι, ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν."

72. Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον. Τῶν δὲ Ἀθηναίων — ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, — καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων πέρι μηδὲν ἀπολογησομένους, ὧν

ſium legati, qui tum forte, aliud quidem agentes, Lacedaemone erant, non alienum ducentes, et ipſos prodire, et, de ſumma re et opibus ſuis verba facientes, Lacedaemonios

Viger. p. 642. ed. Zeun. (p. 661. et 863. Herm.) — τῶν αἰσθανομένων, αἴσθησιν ἐχόντων, φρονίμων. — Paullo ante verba ἑτέραν τινὰ ξυμμαχίαν Schol. refert ad Argivos, Lacedaemoniis parum amicos.

τὴν Πελοπόννησον — ἐξηγεῖσθαι. Ἐξηγεῖσθαι cum accuſativo iunctum etiam cap. 76 init. 3, 93 fin. 6, 85. et alibi legitur. Volunt h. l. eſſe pro ſimplici ἡγεῖσθαι, quod ſane cum alibi, tum locis modo laudatis obtinet. Sed fortaſſe h. l. eſt *expedire* Peloponneſum ex eo diſcrimine, quo nunc implicata eſt, ſociis quibusdam propter metum ad aliam ſocietatem deficere conantibus.

72. τῶν δὲ Ἀθηναίων — Interpunctionem, qua verba ἔτυχε γὰρ — παροῦσα parentheſeos ſignis includuntur, falſam eſſe, multi iam monuerunt. Illi genitivi nihil habent omnino, quo referantur; quare hoc anacoluthon lineola poſita indicavimus, Popponem ſequuti. Fortaſſe vocabulum πρεσβεῖς Auctoris animo obverſabatur; hoc enim certe ex πρεσβεία cogitandum eſt in ſequentibus. Verbis demum προσελθόντες οὖν τοῖς Λακεδαιμονίοις — poſt longam ſeriem membrorum interpoſitorum ad primum conſilium reverti videtur: ſed alio modo orationis filum annectit. Cf. 1, 115 med.

ἀπολογησομένους. Debebat eſſe ἀπολογησομένοις, non tam propter ἔδοξεν αὐτοῖς, ſed propter παριτητέα, ubi ſubaudiendum eſt σφίσιν. Itaque parum aptus eſt locus, quamvis ceteroquin contortus, quem e Platonis, ut vulgo fertur, Alcibiade ſec. c. 12. attulit Goettlebertus. Quoad enim eius huc pertinet: βουλευομένοις αὐτοῖς δοκεῖν κράτιστον εἶναι, βλέψαντας πρὸς Ἄμμωνα, ἐκεῖνον ἐπερωτᾶν — nihil demonſtrat, quam accuſativum cum infinitivo ſequi dativum cum δοκεῖν; quo nihil eſt frequentius. Cf. cap. 75 extr. Sed ne perſeveravit quidem Noſter in eadem ſtructura, quippe qui paullo poſt dixerit δηλῶσαι, pro δηλώσοντας δέ. Vid. ſupra ad 1, 57. Comma quod

αἱ πόλεις ἐνεκάλουν. δηλῶσαι δὲ περὶ τοῦ παντὸς, ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλέονι σκεπτέον· καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι, ὅση εἴη δύναμιν, καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς τε πρεσβυτέροις, ὧν ᾔδεσαν, καὶ τοῖς νεωτέροις ἐξήγησιν, ὧν ἄπειροι ἦσαν· νομίζοντες μᾶλλον ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι, ἢ πρὸς τὸ πολεμεῖν. Προσελθόντες οὖν τοῖς Λακεδαιμονίοις, ἔφασαν βούλεσθαι καὶ αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἴ τι μὴ ἀποκωλύοι. Οἱ δ' ἐκέλευόν τε ἐπιέναι· καὶ παρελθόντες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε.

73. „Η ΜΕΝ πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλογίαν τοῖς ὑμετέροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ πόλις

a bello deterrere; copia dicendi impetrata, orationem habent 73 — 78. Disſuadent Lacedaemoniis bellum cum

erat poſt δὲ, ſuſtuli, cum περὶ τοῦ παντὸς opponatur verbis περὶ τῶν ἐγκλημάτων.

ἐν πλέονι. Reg. Caſſ. Aug. πλείονι, ut 1, 79 πλεόνων. Iidem tamen 1, 77. πλέονος. vid. not. ad h. l. Χρόνῳ intelligendum eſſe, docet ταχέως. Fruſtra obnititur Bauerus.

νομίζοντες μᾶλλον ἂν αὐτούς. Ex codicibus optimis ἂν reſtituimus. Cauſa erroris patet.

ἐπιέναι. Ita plurimi libri cogunt ut legatur. Scholiaſta eandemne lectionem in ſuo exemplari legerit, an παριέναι, non dixerim. Ceterum et hic et infra c. 90., ubi eſt ὅ τι οὐκ ἐπέρχεται, diſcrimen inter παρέρχεσθαι et ἐπέρχεσθαι, quamquam falſum, ſtatuit. Nam ἐπιέναι et ἐπέρχεσθαι eſt *adire, accedere*; παρέρχεσθαι, ad dicendum prodire.

73. τοῖς ὑμετέροις ξυμμάχοις. Lectio codicum fluctuat inter ὑμετέροις et ἡμετέροις. Illud mihi praeferendum videtur, quia Corinthii non modo nunc, ſed ne antea quidem Athenienſium ſocii erant. Duae enim erant ſocietates in Graecia iam multo ante bellum Peloponneſiacum, Athenienſium et Peloponneſiorum. Corinthii Peloponneſiis addicti erant; ſed foedere poſt captam Euboeam icto ſocietas utraque deſierat hoſtiliter agere, et in gratiam amicitiamque omnes inter ſe redierant. Non tamen ideo ſocii omnes erant, neque ſocietates illae, quas ſupra commemoravimus, aboleverunt. V. ſupra c. 35 init. Sed in triginta tantum annos pax inter utrosque facta erat, et quinto decimo anno rupta eſt. V. 2, 2 init. Ergo Corinthii pacem quidem cum Athenienſibus habebant, ſed non ſocietatem. Alioquin Athenienſes ad bellum cum Corcyraeis gerendum non commemoratione ſuorum de illis meritorum, ſed ſocialis officii poſtulatione excitaviſſent c. 41. — Vocem πρέσβευσις pro πρεσβεία, item καταβοή pro καταβόησις ſive κατηγορία, Thucydidi propriam eſſe volunt Grammatici cum Schol. et Dionyſ. Hal., licet

ἔπεμψεν· αἰσθόμενοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν, παρήλθομεν, οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες, (οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν οὔτε ἡμῶν, οὔτε τούτων, οἱ λόγοι ἂν γίγνοιντο) ἀλλ' ὅπως μὴ ῥᾳδίως περὶ μεγάλων πραγμάτων, τοῖς ξυμμάχοις πειθόμενοι, χεῖρον βουλεύσησθε· καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι, ὡς οὔτε ἀπεικότως ἔχομεν, ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστί. Καὶ τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες, ἢ ὄψις τῶν ἀκουσομένων; τὰ δὲ Μηδικὰ, καὶ ὅσα αὐτοὶ ξύνιστε, εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται ἀεὶ προβαλλομένοις, ἀνάγκη λέγειν. Καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ λόγου μὴ παντὸς, εἴ τι ὠφελεῖ, στερισκώμεθα. Ῥηθήσεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα, ἢ μαρτυρίου καὶ δηλώσεως, πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλευομένοις ὁ ἀγὼν καταστήσε-

Athenienſibus, memorantes primum, quid hi de ipſis me-

hic, qui tamquam poëticam reprehendit, et ipſe ea uſus ſit.

ἢ ὄψις τῶν ἀκουσομένων. Vulgo ὄψεις. Sed illud praeſtantiſſimi codices, quibuscum et ſex Pariſienſes conſpirant, exhibent. Vertam: quibus ea potius fidem conciliant, quae fando audiuntur, quam audientium oculi. Intelligit non ſolum mythica, ſed ea etiam, quaecunque ante bella Perſica geſta ſunt.

εἰ καὶ δι' ὄχλου — προβαλλομένοις. Bredovius comma ponit poſt ἔσται, ut intelligatur ὑμῖν. Si poſt προβαλλομένοις demum diſtinxeris, ſubaudiendum erit ἡμῖν: licet moleſtius ſit nobis, eadem ſemper tractantibus. Hoc praeſtat. Athenienſis enim orator ſimulat, invitum ſed neceſſario ſe dicere de rebus bello Perſico geſtis, quippe quae et notiſſima omnibus, et ab ipſis Athenienſibus tam ſaepe explicata ſint, ut paene taedium faciant dicentibus. Bredovius verba ἀεὶ προβαλλομένοις male accepit. Vertit enim: *ſtets aufs neue vorhaltend.* At ne dicam, voculae ἀεί hanc vim non eſſe, etiam προβαλλομένοις, cum ἀνάγκη λέγειν iunctum, notionem conceſſivam involvi, (*etiamſi ſemper tractamus*), quae modo in proximo membro eiusdem periodi inerat.

ἧς τοῦ μὲν ἔργου — στερισκώμεθα. Cf. ad 1, 69. „Cuius commodi, quod ad rem attinet, participes eratis (nam Athenienſium labore Peloponneſii periculo a claſſe Perſarum impendente liberabantur); commemoratione autem rei ne omni, ſi quidem haec omnino expedit, orbemur.“ Στερισκώμεθα e codd. recepi pro στερισκόμεθα, aliis praeeuntibus.

ται. Φαμὲν γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ, καὶ ὅτε τὸ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν ἀμύνεσθαι, ἐςβάντες ἐς τὰς ναῦς πανδημεὶ, ἐν Σαλαμῖνι ξυνναυμαχῆσαι, ὅπερ ἔσχε, μὴ κατὰ πόλεις αὐτὸν ἐπιπλέοντα τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ἂν ὄντων πρὸς ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν. Τεκμήριον δὲ μέγιστον αὐτὸς ἐποίησε. Νικηθεὶς γὰρ ταῖς ναυσὶν, ὡς οὐκέτι αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως, κατὰ τάχος τῷ πλέονι τοῦ στρατοῦ ἀνεχώρησε.

74. „Τοιούτου μέντοι τούτου ξυμβάντος, καὶ σαφῶς δηλωθέντος, ὅτι ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον, καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον, καὶ προθυμίαν ἀοκνοτάτην· ναῦς μέν γε ἐς τὰς τετρακοσίας, ὀλίγῳ ἐλάσσους [τῶν] δύο

ruerint bello Perſico, et oſtendentes, iniuſtum eſſe odium

προκινδυνεῦσαι τῷ βαρβάρῳ. Προκινδυνεύειν ſi reſolveris in μετὰ κινδύνου προμάχεσθαι, dativus τῷ βαρβάρῳ offendere nequit. — Paullo ante ad verbum Μαραθῶνι intellige ἐν, quod nonnunquam, rarius tamen, omittitur. Plat. Menex. c. 11. οἱ Μαραθῶνι δεξάμενοι τὴν τῶν βαρβάρων δύναμιν.

ὅπερ ἔσχε. Schol. ἐπέσχε, διεκώλυσε.

ἀδυνάτων ἂν ὄντων. Ἂν cum Benedicto recepimus ex Codd. Vulgo deeſt. Subiectum eſt Πελοποννησίων, ex Πελοπόννησον.

τῷ πλέονι τοῦ στρατοῦ. Τῷ πλέονι vel maſculino, vel neutro genere accipias licet. Illud Thucydidi familiare. Supra c. 5. τὸν πλεῖστον τοῦ βίου. Infra c. 78. τοῦ πολέμου τὸν παράλογον.

74. ἐς τὰς τετρακοσίας — Herodotus 8, 48. Ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, τριηκόσιαι καὶ ἑβδομήκοντα καὶ ὀκτώ. Ergo Noſter numerum rotundum poſuit navigiorum omnium, ut Demoſthenes de cor. c. 70. τριακοσίων οὐσῶν τῶν πασῶν τριηρέων, τὰς διακοσίας ἡ πόλις παρέσχετο. Idem Herodotus l. c. cap. 44. Athenienſium naves numerat 180. Iſocrates Paneg. c. 31. κεκτημένοι τριήρεις διπλασίας μὲν, ἢ σύμπαντες οἱ ἄλλοι. Secundum Diodorum Sic. 15, 58. Athenienſes ducentas naves dederunt. At multo plures Thucydides computavit, nempe 266, ſi accuratius numerum ineas, aut certe 260, ſi cum Schol. rotundum numerum ponas. Dicit enim Auctor ὀλίγῳ ἐλάσσους τῶν δύο μοιρῶν; quibus in verbis delendus videtur Benedicto articulus τῶν, qui abeſt ſane a bonis libris Cl. Caſſ. Baſ. Aug. Reg. et aliis Pariſſ. Sed alibi idem articulus iisdem in verbis legitur, e. c. 2, 10. et 2, 47. τὰ δύο μέρη. 1, 104. τῆς Μέμφιδος τῶν δύο μερῶν. Quare eiicere h. l. τῶν non auſus ſum, uncis tamen incluſi.

μοιρῶν· Θεμιστοκλέα δὲ ἄρχοντα, ὃς αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι ἐγένετο, ὅπερ σαφέστατα ἔσωσε τὰ πράγματα· καὶ αὐτὸν διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων· προθυμίαν δὲ καὶ πολὺ τολμηροτάτην ἐδείξαμεν, οἵ γε, ἐπειδὴ ἡμῖν κατὰ γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρι ἡμῶν δουλευόντων, ἠξιώσαμεν, ἐκλιπόντες τὴν πόλιν, καὶ τὰ οἰκεῖα διαφθείραντες, μηδ᾽ ὣς τὸ τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν, μηδὲ σκεδασθέντες ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ᾽ ἐσβάντες ἐς τὰς ναῦς κινδυνεῦσαι, καὶ μὴ ὀργισθῆναι, ὅτι ἡμῖν οὐ προετιμωρήσατε. Ὥςτε φαμὲν οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς, ἢ τυχεῖν τούτου. Ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων, καὶ ἐπὶ τῷ τὸ λοιπὸν νέμεσθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν καὶ οὐχ ἡμῶν τὸ πλέον, ἐβοηθήσατε· ὅτε γοῦν ἦμεν ἔτι σῶοι, οὐ παρεγένεσθε· ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι, καὶ ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες, ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος, καὶ ἡμᾶς αὐτούς. Εἰ δὲ προςεχωρήσαμεν πρότερον τῷ Μήδῳ, δείσαντες, ὥςπερ καὶ ἄλλοι, περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον ἐςβῆναι ἐς τὰς ναῦς, ὡς διεφθαρμένοι· οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς, μὴ ἔχοντας ναῦς ἱκανὰς, ναυμαχεῖν, ἀλλὰ καθ᾽ ἡσυχίαν ἂν αὐτῷ προεχώρησε τὰ πράγματα, ᾗ ἐβούλετο.

75. „*Ἆρ᾽ ἄξιοί ἐσμεν, ὦ Λακεδαιμόνιοι, καὶ προθυμίας ἕνεκα τῆς τότε, καὶ γνώμης ξυνέσεως, ἀρχῆς γε, ἧς*

Peloponneſiorum in Athenienſes, utpote iis fere con-

διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε. V. Plutarch. in Themiſt. c. 17., ubi dicit, Lacedaemonios Themiſtoclem ſapientiae ergo oleae ramo donaſſe, et curru, qui Spartae ceteris praeſtabat. — Diſtinctionem poſt *ἐτιμήσατε* ſuſtuli, et totum locum ad fidem optimorum librorum Cl. Caſſ. Reg. Aug. al., praeeunte Benedicto exhibui. Vulgata lectio haec eſt: *καὶ αὐτὸν διὰ τοῦτο ὑμεῖς ἐτιμήσατε, μάλιστα δὴ ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων.*

οὐκ οὔσης ἔτι. Aſſentior Bauero ſubintelligenti *ἡμῖν*, *quae nobis iam nulla eſſet*, non *quae eſſe deſiiſſet.* Hoc potius indicat ſequentibus verbis: *ἐν βραχείᾳ ἐλπίδι οὔσης.*

75. *ἆρ᾽ ἄξιοί ἐσμεν — διακεῖσθαι;* Signo interrogandi

ἔχομεν, τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι; Καὶ γὰρ αὐτὴν τήνδε ἐλάβομεν οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόντων τῶν ξυμμάχων, καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι· ἐξ αὐτοῦ δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προαγαγεῖν αὐτὴν ἐς τόδε, μάλιστα μὲν ὑπὸ δέους, ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφελείας. Καὶ οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι, τοῖς πολλοῖς ἀπηχθημένους, καί τινων καὶ ἤδη ἀποστάντων κατεστραμμένων, ὑμῶν τε ἡμῖν οὐκέτι ὁμοίως φίλων, ἀλλ' ὑπόπτων καὶ διαφόρων ὄντων, ἀνέντας κινδυνεύειν· καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. Πᾶσι δὲ ἀνεπίφθονον, τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι.

76. „Ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν τῇ Πελοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταστησάμενοι ἐξηγεῖσθε· καὶ εἰ τότε, ὑπομείναντες διὰ παντὸς,

flari folitum, qui imperarent, maxime fi cum aequita-

mutato in punctum, ἆρα fcribendum effe cenfuit Kiftemakerus; quod ab initio periodi locum non habet. Ἆρα eit *nonne* h. l., non *an*, quare Benedicti coniectura: ἆρ' ἀνάξιοι nihil opus erat. — In verbis ἀρχῆς τε, codices melioris notae, et Parifienfes omnes; exhibent τέ, quod Bredovius defendit, docens, callidum Athenienfem ipfum imperium adjungere iis rebus, propter quas merito celebrentur Athenienfes, quafi iisdem pariter atque imperio invidiam tantam fibi conflarint. Sed quatuor codd. Ar. C. Dan. Mofq. cum Valla et Schol. pro τέ habent γέ, quod Kiftemakerus praeferebat, et Poppo recte hoc argumento tuetur, quod imperium non fit caufa, cur Athenienfes invidia indigni fint, fed potius huius invidiae obiectum. Ergo hoc repofuimus.

ἐξ αὐτοῦ δὲ τοῦ ἔργου. Schol. ἐκ τῆς φύσεως αὐτῆς τοῦ πράγματος.

ὑπὸ δέους — ὠφελείας. Tribus rebus Athenienfes ad promovendum imperium impulfos effe dicit, primum timore, ne barbari rurfus ipfos invaderent; deinde honore, quem parto imperio obtinebant; denique utilitate, quam qui percepit, augere ftudet. Erant enim focii Athenienfium φόρου ὑποτελεῖς, cf. 1, 19. 80.

καί τινων καὶ ἤδη ἀποστάντων. Intelligit Samios. Vid. 1, 40. 41. — ἀνέντας, ἀπολύσαντας int. τὴν ἀρχήν. Cf. c. 76 med.

76. ἐπὶ τὸ ὑμῖν ὠφέλιμον. Recte Scholiafta de oligarchia accipit. Ἐξηγεῖσθαι, etiam h. l. accufativo iunctum, valet *regere*, *tractare*.

ἀπήχθησθε ἐν τῇ ἡγεμονίᾳ, ὥσπερ ἡμεῖς, εὖ ἴσμεν, μὴ ἂν ἧσσον ὑμᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις, καὶ ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς, ἢ αὐτοὺς κινδυνεύειν. Οὕτως οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν, οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδομένην ἐδεξάμεθα, καὶ ταύτην μὴ ἀνεῖμεν, ὑπὸ τῶν μεγίστων νικηθέντες, τιμῆς, καὶ δέους, καὶ ὠφελείας· οὐδ' αὖ πρῶτοι τοῦ τοιούτου ὑπάρξαντες, ἀλλ' ἀεὶ καθεστῶτος, τὸν ἥσσω ὑπὸ τοῦ δυνατωτέρου κατείργεσθαι· ἄξιοί τε ἅμα νομίζοντες εἶναι, καὶ ὑμῖν δοκοῦντες, μέχρι οὗ τὰ ξυμφέροντα λογιζόμενοι, τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε, ὃν οὐδείς πω, παρατυχὸν ἰσχύϊ τι κτήσασθαι, προθεὶς, τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. Ἐπαινεῖσθαί τε ἄξιοι, οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει, ὥστε

te imperarent; denique belli discrimina demonſtrantes.

ἀπήχθησθε. Vulgo legitur ἀπήχθεσθε. Sed ratio temporum requirit plusquamperfectum, quod eſt in Reg. Caſſ. Aug. Gr. — διὰ παντὸς pertinet ad ὑπομείναντες. Cap. 75. ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα τοῦ βαρβάρου.

διδομένην ἐδεξάμεθα. Plurimi codices pro διαδιδομένην id exhibent, quod nos cum Benedicto repoſuimus, etſi Scholiaſta vulgatum habet. Verum codicum lectio etiam eo defenditur, quod c. 75 dixerat, Athenienſes a ſociis rogatos imperium accepiſſe. Hic enim illud tempus, cum primum ἡ ἀρχὴ conſtitueretur, indicatur. Mox alia res eſt in verbo ἀνεῖμεν; quod cum Scholiaſta exponat ἐλαττοῦμεν (pro quo in cod. Reg. eſt ἀφίεμεν), eum ἀνίεμεν legiſſe veriſimile eſt, quae lectio etiam e marg. cod. Baſ. et Aug. ubi, ſicut in Reg. et Caſſ., primum fuerat ἄνιμεν, notatur, nec negligenda videtur, cum et optime huic loco imperfectum conveniat, praecedente πεποιήκαμεν, quod eſt praeſens perfectae actionis; et ἀνεῖμεν facillime aſſimilari potuerit praemiſſo aoriſto ἐδεξάμεθα. Vid. ad 1, 12 ſub fin. Sic in eadem ſententia ſupra cap. 75. οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι.

καθεστῶτος, i. e. νομίμου ὄντος, νομιζομένου. Concinnius hoc dici poterat, non item brevius.

ἄξιοί τε ἅμα, int. τοῦ ἄρχειν vel τῆς ἀρχῆς.

μέχρι οὗ — νῦν χρῆσθε. Vulgo μέχρις. Illud praeſtantiſſimi codices et h. l. defendunt. Cf. Bened. ad 4, 4. Sententia eſt: Vobis ipſis digni videbamur imperio noſtro, donec *veſtra commoda* ſpectantes, nunc protinus incipiatis iuſtitiam proponere. — προθεὶς, Schol. προκρίνας, προτιμήσας, anteponens utilitati. *Μὴ* volunt attice abundare. Potius dicendum erat, alteram negationem, quae ineſt in verbo ἀπετράπετο, firmari altera μή. Cf. Buttmann. Gr. Gr. p. 514. 7.

χρησάμενοι τῇ ἀνθρω-

ἑτέρων ἄρχειν, δικαιότεροι ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν γεγένηνται. Ἄλλους γ᾽ ἂν οὖν οἰόμεθα, τὰ ἡμέτερα λαβόντας, δεῖξαι ἂν μάλιστα, εἴ τι μετριάζομεν· ἡμῖν δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον ἢ ἔπαινος οὐκ εἰκότως περιέστη.

77. „Καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους δίκαις, καὶ παρ᾽ ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις νόμοις ποιήσαντες τὰς κρίσεις, φιλοδικεῖν δοκοῦμεν, καὶ οὐδεὶς σκοπεῖ αὐτῶν, τοῖς καὶ ἀλλοθί που ἀρχὴν ἔχουσι, καὶ ἧσσον ἡμῶν πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι, διότι τοῦτο οὐκ ὀνειδίζεται. Βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐδὲν προσδέονται. Οἱ δὲ, εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἤν τε, παρὰ τὸ μὴ οἴεσθαι χρῆναι, ἢ γνώμῃ, ἢ δυνάμει τῇ διὰ τὴν ἀρ-

πεία φύσει — Rem declarat Cicero Off. 1, 4. *Huic veri videndi cupiditati adiuncta est appetitio principatus.* Insitum enim est humanae naturae studium aliis imperandi.

γεγένηνται. Hanc novem codicum lectionem recepimus pro γένωνται. Indicativus vel generali sententiae aptior videtur, quam coniunctivus, praesertim cum haec quisque cogitatione referat ad Athenienses.

77. ἐν ταῖς ξυμβολαίαις — δίκαις, in caussis seu litibus privatis. Est enim ξυμβόλαιος, quod ad pacta de commerciis inter duos populos pertinet. Eiusmodi pacta σύμβολα vocabantur, et plerumque civitates non foederatas ita tenebant, ut is, unde peteretur, nisi in sua patria et patriis legibus non posset in ius vocari a petitore. Vid. Schneid. in Lex. sub v. σύμβολον. Duobus igitur modis praegravatos dicit Athenienses, tum quod ξυμβολαίαις δίκαις utantur cum sociis, quibus possint imperare, tum quod iis concedant, ut Athenis in iudiciis iisdem legibus, quibus et ipsi utantur Athenienses, disceptent. — In verbis καὶ ἐλασσούμενοι γάρ, noli καὶ γάρ coniungere, quae particulae, si vim suam communicant, tam arcte cohaerent, ut non possint vocabulo interposito secerni. Vid. Poppo p. 174. καί respondet alteri καί, quod proxime sequitur.

ἄλλοθί που ἔχουσιν ἀρχήν. Codd. Reg. Cass. Aug. et tres Pariss. hunc ordinem verborum exhibent: ἄλλοθί που ἀρχὴν ἔχουσι, quem horum codicum auctoritate praetuli. Scholiasta intelligit Persas et Scythas. Poterat Thraces adiicere.

βιάζεσθαι γάρ — Hoc γάρ referendum est ad verba τοῦτο οὐκ ὀνειδίζεται, quae sine διότι, tamquam peculiaris sententia, cogitatione repetenda sunt: οὐ γὰρ αὐτοῖς ὀνειδίζεται τοῦτο. βιάζεσθαι γάρ —

ἢ γνώμῃ, ἢ δυνάμει. Minus recte Schol. exponit διὰ τὴν ὑπαρχοῦσαν ἡμῖν ἀρχήν, ἢ λόγῳ, ἢ ἔργῳ — Intell. *vel sententia et iudicio, vel* potentia nostra, quam imperium affert.

χὴν, καὶ ὁπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλέονος μὴ στεϱισκόμενοι χάϱιν ἔχουσιν, ἀλλὰ τοῦ ἐνδεοῦς χαλεπώτεϱον φέϱουσιν, ἢ εἰ ἀπὸ πϱώτης ἀποθέμενοι τὸν νόμον, φανεϱῶς ἐπλεονεκτοῦμεν· ἐκείνως δὲ οὐδ' ἂν αὐτοὶ ἀντέλεγον, ὡς οὐ χϱεὼν τὸν ἥσσω τῷ κϱατοῦντι ὑποχωϱεῖν. Ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἄνθϱωποι μᾶλλον ὀϱγίζονται, ἢ βιαζόμενοι. Τὸ μὲν γὰϱ ἀπὸ τοῦ ἴσου, δοκεῖ πλεονεκτεῖσθαι· τὸ δ' ἀπὸ τοῦ κϱείσσονος, καταναγκάζεσθαι. Ὑπὸ γοῦν τοῦ Μήδου δεινότεϱα τούτων πάσχοντες ἠνείχοντο· ἡ δὲ ἡμετέϱα ἀϱχὴ χαλεπὴ δοκεῖ εἶναι. εἰκότως· τὸ παϱὸν γὰϱ ἀεὶ βαϱὺ τοῖς ὑπηκόοις. Ὑμεῖς γ' ἂν οὖν, εἰ καθελόντες ἡμᾶς ἄϱξαιτε, τάχα ἂν τὴν εὔνοιαν, ἣν διὰ τὸ ἡμέτεϱον δέος εἰλήφατε, μεταβάλοιτε· εἴπεϱ οἷα καὶ τότε πϱὸς τὸν Μῆδον δι' ὀλίγου ἡγησάμενοι ἀπεδείξατε, ὅμοια καὶ νῦν γνώσεσθε. Ἄμικτα γὰϱ τά τε καθ' ὑμᾶς αὐτοὺς νόμιμα τοῖς ἄλλοις ἔχετε, καὶ πϱοσέτι εἷς ἕκαστος ἐξιὼν, οὔτε τούτοις χϱῆται, οὔθ' οἷς ἡ ἄλλη Ἑλλὰς νομίζει.

78. „Βουλεύεσθε οὖν βϱαδέως, ὡς οὐ πεϱὶ βϱαχέων· καὶ μὴ ἀλλοτϱίαις γνώμαις καὶ ἐγκλήμασι πεισθέντες, οἰκεῖον πόνον πϱόσθησθε· τοῦ δὲ πολέμου τὸν παϱάλογον, ὅσος ἐστὶ, πϱὶν ἐν αὐτῷ γενέσθαι, πϱοδιάγνωτε. Μηκυ-

ἀλλὰ τοῦ ἐνδεοῦς χαλεπώτεϱον φέϱουσιν. Genitivum non facile expedias, nisi intellecta praepositione *ὑπέϱ, ἕνεκα, πεϱί*. Sunt, qui *στεϱισκόμενοι* ex prioribus repetant. Sed illi *τὸ ἐνδεές* male accepisse videntur, quod non potest esse *μικϱόν, ὀλίγον, ἔλασσον*, sed pro *ἐνδείᾳ*, vel potius ea conditione, qua sociis aliquod tamen, etsi exiguum, commodum deest sive negatur. Opponitur enim *τῷ πλέονι*, quod significat *pleraque* commoda. Ceterum in hoc vocabulo *πλέον* noli reprehendere editorum inconstantiam, modo *πλείων*, modo *πλέων* reponentium, cum MSS. vacillent, neque alteram formam satis constanter tueantur. Thucydides *πλέον* et *πλεῖον* videtur scripsisse, sed numquam rarius *πλέους, πλέω*. — *ἀπὸ πϱώτης* int. *ἀϱχῆς*, ab initio.

ἐκείνως, i. e. *εἰ ἀπὸ πϱώτης ἀποθέμενοι τὸν νόμον, φανεϱῶς ἐπλεονεκτοῦμεν.*

τὸ μὲν γὰϱ ἀπὸ τοῦ ἴσου. Recte Heilmannus hoc a masculino *ὁ ἴσος* derivat. Sensus est: Si quid a pari fit, usurpatio videtur; sin a potentiore, necessitas.

ἄμικτα γάϱ. Schol. *Οὐδενὶ γὰϱ ξένῳ μετεδίδοσαν τῶν παϱ' αὐτοῖς νομίμων οἱ Λακεδαιμόνιοι, ἀλλὰ καὶ ἐξενηλάτουν.* Cf. Thucyd. 1, 143.

νόμενος γὰρ φιλεῖ ἐς τύχας τὰ πολλὰ περιΐστασθαι. ὧν ἴσον τε ἀπέχομεν, καὶ ὁποτέρως ἔσται, ἐν ἀδήλῳ κινδυνεύεται. Ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους, τῶν ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾷν· κακοπαθοῦντες δὲ ἤδη, τῶν λόγων ἅπτονται. Ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοιαύτῃ ἁμαρτίᾳ ὄντες, οὔτ' αὐτοὶ, οὔθ' ὑμᾶς ὁρῶντες, λέγομεν ὑμῖν, ἕως ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία, σπονδὰς μὴ λύειν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, τὰ δὲ διάφορα δίκῃ λύεσθαι κατὰ τὴν ξυνθήκην· ἢ θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιούμενοι, πειρασόμεθα ἀμύνεσθαι πολέμου ἄρχοντας ταύτῃ, ᾗ ἂν ὑφηγῆσθε.“

79. Τοιαῦτα μὲν οἱ Ἀθηναῖοι εἶπον. Ἐπειδὴ δὲ τῶν τε ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς Ἀθηναίους, καὶ τῶν Ἀθηναίων ἃ ἔλεξαν, μεταστησάμενοι πάντας, ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ τῶν παρόντων. Καὶ τῶν μὲν πλεόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον, ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη, καὶ πολεμητέα εἶναι ἐν τάχει. Παρελθὼν δὲ Ἀρχίδαμος ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεξε τοιάδε.

80. „ΚΑΙ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι,

79. Dehinc Lacedaemonii, remotis omnibus, ſeorſum conſultant; et pleriſque omnibus bellum Athenienſibus inferendum eſſe cenſentibus, obſtitit unus, Archidamus rex, qui oratione 80 — 85. monet, Lacedaemoniorum opes

78. *ὧν ἴσον τε ἀπέχομεν*, int. ἡμεῖς τε καὶ ὑμεῖς. — *ὧν*, τύχων.

ἢ θεοὺς τοὺς ὁρκίους — πειρασόμεθα. Codd. Marg. Cl. Reg. cum aliis tribus Pariſſ. Caſſ. Aug. et ex emendat. Gr. pro ἢ habent εἰ δὲ μή. Quod cum uſitatius ſit, quam ἤ, quod h. l. *alioqui* ſignificat, asſentior Stephano, qui ad voculae ἢ explicationem adſcriptum putabat. Cf. 1, 121 extr. ἢ δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι — οὐκ ἀπεροῦσιν, ἡμεῖς δὲ — οὐκ ἄρα δαπανήσομεν. 1, 140. ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι.

ᾗ ἂν ὑφηγῆσθε. Ὑφηγεῖσθαι eſt *praeire, exemplum praebere.*

79. *τῶν τε ξυμμάχων*. Recepi τέ ex codicibus. — Paullo ante τοιαῦτα δέ praebent Reg. Caſſ. Aug.

ὦ Λακεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ· ὥςτε μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ ἔργου (ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν), μήτε ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. Εὕροιτε δ' ἂν τόνδε, περὶ οὗ νῦν βουλεύεσθε, οὐκ ἂν ἐλάχιστον γενόμενον, εἰ σωφρόνως τὶς αὐτὸν ἐκλογίζοιτο. Πρὸς μὲν γὰρ τοὺς Πελοποννησίους καὶ ἀστυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκὴ, καὶ διὰ ταχέων οἷόν τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας, οἳ γῆν τε ἑκὰς ἔχουσι, καὶ προςέτι θαλάσσης ἐμπειρότατοί εἰσι, καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ, καὶ ναυσὶ, καὶ ἵπποις, καὶ ὅπλοις, καὶ ὄχλῳ, ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ ἐστιν, ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ πρὸς τούτους ῥᾳδίως πόλεμον ἄρασθαι, καὶ τίνι πιστεύσαντας, ἀπαρασκεύους ἐπειχθῆναι; Πότερον ταῖς ναυσίν; Ἀλλ' ἥσσους ἐσμέν· εἰ δὲ μελετήσομεν, καὶ ἀντιπαρασκευασόμεθα, χρόνος ἐνέσται. Ἀλλὰ τοῖς χρήμασιν; Ἀλλὰ πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν, καὶ οὔτε ἐν κοινῷ ἔχομεν, οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν.

81. „Τάχ' ἂν τις θαρσοίη, ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ πλήθει ὑπερφέρομεν, ὥςτε τὴν γῆν δῃοῦν ἐπιφοι-

vicinis quidem Peloponnesiis pares esse, neutiquam vero

80. *καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλ. ὁρῶ.* Bauerus malebat *τους* sine accentu, ut sit pro *τινάς*, quasi haec mutatio praeter genitivum et dativum singularis in alios quoque casus caderet. Subaudiendum *ἐμπείρους ὄντας*, ut iam Schol. exposuit.

ὥςτε μήτε ἀπειρίᾳ, μήτε — νομίσαντα. Ita saepe variat orationem Thucydides, participio usus pro substantivo. v. ad 1, 107.

εὕροιτε δ' ἂν τόνδε — Vulgo legitur *εὕροιτε δ' ἂν τὸν πόλεμον τόνδε, περὶ οὗ νῦν βουλεύεσθε.* Verba *τὸν πόλεμον* alii codices transponunt post *τόνδε*, alii plane omittunt, ut Cl. Reg. Cass. Aug. Paris. H.; in aliis deest *τόνδε*. Haec discrepantia lectionis valde suspecta mihi reddebat verba *τὸν πόλεμον*, quae margini adscripta librariis occasionem dederunt, orationem Thucydidis varie corrumpendi. Idem Popponem sentire, postquam animadverti, illud interpretamentum summovi. Praecesserat paullo ante *πολλῶν ἤδη πολέμων.*

τούτου ἐλλείπομεν, int. *τοῦ χρήματος*, *τοῦ ἔχειν χρήματα.* — *ἐν κοινῷ*, i. e. *ταμιείῳ.*

81. *ὥςτε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες.* Nominativus *ἐπιφοιτῶντες* recte habet propter

τῶντες. Τοῖς δὲ ἄλλη γῆ ἐστι πολλὴ, ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης, ὧν δέονται, ἐπάξονται. Εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. Τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος; Εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν, ἢ τὰς προσόδους ἀφαιρήσομεν, ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλέω. Κἀν τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλόν· ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. Μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα, ὡς ταχὺ παυθήσεται ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τάμωμεν. Δέδοικα δὲ μᾶλλον, μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς, Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι, μήτε, ὥσπερ ἀπείρους, καταπλαγῆναι τῷ πολέμῳ.

82. „Οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾷν βλάπτειν, καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾷν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι, μήτε πόλεμον ἄγαν δηλοῦντας, μήθ' ὡς ἐπιτρέψομεν· κἀν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρ-

externis hostibus, minime Athenienſibus, qui divitiis

ὑπερφέρομεν. Infra c. 91. ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη, ὥστε ἱκανὴ εἶναι σώζειν — At ſupra cap. 80. erat ὥστε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα — νομίσαντα.

τοῖς δὲ ἄλλη γῆ ἐστι πολλή. Etiam h. l. τοῖς eſt pro τούτοις. Vid. not. ad 1, 37.

τῇ γῇ δουλεῦσαι, i. e. τῆς γῆς ἕνεκα δουλεῦσαι, metu ne ab hoſtibus vaſtetur, ſe ſubiicere cuilibet conditioni. 1, 143. τούτων ἕνεκα οὐχ ὑπακούσεσθε.

82. *καταφωρᾷν,* deprehendere ἐπ' αὐτοφώρῳ, ἐλέγχειν, convincere criminis et oſtendere, eorum conſilia cognita eſſe.

μήθ' ὡς ἐπιτρέψομεν. Etiam hoc pendet a δηλοῦντας; ne cum Gottlebero transpoſita verba putes pro καὶ δηλοῦντας, ὡς μὴ ἐπιτρέψομεν.

κἀν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν — ἐκποριζώμεθα. Pravam huius loci diſtinctionem correxi, etiam Bredovio monente. Punctum, quod erat poſt προσληψόμεθα, ſuſtuli; nam verba ξυμμάχων τε προσαγωγῇ poſtulant, ut καί ſequatur, quod illi τέ reſpondeat. Ergo verba: ἀνεπίφθονον δὲ — διασωθῆναι parentheſeos ſignis a reliquis ſecernenda erant. Duo ſunt, quae ſuadet Archidamus, primum, ut auxilia ab exteris, vel Graecis, vel barbaris, parentur, cuius rei excuſationem continent ea, quae in parentheſi dicuntur: deinde, ut ipſi Lacedaemonii conferant de ſuis copiis ad bellum geren-

τύεσθαι, ξυμμάχων τε προςαγωγῇ, καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προςληψόμεθα, (ἀνεπίφθονον δὲ, ὅσοι ὥςπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα, μὴ Ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προςλαβόντας, διασωθῆναι) καὶ τὰ αὑτῶν ἅμα ἐκποριζώμεθα. Καὶ ἢν μὲν ἐςακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μὴ, διελθόντων ἐτῶν δύο καὶ τριῶν, ἄμεινον ἤδη, ἢν δοκῇ, πεφραγμένοι, ἴμεν ἐπ' αὐτούς. Καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν, καὶ τοὺς λόγους αὐτῇ ὅμοια ὑποσημαίνοντας, μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες, καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι. Μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν· καὶ οὐχ ἧσσον, ὅσῳ ἄμεινον ἐξείργασται. ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς, ἀληπτοτέρους ἔχειν. Εἰ γὰρ ἀπαράσκευοι, τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες, τεμοῦμεν αὐτὴν, ὁρᾶτε, ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξωμεν. Ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι, καθότι χωρήσει, οὐ ῥάδιον εὐπρεπῶς θέσθαι.

navibusque pollerent, nec niſi claſſe vinci poſſent. Fo-

dum. — κἀν τούτῳ, int. χρόνῳ. — In verbis: ὅσοι ὥςπερ καὶ ἡμεῖς ἐπιβουλευόμεθα, deeſt verbum, quod ad ὅσοι referatur, velut ἐπιβουλεύονται. Sed reſpuit Thucydidea brevitas eiusmodi latitudinem, et inſolentia orationis eo tantum continetur, quod ſcriptor verbum ἐπιβουλευόμεθα ad ἡμεῖς accommodavit, non ad ὅσοι, quod tamquam potius erat reſpiciendum. Sed etiam alibi hanc ſtructuram admiſit; 3, 67 extr. ἢν οἱ ἡγεμόνες, ὥςπερ καὶ ὑμεῖς — ποιήσησθε.

καὶ ἢν μὲν ἐςακούσωσι. Hoc verbum pro ἐπακούσωσι ex codd. bonis recepi cum Benedicto. Sic 1, 126 init. 3, 4 in. Cf. ad 1, 53.

καὶ οὐχ ἧσσον — ἐξείργασται. Disſuadet vaſtationem agri Attici, quem eo certius pignus Peloponneſiis fore ait, quo cultior Athenienſibus relinquatur. οὐχ ἧσσον, τοσούτῳ μᾶλλον.

ἕνεκα τῶν ἰδίων. Hoc Scholiaſta refert ad Corinthios ſolos eorumque criminationes. Sed cum alii quoque, veluti Mega-

83. „Καὶ ἀνανδρία μηδενὶ, πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν, δοκείτω εἶναι. Εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι· καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. Πορισώμεθα οὖν πρῶτον αὐτὴν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα. Οἵπερ δὲ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τὶ αὐτῶν προΐδωμεν.

84. „Καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε. Σπεύδοντές τε γὰρ, σχολαίτερον ἂν παύσησθε, διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα. Καὶ δύναται μάλιστα σωφροσύνη ἔμφρων

re bellum atrociſſimum, atque inexplicabile; ideo-

renſes, cap. 67. accuſatores Atheniensium exſtiterint, et paullo ante: τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες dixerit, (ubi dativus *cauſam* feſtinationis continet: *propter ſociorum criminationes feſtinantes*) in primis quidem Corinthii, ſed tamen alii quoque intelligendi ſunt. — θέσθαι, ἀποθέσθαι, καταλῦσαι.

83. καὶ τῶν ἀποβαινόντων — ἕξομεν. Ordo verborum eſt: οἵπερ ἕξομεν τὸ πλέον τῆς αἰτίας τῶν ἀποβαινόντων ἐπ' ἀμφότερα. ἐπ' ἀμφότερα, in utramque partem, ſive victoria, ſive clades evenerit. — αὐτῶν, int. τῶν ἀποβαινόντων.

84. σχολαίτερον ἂν παύσαισθε. Codices Reg. Caſſ. Aug. Cl. Gr. ſex Pariſſ. praebent παύσησθε. Quamvis apud proſae orationis ſcriptores optativus cum ἂν pro futuro dubitanter poſito ſolemnis ſit, non coniunctivus; tamen etiam hic auctoritati optimorum librorum obtemperandum eſſe duxi, praeſertim cum et alii loci reperiantur, ubi coniunctivum, quem codices praebeant, non facili negotio mutes in optativum, ut Plat. Eutyphr. c. 4. (quem locum attulit Poppo p. 139) οὐ γὰρ ἄν που ὑπέρ γε ἀλλοτρίου ἐπεξίῃσθα φόνου αὐτῷ. Pleraque quidem exempla ab aliis in hanc rem allata vel incerta ſunt, vel emendanda. Nondum tamen res explorata eſt. Cf. 1, 140 extr. Huc referas etiam locum 1, 33. ἔπειτα, περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι, ὡς ἂν μάλιστα μετ' ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθῆσθε. Quamquam ibi, cum ἂν non ad verbum καταθῆσθε pertineat, ſed particula ὡς ἂν μάλιστα per ſe conſtet, nec vim ſuam in verbum exſerat, malim ſcribere καταθοῖσθε.

καὶ ἅμα — νεμόμεθα. Argumentum ab effectu. Cum ſemper liberam et honeſtiſſimam urbem incoluerint, non poſſe mores ipſorum reprehenſione dignos eſſe, oſtendit. καί pertinet ad antecedens τέ.

καὶ δύναται — τοῦτ' εἶ-

τοῦτ' εἶναι. Μόνοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν, καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐποτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ, παρὰ τὸ δοκοῦν ἡμῖν, οὐκ ἐπαιρόμεθα ἡδονῇ. Καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν δὴ μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. Πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν, ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία· εὔβουλοι δὲ, ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευόμενοι, καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥςτε αὐτῶν ἀνηκουστεῖν· καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι, ἀνομοίως ἔργῳ ἐπεξιέναι· νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας

que diu deliberandum, non temere decernendum.

ναι. Τοῦτο est τὸ βραδὺ καὶ μέλλον, et huius loci fubiectum. „In illam tarditatem et cunctationem, quam nobis exprobrant, maxime cadit prudens moderatio."

ἐποτρυνόντων ἡμᾶς. Nonnulli codices Marg. Cl. Reg. Caff. Aug. habent ἐξοτρυνόντων, quod per fe ferri poteft, atque adeo firmatur eo, quod facilius ἐποτρυνόντων in illius locum fubſtitui potuiſſe videatur, quam vice verfa. cf. 1, 90 init. τῶν ξυμμάχων ἐξοτρυνόντων. — Mox ἡδονή eft oblectatio, quam ex laude nobis tributa percipimus, five quam laude tributa alii nobis faciunt. Ceterum ab hoc vocabulo pendet genitivus τῶν ἐποτρυνόντων, ut fit voluptas non quam percipiant, fed quam praebeant ii, qui laude inſtigent Lacedaemonios ad pericula fubeunda.

ἀνεπείσθημεν, *adduci folemus.* Haec vis eft aoriſti. Vid. Buttmann. Gr. Gr. p. 468 fq. Nec male alii ἂν ἐπείσθημεν, quod eandem fundit fententiam. Vid. Thuc. 7, 71 init. Eurip. Phoen. 412. — Paullo ante δή abeft a Cl. Reg. Caff. Aug.

ὅτι αἰδὼς — εὐψυχία. Αἰδώς et αἰσχύνη h. l. fynonyma funt, et promiſcue uſurpantur. Moderationi pudor cognatus, pudori fortitudo, tefte Homero Il. ε, 531. — Cum autem praeceſſerit τὸ μέν, cui non plene refpondet εὔβουλοι δέ, mutata eft ſtructura. Τῆς ὑπεροψίας pendet ab ἀμαθέστερον, pro ἢ ὥςτε ὑπερόπτεσθαι τοὺς νόμους, ut mox luculentius dicit σωφρονέστερον ἢ ὥςτε ἀνηκουστεῖν. — Χαλεπότης eft dura vivendi ratio feu vitae conditio.

καὶ μὴ τὰ ἀχρεῖα. Scholiaſta recte intelligit τὰ σοφίσματα τῶν λόγων. Lacedaemonii enim non dabant operam artificioſae eloquentiae. — Poſt μή interpungendum eſſe cenfebat Stephanus. Sed pertinet ad infinitivum ἐπεξιέναι non magis, quam ad participium ὄντες. Pendet autem hic infinitivus, ficut fequens νομίζειν a παιδευόμενοι, ideoque μή, non οὐ huic loco aptum eſt. —

παραπλησίους εἶναι, καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς. Ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζώμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων. Πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι, ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται.

85. „Ταύτας οὖν, ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας, καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν, μὴ παρῶμεν, μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων, καὶ χρημάτων, καὶ πόλεων, καὶ δόξης, βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. Ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν. Καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ [τῆς] Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοι φασὶν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν διδόντα, οὐ πρότερον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι. Παρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα. Ταῦτα γὰρ καὶ κράτιστα βουλεύσεσθε, καὶ τοῖς ἐναντίοις φοβερώτατα.“ Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν Ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

παραπλησίους, nempe *nostris*.

παρασκευαζώμεθα. Hoc cum Stephano et Benedicto praetulimus vulgato *παρασκευαζόμεθα*, cum propter codicum fidem, tum quod coniunctivus sequenti *δεῖ* accommodatior est. Infinitivus enim morum descriptionem continuaret; coniunctivus commendationi alicuius rei et hortationi inservit.

παιδεύεται. Nescio quare Kistemakerus ab usitata huius verbi notione abeat, novamque comminiscatur. Vertit: *prudenter et moderate se gerit*, cum *παιδεύεσθαι* sit *institui, informari, educari*. Bene orationis totius seriei congruit: in rebus angustis informari.

85. *περὶ τῆς Ποτιδαίας*. *Τῆς*, quia deest in decem codicibus, uncis inclusi. — Mox verborum *οὐ πρότερον νόμιμον* — ordo hic est: *οὐ νόμιμον, πρότερον ἰέναι ἐπὶ τὸν διδόντα, ὡς ἐπ' ἀδικοῦντα*.

ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε. Hanc lectionem praebent Marg. Cass. Aug. et duo Pariss., cum in ceteris sit *ἔλεξε τοῖς Λακ. ὧδε*. Iam Benedictus monuit, *ὧδε* non congruere huic constructioni, cum dicendum fuisset *τάδε*. Et facile est intellectu, vulgatum esse ortum propter terminationis verbi *ἔλε-*

86. „ΤΟΥΣ μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς, οὐδαμοῦ ἀντεῖπον, ὡς οὐκ ἀδικοῦσι τοὺς ἡμετέρους ξυμμάχους, καὶ τὴν Πελοπόννησον· καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται. Ἡμεῖς δὲ ὅμοιοι καὶ τότε καὶ νῦν ἐσμὲν, καὶ τοὺς ξυμμάχους, ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικουμένους, οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. Ἄλλοις μὲν γὰρ χρήματά ἐστι πολλὰ, καὶ νῆες, καὶ ἵπποι· ἡμῖν δὲ ξύμμαχοι ἀγαθοὶ, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστὶν, οὐδὲ δίκαις καὶ λόγοις διακριτέα, μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους· ἀλλὰ τιμωρητέα ἐν τάχει, καὶ παντὶ σθένει. Καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους, μηδεὶς διδασκέτω· ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. Ψηφίζεσθε οὖν, ὦ Λακεδαιμόνιοι, ἀξίως τῆς Σπάρτης τὸν πόλεμον· καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν ἐπὶ τοὺς ἀδικοῦντας.“

86. Sed Sthenelaidas, unus ex Ephoris, brevi admonitione

ξεν et praepoſitionis ἐν ſimilem ſonum, cum primum ἐν omitteretur, deinde ἔλεξεν propter ſequentem vocem in ἔλεξε mutaretur. Neque alibi dativo uti ſolet Thucydides, ne πρός quidem cum accuſativo; ſed locum et occaſionem tantum deſignat, ubi aliquis ad dicendum prodierit.

86. *πρὸς τοὺς Μήδους — πρὸς δ' ἡμᾶς.* Omiſſum eſt μέν priore membro. Vid. ad 1, 56.

οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. Vulgo editur οἵδ' — Cf. ad 1, 37. Nam ut vulgatam lectionem teneas, ſubaudiendum erit γάρ, ut iam Stephanus videbat. Verbum μέλλουσι utrum cum Schol. *de futuro* accipias, an cum recentioribus interpretibus de *cunctatione*, non multum refert ad ſententiam, quae est ἤδη πάσχουσι. Poſterior tamen interpretatio aptior fuerit praecedenti μελλήσομεν.

χρήματά ἐστι πολλά. Ultima vox abeſt a multis, ſed deterioribus libris, quos Benedictus, numerum magis teſtium, quam gravitatem, expendens, ſequutus eſt. — βλαπτομένους referendum eſt ad οὕς.

ἐπίωμεν ἐπὶ τοὺς ἀδικοῦντας. Codd. optimi Cl. Caſſ. Aug. Reg. habent πρὸς τοὺς ἀδικ., quod etiam 4, 92 extr. reperitur.

87. *Τοιαῦτα δὲ λέξας, ἐπεψήφιζεν αὐτὸς, Ἔφορος ὢν, ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων. Ὁ δὲ (κρίνουσι γὰρ βοῇ, καὶ οὐ ψήφῳ) οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν, ὁποτέρα μείζων· ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην, ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι, ἔλεξεν, „Ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ σπονδαὶ, καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον· (δείξας τὶ χωρίον αὐτοῖς) ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα. Ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους ἐγένοντο, οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. Προςκαλέσαντές τε τοὺς ξυμμάχους, εἶπον, ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς*

Lacedaemoniis, ſuadet bellum contra Athenienſes, tamquam iniuriam inferentes, 87. eoque auctore Lacedaemonii

Cum autem nonnulli praebeant *κατά*, Poppo coniecit, Thucydidem *ἐπίωμεν τοὺς ἀδικοῦντας* ſcripſiſſe, ſine praepoſitione. Quod ſine haeſitatione amplecterer, ſi vel unum exemplum verbi *ἐπιέναι* accuſativo iuncti e Thucydidis libris afferretur. Mihi vera et genuina lectio videtur *πρός*, quam deinde corruperunt varie interpretati, alii rectius per *ἐπί*, deterius alii per *κατά*.

87. *τοιαῦτα δὲ λέξας*. Decem codd. exhibent *τοιαῦτα δέ*, unus Par. *δή*, quod Benedicto placebat. Vulgo utraque particula deeſt. Recepi *δέ*. Cf. 1, 43. 146. 3, 68. 6, 88.

ἐς τὴν ἐκκλησίαν, pro *ἐν τῇ ἐκκλησίᾳ*. Supra c. 6. *ἐς τὸ φανερὸν ἀποδύντες*. Infra c. 90. *οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους*.

καὶ οὐ ψήφῳ. Sed ne ipſi quidem Athenienſes in eccleſia calculis utebantur, ſed *χειροτονίᾳ*. — Poſt *ὁποτέρα* (int. *βοή*) *μείζων* pro minore interpunctione induxi colon, quia ſequens verbum *ἔλεξεν* oſtendit, haec non poſſe cum prioribus coniungi.

βούλεσθαι δέ. Variavit ſtructuram; nam antea erat *ὅτι — δοκοῖεν*. Cf. 1, 91. *εἶπεν, ὅτι — ἰέναι*. 5, 3 med. *καὶ ἐλπίδα εἶναι*. 3, 25. *προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα*. — Quod dicit paullo ante *ἀναστάντες*, inde colligas, Lacedaemonios, priſco heroici aevi more, humi proſtratos in eccleſia ſediſſe. Sed cum ſupra cap. 67. dicat: *ξύλλογον σφῶν αὐτῶν ποιήσαντες τὸν εἰωθότα*, nihil vetat, quo minus de *μικρᾷ ἐκκλησίᾳ*, in Sciade haberi ſolita, cogitemus. Ceterum Scholiaſta Auctoris mentem non cepit, cum dicit: *ἐπαγαγεῖν*] *μόνοι γὰρ οἱ πρέσβεις παρῆσαν, καὶ οὐχὶ ἅπαν τὸ πλῆθος τῶν συμμάχων*: quaſi alias omnis ſociorum multitudo conveniſſet. Cauſa, cur Lacedaemonii ſocios non eo ipſo tempore in ſuffragia mitterent, haec potius erat, quia non omnium civitatum *legati* aderant. Itaque infra c. 119. denuo eos convocatos videmus et conſultos, et c. 125. in ſuffragia miſſos (*ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν*).

πάντας ξυμμάχους παρακαλέσαντες, ψῆφον ἐπαγαγεῖν· ὅπως κοινῇ βουλευσάμενοι, τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. Καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμενοι ταῦτα· καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον, ἐφ' ἅπερ ἦλθον, χρηματίσαντες. Ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν, αἳ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

88. *Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι, καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα.*

89. *Οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα, ἐν οἷς ηὐξήθησαν. „Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης, νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην, διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου, ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι, καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν, Μήδων ἐχόντων· καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν, ἐκλιπόντων τῶν βαρβάρων. Καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις.*

iudicant, foedus ab Athenienſibus ruptum videri, idque decretum ſociis declarant. 88. Ad quam ſententiam ferendam maxime timor potentiae Athenienſium admodum creſcentis eos movit. 89. Quare uberius explicatur, quomodo Athenienſes rerum potiti ſint inde a bello Perſico.

μετὰ τὰ Εὐβοϊκά, i. e. *τὸν πόλεμον Εὐβοϊκόν*, quo Athenienſes Euboeam ſibi denuo ſubiecerant. Vid. cap. 114. et de foedere c. 115. cf. c. 23.

89. *ἐπιχειμάσαντες*, etiam per hiemem ibi manentes, per hiemem quoque obſidionem continuantes.

Ἀθηναίων δὲ τὸ κοινὸν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς, ὅθεν ὑπεξέθεντο, παῖδας, καὶ γυναῖκας, καὶ τὴν περιοῦσαν κατασκευήν· καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο, καὶ τὰ τείχη. Τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι, αἱ μὲν πολλαὶ ἐπεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

90. *Λακεδαιμόνιοι δὲ, αἰσθόμενοι τὸ μέλλον, ἦλθον πρεσβείᾳ, τὰ μὲν, καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήποτ' ἐκείνους, μήτε ἄλλον μηδένα τεῖχος ἔχοντα· τὸ δὲ πλέον, τῶν ξυμμάχων ἐξοτρυνόντων, καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρώην οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. Ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον, ὅσοις ξυνειστήκει, ξυγ-*

Nam, Lacedaemoniis domum reverſis, ulterius perſequuti hoſtes, poſt reditum urbem ſuam denuo exſtruxerunt, nec non murum, 90 — 92. quamvis renitentibus Spartanis;

ὅθεν ὑπεξέθεντο. *Attractionem*, quam dicunt, etiam in adverbiis animadverte. Eſt enim pro *ἐκεῖθεν, οὗ ὑπεξέθεντο.* Intellige igitur Troezenem, Salaminem, Aeginam. Nam in eas urbes Athenienſes ſenes, uxores, liberos ſuos imbelles et mancipia comportarant. Herodot. 8, 41. — *περιοῦσαν*, ex illa calamitate ſervatam, reliquam.

καὶ οἰκίαι. Syntaxin hanc ſatis frequentem exemplo Homerico Od. *μ*, 73 et 101 illuſtrat Schol.

90. *μήποτ' ἐκείνους, μήτε ἄλλον.* Septem codd. exhibent *μήτε ἐκείνους*, quod Benedictus amplexus eſt. Equidem non ſequor, quia perſpicere nequeo, quo modo librarii omnium reliquorum codd., ſi *μήτε* antiqua lectio erat, in *μήποτε* incidere potuerint, cum multo veriſimilius ſit, propter ſequens *μήτε* etiam *μήποτε* mutatum eſſe in *μήτε*. Enimvero Benedicto fraudi fuit falſa iſta opinio, quam ubique crepat, particulam *τέ* numquam ſimplicem copulam eſſe, ut Latinorum *que*. Hac una perverſa opinione, iam a Poppone Obſſ. critt. p. 14. refutata, ſexcentos Thucydidis locos temere tentavit. Nam eodem iure, ſi codicum auctoritatem maxime ſequendam putaret, paullo poſt *πρίν* nobis commendaſſet, quod pro *πρώην* in iisdem fere codd. eſt Cl. Reg. Caſſ. Aug. Marg. Cam.

ὅσοις ξυνειστήκει, int. *τὰ τείχη* aut ex *τειχίζειν*, ut c. 91 init. *ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει (τὸ τεῖχος)*, aut potius ex *περιβόλους*, in quo ea-

καθελεῖν μετὰ σφῶν τοὺς περιβόλους· τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθὲν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἀναχώρησίν τε καὶ ἀφορμὴν ἱκανὴν εἶναι. Οἱ δ' Ἀθηναῖοι, Θεμιστοκλέους γνώμῃ, τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι, ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις, μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν τὸ τεῖχος ἱκανὸν αἴρωσιν, ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει, καὶ αὐτοὺς, καὶ γυναῖκας, καὶ παῖδας, φειδομένους μήτε ἰδίου, μήτε δημοσίου, οἰκοδομήματος, ὅθεν τὶς ὠφέλεια ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. Καὶ ὁ μὲν ταῦτα διδάξας, καὶ ὑπειπὼν, τὰ ἄλλα ὅτι αὐτὸς

quos dolo elusit Themistocles, auctor illius munitionis.

dem illa notio inest, quae auctoris animo obversabatur. Singularis tamen ξυνειστήκει non permittit, ut ipsum οἱ περίβολοι subaudiatur. Hic enim locus iis est adnumerandus, quos Poppo p. 151 seq. collegit, ut exemplis probaret Hermanni sententiam, Atticos vicissim cum pluralibus masculinorum et femininorum coniungere verbum singulare, ubi nomen neutrius generis in mente habent; et vice versa. Thucyd. 2, 3. ἁμάξας ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίστασαν, ἵν' ἀντὶ τείχους ᾖ (int. τὰ ἅρματα pro ἅμαξαι). 4, 61. εἰρήνη δὲ διάφορα (διαφοραί) ἀπραγμόνως παύονται. 8, 10. ἐπηγγέλθησαν γάρ (nempe αἱ σπονδαί, licet τὰ Ἴσθμια praecesserit). 5, 26. ἀμφοτέροις ἁμαρτήματα (ἁμαρτίαι) ἐγένοντο. V. ad 2, 8. — ὅσοις ad πολίτας refer, sive ad τῶν ἔξω Πελοποννήσου subaudire malis πόλεων, sive πολισμάτων. Vide de hoc transitu ab urbibus ad incolas earum, quae notata sunt ad cap. 2. extr. — μετὰ σφῶν, Λακεδαιμονίων, ne cum Scholiasta de Atheniensibus cogites.

ἔφασαν ἀναχώρησιν — εἶναι. Codd. Reg. Cass. Aug. hunc ordinem verborum exhibent: ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν. — ἀφορμή hic est locus, unde quis contra hostes progredi possit. — Mox iidem codices cum aliis multis pro ἱκανὸν τὸ τεῖχος habent τὸ τεῖχος ἱκανόν, quod reposui.

τάχει πράξοι, ᾤχετο. Καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν, οὐ προσῄει πρὸς τὰς ἀρχὰς, ἀλλὰ διῆγε, καὶ προὐφασίζετο. Καὶ ὁπότε τὶς αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων, ὅ, τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινὸν, ἔφη, τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι· προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν, καὶ θαυμάζειν, ὡς οὔπω πάρεισιν.

91. Οἱ δὲ, ἀκούοντες, τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφικνουμένων, καὶ σαφῶς κατηγορούντων, ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. Γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες χρηστοὶ, καὶ πιστῶς ἀναγγελοῦσι σκεψάμενοι. Ἀποστέλλουσιν οὖν· καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει, κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν, καὶ μὴ ἀφεῖναι, πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν. (ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἀβρώνυχός τε ὁ Λυσικλέους, καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος.) Ἐφοβεῖτο γὰρ, μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. Οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις, ὥσπερ ἐπεστάλη, κατεῖχον· καὶ ὁ Θεμιστοκλῆς ἐπελθὼν τοῖς

ἀλλὰ διῆγε. Διάγειν h. l. βραδύνειν explicat Thomas Mag. Intelligendum autem τὸν χρόνον, *tempus extraxit, consumpsit.* — Mox ὅ, τι est διότι.

91. *διὰ φιλίαν αὐτοῦ.* Supra cap. 74. Καὶ αὐτὸν (Θεμιστοκλέα) διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων.

τῶν δὲ ἄλλων — ἀπιστῆσαι. Τῶν ἄλλων neque de Lacedaemoniorum legatis, qui iam antea redierant (c. 90. εὐθὺς ἀπήλλαξαν), neque de Atheniensium intelligendum, quorum adventus, ut alia taceam, inferius diserte memoratur (ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις), sed de aliis quibusvis Athenis commeantibus. Neque tamen offendere debet articulus τῶν, licet abesse possit, nisi Scriptor indicare voluisset, *omnes alios*, quicumque inde veniebant, idem nuntiasse. — *ὕψος λαμβάνει*, subaudi τεῖχος ex τειχίζεται. Cf. 4, 69. αἱ οἰκίαι ἐπάλξεις λαμβάνουσαι. — *Χρὴ* ex glossemate irrepsisse putabat Matthiae.

καὶ πιστῶς ἀναγγελοῦσι. Melioris notae codd. Cl. Reg. Cass. Aug. et Suidas in παράγεσθαι habent ἀπαγγελοῦσι.

Λακεδαιμονίοις, ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη, ὥςτε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας [ἐν αὐτῇ]· εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. Τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι, καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι· καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. „Δοκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι, τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις, καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι. Οὐ γὰρ οἷόν τ' εἶναι, μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς, ὅμοιόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. Ἢ πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν, ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν,

ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται. Cum in deterioribus libris legatur αὐτῶν pro σφῶν, Benedictus legendum cenfet σφῶν αὐτῶν, ut fupra initio capitis, et paullo inferius σφίσιν αὐτοῖς. Quo iudicio Thucydidis codices ad unum omnes corruptos effe declaravit. Σφῶν vera eft lectio, αὐτῶν eius interpretamentum. Neque ulla caufa fuppetit, cur hoc loco αὐτῶν adiiciatur; quae locis citatis patet. — ὥςτε ἱκανὴ εἶναι — v. ad cap. 81. Verba denique ἐν αὐτῇ, quae feptem codd. omittunt, et quae iam aliis fufpecta vifa funt, uncis inclufimus.

ὡς πρὸς διαγιγνώσκοντας — ἰέναι. Infinitivus pendet ab εἶπεν, cum ὅτι priore membro praeceffcrit. Vid. ad cap. 87. τὸ λοιπόν iungendum eft cum ἰέναι. A participio διαγιγνώσκοντας pendent reliqua τά τε — κοινά. Ultimam vocem funt qui tentarint, alius κοινῷ, alius κοινῇ coniicientes, quorum illud foloecum eft, cum articulus non poffit abeffe, utrumque praeter neceffitatem. Nam recte dicitur τὰ κοινὰ ξύμφορα.

καὶ ὅσα βουλεύεσθαι. Infinitivus in oratione obliqua faepe vice finiti verbi fungitur.. Herodot. 4, 9. ὡς δ' ἐγερθῆναι τὸν Ἡρακλέα, δίζησθαι. Ib. c. 10. τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνόματα θέσθαι. Et cap. 11. ὡς δὲ δόξαι σφι ταῦτα, διαστάντας — μάχεσθαι. Quos locos indicavit Bredovius. Plato Phaed. c. 16 extr. Τούτου δὲ ὄντος, ἱκανόν που ἐδόκει (nam hoc verbum ex Stobaeo et cod. nuper collato addendum) τεκμήριον εἶναι, ὅτι ἀναγκαῖον, τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι.

μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς, i. e. nifi pari modo muniti. Nam ἀντίπαλος eft ἀντάξιος, par.

92. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες, ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις· οὐδὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο· ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν τὰ μάλιστα αὐτοῖς ἐτύγχανον) τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες, ἀδήλως ἤχθοντο· οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

93. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ· καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν, ὅτι κατὰ σπουδὴν ἐγένετο. Οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται, καὶ οὐ ξυνειργασμένων ἔστιν ᾗ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως. Καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες, ἠπείγοντο. Ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν· (ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις

93. Qualis fuerit et iſta et Piraeei munitio, et quomodo facta.

92. τῷ κοινῷ ἐπρεσβεύσαντο. Schol. ὑπὲρ τοῦ κοινοῦ. Idem ἀνεπικλήτως interpretatur μηδὲν ἐγκληθέντες, ἀκατηγορήτως, non obiurgati. — Ante μάλιστα inſerui τά, plurimorum codd. auctoritate.

93. καὶ δήλη ἡ οἰκοδομία. Vocabulum οἰκοδομία, h. l. de muro dictum, ſimpliciter eſt *der Bau*, ut Latini *aedificare* latiore ſenſu de muris uſurpant. Paullo inferius hoc cap. eodem ſenſu legitur, ᾠκοδόμησαν et ξυνῳκοδομημένοι μεγάλοι λίθοι. Cf. c. 107. 2, 75.

στῆλαι ἀπὸ σημάτων, columnae ex ſepulcris. Teſtatur hinc etiam Nepos Themiſt. 6 extr. „Quo factum eſt, ut Atheniensium muri ex ſacellis ſepulcrisque conſtarent.“ — λίθοι εἰργασμένοι ſunt lapides politi; contra οὐ ξυνειργασμένοι non elaborati, in quadratam formam non redacti. — Mox πάντα ὁμοίως int. καὶ κοινὰ καὶ ἱερά.

τοῦ Πειραιῶς τὰ λοιπά. — Ex hoc loco Nepos Themiſt. 6. „Quum Phalerico portu neque magno, neque bono, Athenienſes uterentur: huius conſilio triplex (λιμένας ἔχον τρεῖς αὐτοφυεῖς) Piraeei-portus conſtitutus eſt.“ — ἐπὶ τῆς ἐκείνου ἀρχῆς, Ol. 71, 4. a. Chr. 492. Archon erat Themiſtocles. — αὐτούς, Ἀθηναίους.

ἦρξε·) νομίζων τό, τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους, μέγα προφέρειν ἐς τὸ κτήσασθαι δύναμιν. Τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστὶ, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. Καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους, ὅπερ νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν Πειραιᾶ. Δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον· ἐντὸς δὲ οὔτε χάλιξ, οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι, καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ δεδεμένοι. Τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη, οὗ διενοεῖτο. Ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς· ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακὴν, τοὺς δ' ἄλλους ἐς τὰς ναῦς ἐσβήσεσθαι. Ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο· ἰδὼν, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν. Τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω

ὅπερ νῦν ἔτι δῆλόν ἐστι, cum iam dirutum sit a Lacedaemoniis. Nam finito bello Thucydidem haec scripsisse in Vita eius docuimus. Cf. ad 2, 13 extr. 1, 1.

δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις. Scholiasta: ἀλλήλαις] ἢ ὑπαντῶσαι ἀλλήλαις, ἢ συνεζευγμέναι, διὰ τὰ μεγέθη τῶν λίθων. Sed cum ea vis, quam posteriore loco tribuit vocabulo ἐναντίος, non facile exemplis demonstrari possit, cumque Auctoris consilium sit, docere, quanta murorum fuerit latitudo: dubitari vix potest, quin sensus huius loci sit: duo currus, lapides advehentes, in ipso muro sibi obvios, sese evitare potuisse.

μολύβδῳ. Fluctuant codices inter μολύβδῳ et μολίβδῳ. — Paullo post pro ἐπιβολάς plerique codd. exhibent ἐπιβουλάς, quod tamquam mendosum Critici inde a Stephano repudiarunt. Sed cum haec lectio non ineptam fundat sententiam: Voluisse Themistoclem, ut ipsa altitudine et latitudine muri hostes deterreantur vel a *consilio* portum oppugnandi (si quidem ad ἐπιβολάς arcendas nulla non fieri solet munitio) haud scio an codicum auctoritatem sequi praestiterit. Nam in tot codices vitium irrepsisse, parum verisimile est, praesertim cum ii, qui ἐπιβολάς praebent, plerumque interpretamentis scateant, et ἐπιβολάς citius h. l. a correctore potuerit proficisci, quam ἐπιβουλάς. Ne Scholiastae quidem interpretatio (ἐπιθέσεις) firmat vulgatam lectionem, quippe quae etiam alteri conveniat, et interpretibus mutandi occasionem dare potuerit.

πόλεως, καὶ πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἤν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτὸν, ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν, καὶ τἄλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

94. Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου· ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ, καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος. Καὶ ἐστράτευσαν ἐς Κύπρον, καὶ αὐτῆς τὰ πολλὰ κατεστέψαντο· καὶ ὕστερον ἐς Βυζάντιον, Μήδων ἐχόντων, καὶ ἐξεπολιόρκησαν.

95. Ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ, οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο, καὶ οὐχ ἥκιστα οἱ Ἴωνες, καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους, ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενὲς, καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν, ἤν που βιάζηται. Οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε

94. Porro, duce Pauſania, communi expeditione in Cyprum, et poſtmodo Byzantium facta, captoque hoc oppido, 95. ſocii, imprimis Iones, Pauſaniae violentia

καὶ τἄλλα κατεσκευάζοντο. Nempe privata et publica aedificia, templa.

94. ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι. Haec magis ad antecedentia pertinent, quam ad ſequentia. Quamobrem interpunctionem correximus, minore poſita poſt Πελοποννήσου, maiore poſt πλῆθος. Eodem modo cap. 93 extr. ante verba τόν τε Πειραιᾶ punctum fiximus, et comma poſt πόλεως, ubi erat punctum.

95. ἐν τῇδε τῇ ἡγεμ. ἤδη βιαίου. Vulgo verba ἐν τῇδε τῇ ἡγεμονίᾳ praecedenti capiti adhaerent, et initio cap. 95. legitur Ἤδη δὲ καὶ βιαίου ὄντος αὐτοῦ. Sed cum in plerisque codd. omittatur καί, in Reg. etiam δέ, in Dan. ἤδη ſine diſtinctione poſt ἡγεμονίᾳ, cumque verba ἐν — ἡγεμονίᾳ aptius iungantur ſequentibus, quam antecedentibus: Stephani aliorumque rationem ſequutus ſum, qui ea cum hoc capite coniungenda eſſe cenſuerunt. Δέ natum ex ultima in ἤδη, occaſionem pravae interpunctionis dare potuit.

νεωστί. Partim Miltiadis opera a. Chr. 489, partim pugna Salaminia et Mycalenſi. Vid. ſupra c. 89 med.

ἡγεμόνας σφῶν γενέσθαι. Benedictus reponendum cenſet γίγνεσθαι, quod deteriores libri praebent, quia ſequatur ἐπιτρέπειν. Sed cum ſaepius diverſo-

τοὺς λόγους, καὶ προςεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι, τἄλλα τε καταστησόμενοι, ᾗ φαίνοιτο ἄριστα αὐτοῖς. Ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν, ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο. Καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἡ στρατηγία. Ξυνέβη τε αὐτῷ, καλεῖσθαί τε ἅμα, καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι, πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. Ἐλθὼν δὲ ἐς Λακεδαίμονα, τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν. Κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα Μηδισμὸς, καὶ ἐδόκει σαφέστατον εἶναι. Καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ, καὶ ἄλλους τινὰς μετ' αὐτοῦ, στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. Οἱ δὲ, αἰσθόμενοι, ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι, μὴ σφίσιν

laeſi, Athenienſibus imperium deferunt; reus factus

rum temporum infinitivi coniunguntur (v. Poppo obſſ. crit. p.150.) tum h. l. diverſa eſt ratio horum infinitivorum. Nam Iones poſtulabant ut Athenienſes, propter propinquitatem, in indefinitum belli tempus eſſent ipſorum duces, et ut Pauſaniam, qui tum imperium habebat ab iniuriis arcerent. Illud aoriſto tempore bene enunciatur. Duces ſemel conſtituti Athenienſes rogantur a ſociis, ne *permittant*. — Si Thucydides ſcripſiſſet: *ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενομένους, μὴ ἐπιτρέπειν*: nihil haud dubie Benedictum offendiſſet. — Eiusdem pretii eſt illius viri iudicium de verbis mox ſequentibus *προςεῖχον τὴν γνώμην*, ubi ex depravatis libris legit *τῇ γνώμῃ*. Infra 2, 11. *καὶ προςέχει τὴν γνώμην* 7, 23. *καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προςεχόντων*, ubi Schol. *τὸν νοῦν* explicationis cauſa appoſuit. Subaudiendum noſtro loco *αὐτοῖς*, nempe *τοῖς λόγοις*.

μίμησις ἡ στρατηγία. Iam Scholiaſta refert, ἡ alios interpretari per coniunctionem ἤ, alios per articulum ἡ. Hoc cum Bauero et Benedicto praetuli, quia alioqui ſubiectum huic loco aptum deſideratur. Saepius *μᾶλλον* ſimpliciter ponitur, non ſequente ἤ.

εὐθύνθη. Schol. *εὐθύνας ἔδωκε*, (non *δέδωκε*), *καὶ κατεδικάσθη*. Opponitur enim *ἀπολύεται*. Ceterum et h. l. tempora variant, ut ſaepe monuimus. cf. c. 128 med. — *τὰ μέγιστα* referendum ad *Μηδισμόν*. — Mox *σαφέστατον εἶναι* intl. *τὸ πρᾶγμα*.

οἱ ἐξιόντες χείρους γίγνωνται· (ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον) ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου, καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι, καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους.

96. *Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ, ἑκόντων τῶν ξυμμάχων, διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον, καὶ ἅς, ναῦς. Πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν ἔπαθον, δῃοῦντας τὴν βασιλέως χώραν. Καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. Ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς, τετρακόσια τάλαντα καὶ ἑξήκοντα· ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς, καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο.*

Paufanias domum arceffitur, fed abfolvitur iudicio. 96. Athenienfes autem tributorum et navium, quas finguli focii praebeant, rationem conftituunt, item quaefto-

96. *πρὸς τὸν βάρβαρον*, pro *κατὰ τοῦ βαρβάρου*, *adverfus*. Cf. c. 97 init. 98 med. cap. 100. *πεζομαχία — πρὸς Μήδους. — ὧν ἔπαθον*, pro *ἀντὶ (ὑπὲρ) ἐκείνων, ἃ ἔπαθον. — ἀμύνασθαι* cum Benedicto ex decem codd. repofuimus pro *ἀμύνεσθαι*. Nam infinitivus aorifti fine particula *ἂν* faepe pro futuri infinitivo ufurpatur. 1, 81 fin. *οὕτως εἰκὸς, Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι, μήτε — καταπλαγῆναι*. 1, 121. *κατὰ πολλὰ ἡμᾶς εἰκὸς ἐπικρατῆσαι*. 2, 3. *ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατῆσαι*. 3, 46. *τίνα οἴεσθε ἥντινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσασθαι* (vulgo *παρασκευάσεσθαι*). 4, 13. *ἐλπίζοντες τὸ τεῖχος — ἑλεῖν μηχαναῖς*. 4, 85. *οὐκ εἰκὸς νηΐτῃ γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι*. Cf. ad 1, 127.

ὁ πρῶτος φόρος ταχθείς. Hoc factum effe Ariftidis auctoritate et cura, conftat ex Diodoro, Plutarcho, Cornelio Nepote. Cf. Thucyd. 5, 18. Periclis temporibus tributum auctum eft ad 600 talenta (v. infra 2, 13 med. Plutarch. Ariftid. c. 24.) et aerarium Delo Athenas delatum. Solebant autem veteres thefauros cum privatos tum publicos in deorum templis deponere, ut horum religione fecuritas illis pararetur. *τὸ ἱερόν* eft Apollinis Delii.

καὶ αἱ ξύνοδοι ἐγίγνοντο. Adieci articulum *αἱ* cum Benedicto ex codd. bene multis. — *Τὰς ξυνόδους* refero ad legatos civitatum, tributa pariter atque confilia conferentes. Cf. c. 97. init. *ἀπὸ κοινῶν ξυνόδων βουλευόντων*.

97. Ἡγούμενοι δὲ αὐτονόμων τὸ πρῶτον τῶν ξυμμάχων, καὶ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων, τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς, καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας, καὶ Πελοποννησίων τοὺς ἀεὶ προστυγχάνοντας ἐν ἑκάστῳ. Ἔγραψα δὲ αὐτὰ, καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον, καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν, ἢ αὐτὰ τὰ Μηδικά· τούτων δὲ ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη· ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέστη.

98. Πρῶτον μὲν Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, Μήδων ἐχόντων, πολιορκίᾳ εἷλον, καὶ ἠνδραπόδισαν, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος· ἔπειτα Σκῦρον τὴν ἐν

res, et aerarium in Delo collocant. 97 — 99. Cum ea, quae inter hoc et Perſicum bellum ab Athenienſibus geſta ſunt, ab aliis auctoribus aut plane omiſſa, aut minus accurate tractata ſint, Thucydides ſingula breviter recenſet, cauſasque exponit, quare ſocii ab Athenienſibus

97. τοσάδε, ad ſequentem Auctoris expoſitionem ſpectat. — Paullo inferius ad verba ἐν ἑκάστῳ Scholiaſtae fluctuant, ſubaudientes πολέμῳ, ἢ χωρίῳ, ἢ χρόνῳ; potuiſſent adiicere πράγματι, νεωτερισμῷ, quod mihi aptiſſimum videtur, cum ex νεωτερίζειν hic aliquid ſit ſubaudiendum.

Ἑλλάνικος. Erat Lesbius vel Mitylenaeus, duodecim annis Herodoto maior. Scripſerat praeter alia Ἀτθίδα, ſive ξυγγραφὴν Ἀττικήν, a Marathonia inde pugna usque ad Thucydidis tempora. V. Harpocration v. Ἀλόπη. — τοῖς χρόνοις, i. e. κατὰ τοὺς χρόνους. — Ad ἔχει Kiſtemakerus intelligit ex praecedentibus τὸ χωρίον. Rectius fortaſſe ταῦτα ex τούτων intellexeris.

98. Ἠϊόνα. Haec urbs prope Amphipolin, quae prius Enneaodi vocabatur (cf. c. 100), ſita, eiusque portus erat. Alia eiusdem nominis civitas in Thracica Cherſoneſo erat. — ἔπειτα pro ἔπειτα δὲ poſt μέν. Cf. 1, 33. 115 extr. 121 init. 131 extr. 134. 2, 4 init. 86. 3, 4.

καὶ ᾤκισαν αὐτοί. Diod. Sic. XI, 60. Καὶ κτίστην Ἀθηναῖον καταστήσας, κατεκληρούχησε τὴν χώραν. Nepos Cim. 2. „Agros civibus diviſit.“ His locis Duckerus vulgatam lectionem tutatus eſt contra Stephanum, qui malebat ᾤκησαν.

τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν, καὶ ᾤκισαν αὐτοί. Πρὸς δὲ Καρυστίους αὐτοῖς, ἄνευ τῶν ἄλλων Εὐβοέων, πόλεμος ἐγένετο· καὶ χρόνῳ ξυνέβησαν καθ᾽ ὁμολογίαν. Ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν, καὶ πολιορκίᾳ παρεστήσαντο. Πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη· ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστῃ ξυνέβη.

99. Αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων, καὶ μέγισται, αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποστράτιον, εἴ τῳ ἐγένετο. Οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προςαγαγόντες τὰς ἀνάγκας. Ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεσράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προςάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους· ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι. Διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν στρατειῶν, οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ᾽ οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν. Καὶ τοῖς μὲν Ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης, ἣν ἐκεῖνοι ξυμφέροιειν, αὐτοὶ δέ, ὁπότε ἀποσταῖεν, ἀπαράσκευοι καὶ ἄποροι ἐς τὸν πόλεμον καθίσταντο.

100. Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ᾽ Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία

oppreſſi ſint, et potuerint opprimi. Primum Eïam captum, deinde Scyrus et Caryſtus, et Naxus, quae a ſocietate defecerat. 100. Duplex pugna apud Eurymedontem

πρὸς δὲ Καρυστίους. Eieci **καί**, quod vulgo ante *Καρυστίους* erat, quia codices tantum non omnes ignorabant. — *χρόνῳ ξυνέβησαν, καθ᾽ ὁμολ.* tandem pacem certis conditionibus fecerunt, int. Caryſtii.

99. *ἔκδειαι*, Rückſtände, neglectio mittendi tributa navesque. — Paullo poſt pro *προςάγοντες* recepimus cum Benedicto *προςαγαγόντες* e Reg. Aug. Caſſ. Baſ. Gr., quibus adſtipulantur quinque Pariſſ.

ἦσαν δέ πως — ἄρχοντες. Cum his verbis ad aliam ſententiam procedat, maiore diſtinctione ante *ἦσαν* utendum duxi. Hoc verbum cum *ἐν ἡδονῇ* coniungendum eſt, ne quis iungat *ἐν ἡδονῇ ἄρχοντες*.

Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος· καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς πάσας, ἐς διακοσίας. Χρόνῳ δὲ ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι, διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων, καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. Καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι, ναυμαχίᾳ ἐκράτησαν, καὶ ἐς τὴν γῆν ἀπέβησαν. Ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς, νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί· προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν, διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.

101. Θάσιοι δὲ νικηθέντες μάχαις, καὶ πολιορκούμενοι, Λακεδαιμονίους ἐπεκαλοῦντο, καὶ ἐπαμύνειν

(470 a Chr.); bellum cum Thasiis, 101. quibus cum

100. *ὡς οἰκιοῦντες.* Recte hanc lectionem defendit Gottleberus. Scholiasta quidem alterum *οἰκειοῦντες* ante oculos habuit, quam explicat: *οἰκειούμενοι, ἰδιοποιοῦντες.* Sed neque *οἰκειόω* hoc ſenſu (*vindicare ſibi*) uſurpat Thucydides, et infra 4, 102., ubi iterum hanc rem narrat, dicit *κατοικίσαι;* atque ibi addit, undetriceſimo anno poſt Athenienſes, Agnone coloniae duce, *κτίσαι τὸ χωρίον.* — Sed alia non levis difficultas ineſt in hoc loco. Cum enim Thucydides dixiſſet: *πέμψαντες (Ἀθηναῖοι) — ὡς οἰκιοῦντες*, pergit *τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν;* ubi *αὐτοί* non poteſt referri ad *πέμψαντες*, ſed ad illos *μυρίους οἰκήτορας* ſpectat, qui in coloniam miſſi erant. Cf. 4, 102. *ἐποίκους μυρίους — πέμψαντες, οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν.* Haec autem ratio poſcit, ut ſupra ſit genitivus abſolutus: *πεμψάντων.* Alia huius generis anacolutha Poppo l. c. p. 197. collegit. —

ἃς εἶχον Ἠδωνοί. Ita quidem h. l. ſcribitur, ſed 4, 109. *Ἤδωνες*, 4, 102. *Ἠδώνων* et *Ἤδωνας*, 2, 99. *Ἠδῶνας.* Non veriſimile eſt, iſtam inconſtantiam ad Thucydidem pertinere. Is haud dubie ubique ſcripſit *Ἤδωνες*, non *Ἠδωνοί* aut *Ἠδῶνες*, licet Diodor. Sic. illud ſequatur. Vid not. ſeq. Variae lectiones ad 4, 102. 109. noſtram rationem firmant.

ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων. Haec eſt codicum omnium lectio, praeterquam quod Valla, qui vertit: „apud Drabeſcum Edonicam *omnes* ſunt interem-

ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. Οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων, καὶ ἔμελλον, διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθεεῖς ἐς Ἰθώμην ἀπέστησαν. Πλεῖστοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων, τότε δουλωθέντων, ἀπόγονοι· ᾗ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. Πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις. Θάσιοι δὲ, τρίτῳ ἔτει πολιορκούμενοι, ὡμολόγησαν Ἀθηναίοις, τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρήματά τε, ὅσα ἔδει ἀποδοῦναι αὐτίκα, ταξάμενοι, καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.

102. Λακεδαιμόνιοι δὲ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους, καὶ Ἀθηναίους. Οἱ δ' ἦλθον, Κίμωνος στρατηγοῦντος, πλήθει οὐκ ὀλίγῳ. Μάλιστα δ' αὐτοὺς

auxilium clam promiſiſſent Lacedaemonii, et terrae motu et ſeditione Helotum impediuntur. 102. Quo quidem in bello, cum Ithomen expugnare non poſſent, Athenienſes in auxilium vocati, duce Cimone, ſuccurrunt. At illi,

pti" legiſſe videtur ξύμπαντες. Etiam Diodorus XI, 70. ita rem narrat: συνέβη πάντας τοὺς εἰσβαλόντας ἐς τὴν χώραν τῶν Θρᾳκῶν ὑπὸ τῶν Ἠδωνῶν καλουμένων διαφθαρῆναι. Itaque iam olim Heilmannus ξυστάντων legendum eſſe coniecerat; et nuper Poppo a codicum ſcriptura hoc in loco diſcedendum eſſe cenſuit, addito etiam hoc argumento, ξύμπαντες in ξυμπάντων tranſiiſſe videri, quia pronomen relativum ſtatim curſus ad Thraces refertur. Sane neque ad ſententiae vim quicquam facit ξυμπάντων, neque veriſimile eſt, omnes Thraces ſtatim conveniſſe; et infra 4, 102. ſimpliciter dicit: οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. Itaque ſi vel unius probati codicis auctoritas accederet, ξύμπαντες reponerem. — ἐν Δραβήσκῳ, ut infra c. 113. ἐν Κορωνείᾳ. Saepe enim ἐν ſignificat τὴν περίχωρον.

101. Θουριᾶταί τε καὶ Αἰθεεῖς. Bredovius coniecit legendum eſſe Θυρεᾶταί τε καὶ Αἰθαιεῖς; alterum ſine idonea cauſa, cum Thuria Meſſeniae oppidum etiam a Strabone lib. VIII. memoretur; alterum probabiliter: nam Αἰθαία urbs Laconicae memoratur a Stephano Byz. De Thyrea v. 2, 27. 4, 56. — Paullo ante poſt σεισμοῦ punctum mutavi in comma.

τότε δουλωθέντων. Stephanus malebat πότε. Sed τότε ſpectat ad παλαιῶν, atque ita tempus diſtinctius deſignat.

ἐπεκαλέσαντο, ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι. Τῆς δὲ πολιορκίας μακρᾶς καθεστηκυίας, τούτου ἐνδεᾶ ἐφαίνετο· βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. Καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. Οἱ γὰρ Λακεδαιμόνιοι ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιΐαν, καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι, μή τι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν, τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δέ, ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι. Οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου· καὶ δεινὸν ποιησάμενοι, καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς, Ἀργείοις, τοῖς ἐκείνων πολεμίοις, ξύμμαχοι ἐγένοντο· καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη.

103. Οἱ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς Λακεδαιμο-

ſuſpicione ducti, Athenienſes, oppido nondum capto, dimittunt; quod hi moleſte ferentes, et cum Argivis ſtatim ſocietatem inierunt, et, 103. cum Ithome ita ſe

102. τῆς δὲ πολιορκίας. In multis codd. haec lectio reperitur, pro qua vulgo editur τοῖς δὲ, πολιορκίας μακρᾶς. — Sed primum articulus hoc loco neceſſarius eſt, deinde τοῖς δὲ referendum eſſet ad Lacedaemonios, cum proxime de Athenienſibus ſermo fuiſſet. Accedit corruptionis cauſa probabilis et tantum non manifeſta. Ergo codicum auctoritatem ſequi non dubitavi. — τούτου ἐνδεᾶ, int. τὰ (πράγματα) αὐτῶν. Non par erat Athenienſium peritia artis poliorceticae exſpectationi Lacedaemoniorum. Neutro ſaepe utitur indefinite et ſine ſubſtantivo Thucydides, (cf. ad cap. 97.) ubi aliquid vel ex praecedentibus, vel ἀπὸ κοινοῦ ſubaudiendum. — βίᾳ γὰρ ἂν εἷλον, propter antecedentia, tantum ad Athenienſes pertinet, non ad Lacedaemonios ceterosque ſocios, et rationem continet, cur Lacedaemonii ſuam de Athenienſium oppugnandi peritia opinionem mutarint. βίᾳ, vi, impetu, non ἀπορίᾳ, λίμῳ, quibus rebus alias ſolent expugnari urbes, quae vi capi nequeunt.

ἀλλοφύλους. Athenienſes enim erant Iones, Spartani Do-

νίους, ἐφ' ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι, καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον. Ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν προτοῦ, τὸν ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμήτα ἀφιέναι. Ἐξῆλθον δὲ αὐτοὶ, καὶ παῖδες, καὶ γυναῖκες. Καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατ' ἔχθος ἤδη τὸ Λακεδαιμονίων, ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ᾑρηκότες νεωστὶ, Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων. Προσεχώρησαν δὲ καὶ Μεγαρεῖς Ἀθηναίοις ἐς ξυμμαχίαν, Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον. Καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγάς· καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν, καὶ ἐφρούρουν αὐτοί. Καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

104. Ἰνάρως δὲ ὁ Ψαμμητίχου, Λίβυς, βασιλεὺς Λιβύων τῶν πρὸς Αἰγύπτῳ, ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου πόλεως, ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρταξέρξου· καὶ αὐτὸς ἄρχων γενόμενος,

dedidiſſet, ut Meſſeniis liceret discedere, Naupactum his habitandam tradiderunt. Megarenſes quoque ad Athenienſes transierunt. 104. Circa illud tempus Athenienſium claſſis, quae adverſus Cyprum miſſa erat, ab Inaro,

res. — Mox ἐπὶ τῷ βελτίονι λόγῳ i. e. προφάσει. ἀμφοτέροις Athenienſibus et Argivis.

103. ἐφ' ᾧ τε ἐξίασι, ea conditione, ut exirent. Infra c. 113. ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. c. 126. ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν.

τοῦ Ἰθωμήτα. Haud dubie vere coniecit Duckerus, Thucydidem ſcripſiſſe Ἰθωμάτα, ne extrema ſolum ſyllaba dorice efferatur, ſed etiam proxima.

Μεγαρεῖς. Ita non ſolum h. l., ubi undecim codd. adſtipulantur, ſed etiam alibi, ubi maior pars Μεγαρῆς obtinet, edidimus hoc nomen, eam rationem ſecuti, quam propoſuimus ſupra ad c. 27.

Πηγάς. Emporium erat prope Megara, ad ſinum Corinthiacum. Niſaea autem portus Megarenſium, ad Saronicum ſinum ſita. Cf. 4, 66. 2, 93.

104. ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου. Stephanus Byz. *Maream* dicit eſſe urbem et portum Alexandriae adiacentem. Pharus eſt parva inſula ante Alexandriam.

Ἀθηναίους ἐπηγάγετο. Οἱ δὲ (ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων) ἦλθον, ἀπολιπόντες τὴν Κύπρον· καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες, καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν, πρὸς τὸ τρίτον μέρος, ὃ καλεῖται Λευκὸν τεῖχος, ἐπολέμουν. Ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες, καὶ Αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

105. Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιάς, πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο· καὶ ἐνίκων Κορίνθιοι. Καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσί· καὶ ἐνίκων Ἀθηναῖοι. Πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις, μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ᾽ Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν· καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν. Καὶ ἐνίκων Ἀθηναῖοι, καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν, ἐς τὴν γῆν ἀπέβησαν, καὶ ἐπολιόρκουν, Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. Ἔπειτα Πελοποννήσιοι ἀμύνειν βουλόμενοι Αἰγινήταις, ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας, πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους, διεβίβασαν, τὰ δὲ ἄκρα τῆς Γερανείας κατέλαβον· καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι μετὰ τῶν ξυμ-

Libyae rege, in auxilium Aegyptiorum accita, Nilum occupat et duas Memphidis partes capit. 105. Apud Halias victi ab Corinthiis et Epidauriis Athenienſes, apud Cecryphaleam vincunt Peloponneſios. Bellum cum Aeginetis, in quo, acri pugna navali commiſſa, Athenienſes

105. *Ἁλιάς.* Halia vel Halies oppidum Argolidis prope Hermionen, et portus. Cf. 2, 56. Pauſaniae temporibus iam deſerta erat. — *Κεκρυφαλείᾳ.* Secundum Scholiaſtam (cf. Plinium Hiſt. Nat. IV, 12 init.) inſula erat ad occidentalem Peloponneſi oram ſita. Danvillius eam neſcio qua auctoritate inter Epidaurum et Aeginam collocat.

πρότερον Κορινθίων — ἐπικούρους. Haec verba commatibus ſeparavi, ut in appoſitione, quae vocatur, fieri neceſſe eſt. Cf. ſupra init. cap. — Mons *Γεράνεια* in iſthmo Corinthiaco per Megaridem trahitur. Vid. c. 107.

μάχων, νομίζοντες, ἀδυνάτους ἔσεσθαι Ἀθηναίους βοηθεῖν τοῖς Μεγαρεῦσιν, ἔν τε Αἰγίνῃ ἀπούσης στρατιᾶς πολλῆς, καὶ ἐν Αἰγύπτῳ· ἢν δὲ καὶ βοηθῶσιν, ἀπ' Αἰγίνης ἀναστήσεσθαι αὐτούς. Οἱ δὲ Ἀθηναῖοι τὸ μὲν πρὸς Αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν, τῶν δ' ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι ἀφικνοῦνται ἐς τὰ Μέγαρα, Μυρωνίδου στρατηγοῦντος· καὶ μάχης γενομένης ἰσοῤῥόπου πρὸς Κορινθίους, διεκρίθησαν ἀπ' ἀλλήλων, καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον ἔχειν ἐν τῷ ἔργῳ. Καὶ οἱ μὲν Ἀθηναῖοι (ἐκράτησαν γὰρ ὅμως μᾶλλον), ἀπελθόντων τῶν Κορινθίων, τροπαῖον ἔστησαν· οἱ δὲ Κορίνθιοι, κακιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων, καὶ παρασκευασάμενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα, ἐλθόντες ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ, ὡς νικήσαντες. Καὶ οἱ Ἀθηναῖοι ἐκβοηθήσαντες ἐκ τῶν Μεγάρων, τούς τε τὸ τροπαῖον ἱστάντας διαφθείρουσι, καὶ τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν.

106. Οἱ δὲ, νικώμενοι ὑπεχώρουν, καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσβιασθὲν, καὶ διαμαρτὸν τῆς ὁδοῦ, ἐσέπεσεν ἔς του χωρίον ἰδιώτου, ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον, καὶ οὐκ ἦν ἔξοδος. Οἱ δὲ Ἀθηναῖοι γνόντες, κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις, καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς, κατέλευσαν πάντας τοὺς εἰσελθόντας· καὶ πάθος μέγα τοῦτο [τοῖς] Κορινθίοις ἐγένετο, τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου.

victores in inſulam deſcendunt et urbem obſident. Corinthii, ut eos avertant, et ſubſidia mittunt Aeginetis, et Megaridem invadunt; ſed a ſenioribus, qui Athenis duce Myronida occurrunt, his repelluntur, 106. et pars eorum intercepta interimitur.

ἐν τῇ πόλει, Κορίνθῳ. Mox ἐκβοηθήσαντες dedimus novem codicum auctoritate, pro ἐκβοήσαντες. Cf. Benedict. Mirum eſt, quare editores Thucydidis aperta vitia tamdiu propagarint.

106. τοῖς Κορινθίοις. Articulum, quia in ſeptem prae-

107. Ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη Ἀθηναῖοι ἐς θάλασσαν οἰκοδομεῖν, τό, τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ. Καὶ Φωκέων στρατευσάντων ἐς Δωριᾶς, τὴν Λακεδαιμονίων μητρόπολιν, Βοιὸν, καὶ Κυτίνιον, καὶ Ἐρινεὸν, καὶ ἑλόντων ἓν τῶν πολισμάτων τούτων, οἱ Λακεδαιμόνιοι, Νικομήδους τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως. νέου ὄντος ἔτι, ἡγουμένου, ἐβοήθησαν τοῖς Δωριεῦσιν, ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις, καὶ τῶν ξυμμάχων μυρίοις· καὶ τοὺς Φωκέας ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν, ἀπεχώρουν πάλιν." Καὶ κατὰ θάλασσαν μὲν αὐτοὺς διὰ τοῦ Κρισσαίου κόλπου εἰ βούλοιντο περαιοῦσθαι, Ἀθηναῖοι ναυσὶ περιπλεύσαντες ἔμελλον κωλύσειν· διὰ δὲ τῆς Γερανείας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς, Ἀθηναίων ἐχόντων Μέγαρα καὶ Πηγὰς, πορεύεσθαι. δύσοδός τε γὰρ ἡ Γεράνεια, καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ Ἀθηναίων· καὶ τότε ᾐσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν. Ἔδοξε δ' αὐτοῖς ἐν Βοιωτοῖς περιμείνασι σκέψασθαι, ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται· τὸ δέ τι καὶ ἄνδρες τῶν Ἀθηναίων ἐπῆγον αὐτοὺς κρύ-

107. Cum Spartani circa idem tempus Dorienſibus contra Phocenſes opem tuliſſent, redeuntibus vias intercludunt Athenienſes una cum Argivis aliisque ſociorum, etiam

ſtantioribus libris omittitur, uncis incluſi.

107. *Ἀθηναῖοι ἐς θάλασσαν.* Codd. Reg. Caſſ. Aug. Baſ. ordinem verborum invertunt sic: *ἐς θάλασσαν Ἀθηναῖοι οἰκοδομεῖν.*

ἐς Δωριᾶς. Doricam Tetrapolin conſtituebant Pindus, Boium, Cytinium et Erineum. Pindus hoc loco non memoratur a Thucydide, qui non niſi Lacedaemoniorum *μητρόπολιν* nominare volebat, quam facit Tripolin, Boium, Cytinium et Erineum. *Δωριᾶς* meliores codd. praebent cum Scholiaſta. Olim legebatur *Δωριάς*. Atticam craſin eſſe docent interpretes pro *Δωριέας*, ut *Πλαταιᾶς*, et *Ἑστιαιᾶς* c. 114. a *Δωριεύς*. Cf. 3, 92. *Δωριεῖς, ἡ μητρόπολις τῶν Λακεδαιμονίων.*

ὑπὲρ Πλειστοάνακτος — βασιλέως. Pauſanias non rex, ſed tutor fuerat regis Pliſtarchi, qui cum vixdum annos pubertatis et regnum conſequutus diem obiiſſet, ſucceſſorem habuit Pliſtoanactem, Pauſaniae filium. Cf. 1, 114. 132.

τὸ δέ τι καὶ ἄνδρες — ἐπῆγον. Ex uno cod. Benedictus

φα, ἐλπίσαντες δῆμόν τε καταπαύσειν, καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. Ἐβοήθησαν δὲ ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι πανδημεὶ, καὶ Ἀργείων χίλιοι, καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι· ξύμπαντες δὲ ἐγένοντο τετρακισχίλιοι καὶ μύριοι. Νομίσαντες δὲ ἀπορεῖν, ὅπη διέλθωσιν, ἐπεστράτευσαν αὐτοῖς, καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψίᾳ. Ἦλθον δὲ καὶ Θεσσαλῶν ἱππεῖς τοῖς Ἀθηναίοις κατὰ τὸ ξυμμαχικὸν, οἳ μετέστησαν ἐν τῷ ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους.

108. Γενομένης δὲ μάχης ἐν Τανάγρᾳ τῆς Βοιωτίας, ἐνίκων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ φόνος ἐγένετο ἀμφοτέρων πολύς. Καὶ Λακεδαιμόνιοι μὲν, ἐς τὴν Μεγαρίδα ἐλθόντες, καὶ δενδροτομήσαντες, πάλιν ἀπῆλθον ἐπ' οἴκου διὰ Γερανείας καὶ ἰσθμοῦ· Ἀθηναῖοι

Theſſalis, qui tamen in ipſa pugnae contentione ad Lacedaemonios transierunt. 108. Itaque pugna ad Tanagram (458 a Chr.) commiſſa, vincunt Lacedaemonii domumque revertuntur. Athenienſes autem duobus et ſexaginta diebus poſt denuo in Boeotiam invadunt, duce Myronida, et Boeotis proelio victis, terra eorum et Phocenſium potiuntur, et a Locris Opuntiis obſides impetrant ditiſſimos cives. His peractis muros longos perficiunt,

recipere audet depravatum τὸ δ' ἔτι, quod etiam infra c. 118. reponendum cenſet, ubi nulla prorſus varietas notatur. Sed per ſe refellitur iſta coniectura. Nam ἔτι nihil aliud ſignificat, niſi quod καί. — Idem paullo inferius bene coniecit legendum eſſe ὑποψίᾳ, pro ὑποψία ἦν, cum hoc verbum codices plerique omnes et editiones ignorarent. Sed cum h. l. recte τοῦ δήμου legatur, mireris, cur ſupra fuerit δῆμόν τε καταπαύσειν, omiſſo articulo, qui vix abeſſe poſſe videatur. Sed ſaepe articulus omittitur, maxime poſt τέ — καί. Cf. c. 101 extr. τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες. c. 108. τείχη τε περιελόντες, καὶ ναῦς παραδόντες. c. 117 extr. eadem verba repetuntur. Sed apud Diodorum in loco parallelo XII, 28 extr. articulus ſingulis nominibus additus eſt. 1, 120 extr. ἐνθυμεῖται οὐδεὶς ὅμοια τῇ πίστει, καὶ ἔργῳ ἐπεξέρχεται. 2, 5. διὰ ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου, niſi forte ibi τοῦ excidit propter ultimam in ἀπροσδοκήτου. Cf. 1, 10. οὔτε ξυνοικισθείσης πόλεως. 2, 21. in verbis τῆς γῆς τεμνομένης ſedecim quidem codd. articulum omittunt, ubi tamen neceſſarius eſt. Adde 4, 10. ἐν γῇ στρατός. Ceterum δῆμος h. l. eſt pro δημοκρατία, cuius obtrectatores et proditores erant illi, qui ad Lacedaemonios acceſſerant.

δὲ δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς, Μυρωνίδου στρατηγοῦντος, καὶ μάχῃ ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες, τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος, καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον, καὶ Λοκρῶν τῶν Ὀπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον. Τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἐπετέλεσαν. Ὡμολόγησαν δὲ καὶ [οἱ] Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθηναίοις, τείχη τε περιελόντες, καὶ ναῦς παραδόντες, φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. Καὶ Πελοπόννησον περιέπλευσαν Ἀθηναῖοι, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος· καὶ τὸ νεώριον τῶν Λακεδαιμονίων ἐνέπρησαν, καὶ Χαλκίδα Κορινθίων πόλιν εἷλον, καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

109. Οἱ δὲ ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἔτι ἐπέμενον, καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων

Aeginetisque petentibus pacem concedunt duris conditionibus. Et Peloponnesum, duce Tolmida, circumnavigantes, non solum Lacedaemoniis, sed etiam Corinthiis et Sicyoniis damna inferunt. 109. Megabazus a rege missus

108. *Ταναγραίων τὸ τεῖχος περιεῖλον*, i. e. καθεῖλον, demoliti sunt. Gottleberus allegat Platonis locos Alcib. I. c. 8. et Menex. c. 13. et contendit, non post, sed ante proelium ad Oenophyta, (quod alterum sive posterius ex *duobus* ad Tanagram commissis proeliis fuit, in quibus Athenienses duce Myronide vicerunt) Tanagram ab Atheniensibus expugnatam esse. Ergo Thucydidis narratio vera quidem sed minus distincta et brevior est, quippe qui unam tantum pugnam memoret, haud dubie potiorem.

ἐπετέλεσαν. Ita scripsi cum Benedicto, codd. iubentibus, pro ἀπετέλεσαν. Mox οἱ inclusi ante Αἰγινῆται, et iterum c. 109. ante Ἀθηναῖοι, cum a melioris notae libris non agnoscatur.

καὶ Χαλκίδα Κορινθίων πόλιν. Plures erant Chalcides, una Thraciae, altera Euboeae, tertia Siciliae, quarta Aetoliae, quae hic intelligenda. V. 2, 83.

109. *ἔτι ἐπέμενον*. Sine causa Benedictus vocem ἔτι delet, tamquam cassam. Nam vim suam habet, *etiamnum*, *adhuc*. Rectius inferius *καὶ* ante verba ἀπ' Αἰγύπτου ἀγάγοι eiecit, codicibus plurimis iubentibus, et vera ratione postulante. Non enim praeterea aliunde dimoti Athenienses antea dicti sunt.

πολλαὶ ἰδέαι πολέμων. Varia bellandi genera, varii casus. Quorum enarratio apud Diodorum Sic. XI, 77. non discre-

κατέστησαν. Τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς Αἰγύπτου [οἱ] Ἀθηναῖοι. Καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον, ἄνδρα Πέρσην, χρήματα ἔχοντα, ὅπως, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πελοποννησίων, ἀπ' Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. Ὡς δὲ αὐτῷ οὐ προὐχώρει, καὶ τὰ χρήματα ἄλλως ἀναλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἀνεκομίσθη, Μεγάβαζον δὲ τὸν Ζωπύρου πέμπει, ἄνδρα Πέρσην, μετὰ στρατιᾶς πολλῆς· ὃς, ἀφικόμενος κατὰ γῆν, τοὺς Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε, καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας, καὶ τέλος ἐς Προσωπίτιδα τὴν νῆσον κατέκλεισε· καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ ἓξ μῆνας, μέχρις οὗ ξηράνας τὴν διώρυχα, καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ, τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε, καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον· καὶ διαβὰς εἷλε τὴν νῆσον πεζῇ.

Spartam cum magna pecunia, cum fruſtra Lacedaemonios tentaſſet, rediit. Aegyptus autem ab alio Megabazo, qui validum exercitum adducebat, Athenienſibus ita erepta eſt,

pat ab hac Thucydidea, niſi in hoc, quod, *pace a Perſis oblata*, Athenienſes incolumes Cyrenen, indeque in patriam perveniſſe traduntur; cum Thucydides paullo poſt c. 110. narret, paucos admodum Cyrenen evaſiſſe. Sed Diodorus non tam discrepat a Thucydide, quam luculentius et copioſius rem enarrat, etiam aliis praeter Noſtrum auctoribus uſus. Quod autem Nicolaus Syracuſanus in oratione apud Diod. XIII, 25. trecentas naves cum ipſis hominibus in hac expeditione interiiſſe dicit, cum ducentas Thucydides Cypro advectas ſupra c. 104. et quinquaginta ſubmiſſas c. 110. narraverit; oratori haec discrepantia tribuenda.

βασιλεύς, Artaxerxes Longimanus.

ἀνεκομίσθη. Sex codd. habent *ἐκομίσθη*. Sed duae litterae excidere poterant aut propter ultimam praecedentis nominis ſyllabam, aut quia *πάλιν* anteceſſerat. Quamquam hunc pleonasmum Thucydidi eſſe familiarem, alibi monuimus. Vid. ad 1, 25.

τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμ. Codicum auctoritate *τέ* ieci. Ita ſaepe Thucydides loquitur, cum unam tantum partem ſignificat. Cap. 100. *Ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων*. Ibid. *αὐτῶν καὶ τῶν ξυμμάχων*. Contra c. 112. *αὐτῶν τε καὶ ξυμμ.* Sed c. 110 extr. plurimorum codicum auctoritate *τέ* poſt *Ἀθηναίων* omittendum eſt. — Paullo inferius pro *μῆνας ἕξ* inverſo ordine ſcripſi *ἓξ μῆνας*, codices ſecutus, qui h. l. in *μέχρις* conſpirant. Vid. ad 4, 4.

110. Οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη, ἓξ ἔτη πολεμήσαντα· καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς Λιβύης, ἐς Κυρήνην ἐσώθησαν, οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλεῖ ἐγένετο, πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Ἰνάρως δὲ ὁ Λιβύων βασιλεὺς, ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθεὶς, ἀνεσταυρώθη. Ἐκ δὲ τῶν Ἀθηναίων καὶ τῆς ἄλλης ξυμμαχίδος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον, ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. Καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ, καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν, διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δ' ἐλάσσους διέφυγον πάλιν. Τὰ μὲν κατὰ τὴν μεγάλην στρατείαν Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.

111. Ἐκ δὲ Θεσσαλίας Ὀρέστης ὁ Ἐχεκρατίδου

110. ut pauci admodum Cyrenen evaderent. Inarus proditione captus et cruciatus. Amyrtaeus in paludibus remanet. Alia Athenienſium claſſis, illi ſubmiſſa, quod eius fortunam ignorabat, maximam partem a Phoenicibus deletur. 111. Athenienſes, ut Oreſtem Pharſalum

110. ἓξ ἔτη πολεμήσαντα. Huius hypallages duritiem (πράγματα πολεμήσαντα) notarunt interpretes. Neque tamen cum Stephano ſine librorum adiumento ſcribendum eſt πολεμησάντων. — ἐσώθησαν dedi pro διεσώθησαν, quam gloſſam eſſe arguit meliorum librorum ſcriptura. Etiam apud Diodorum in loco parallelo XI, 77. eſt ἐσώθησαν. — Mox pro ὑπὸ βασιλεῖ, quod mediocri ſane librorum auctoritate fulcitur, aliis βασιλέως, aliis βασιλέα exhibentibus, Benedictus ὑπὸ βασιλέα legendum cenſet.

ἐν τοῖς ἕλεσι. Regio erat inferioris Aegypti, incluſa Bolbitino et Sebennytico oſtiis.

ὁ Λιβύων βασ. Vulgo legitur ὁ τῶν Λιβύων, contra codd.

ἔσχον κατὰ τὸ Μενδήσιον κ. i. e. προσέσχον, προσωρμίσαντο. — κέρας h. l. de Nili oſtio Mendeſio accipit Scholiaſta; parum accurate, cum intelligendum ſit cornu illud Aegypti, longe in mare procurrens, per quod Mendeſium oſtium patet. — οὐκ εἰδότες, per ſyneſin refertur ad ναύτας, cum praeceſſerit τριήρεις.

υἱὸς τοῦ Θεσσαλῶν βασιλέως, φεύγων, ἔπεισεν Ἀθηναίους ἑαυτὸν κατάγειν. Καὶ παραλαβόντες Βοιωτοὺς καὶ Φωκέας, ὄντας ξυμμάχους, Ἀθηναῖοι, ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον· καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων, (οἱ γὰρ ἱππεῖς τῶν Θεσσαλῶν εἶργον) τὴν δὲ πόλιν οὐχ εἷλον, οὐδ' ἄλλο προὐχώρει αὐτοῖς οὐδὲν, ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν, Ὀρέστην ἔχοντες, ἄπρακτοι. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον χίλιοι Ἀθηναίων, ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες, (εἶχον δ' αὐτοὶ τὰς Πηγὰς) παρέπλευσαν ἐς Σικυῶνα, Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος· καὶ ἀποβάντες Σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. Καὶ εὐθὺς παραλαβόντες Ἀχαιοὺς, καὶ διαπλεύσαντες πέραν, τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν, καὶ ἐπολιόρκουν· οὐ μέντοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ' οἴκου.

112. Ὕστερον δὲ, διαλιπόντων ἐτῶν τριῶν, σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Ἀθηναίοις πενταετεῖς.

reducant, cum Boeotis et Phocenſibus, ſociis ſuis, Pharſalum contendunt, ſed re infecta revertuntur. Fruſtra item, Pericle duce, Oeniadas obſident, poſtquam, Sicyoniis devictis, Achaiam ſibi conciliaverant. 112. Triennio poſt inter Peloponneſios et Athenienſes pax in quinque annos conſtituitur. Cimonis expeditio in Cyprum ducentis navibus, quarum ſexaginta Amyrtaeo petenti in Aegyptum mittit; reliquis Citium oppugnat. Sed Cimone mortuo, fame urgente, recedunt ab oppido, et e regione

111. **τοῦ Θεσσαλῶν βασιλέως.** Non uni regi, quantum ſcimus, umquam parebat omnis Theſſalia, ſed ſinguli erant principes et tyranni ſingularum huius provinciae civitatum. Cf. ad 4, 78. Etiam Herodotus (7, 6) Alcuades reges Theſſaliae dicit. Oreſtes igitur, de quo h. l. Thucydides loquitur, Theſſalorum Pharſalum incolentium rex videtur fuiſſe, cum Pharſalum eius reſtituendi cauſa invaderent Athenienſes. Theſſalorum hiſtoria perobſcura eſt. Videntur principes et civitates Theſſaliae de quibusdam rebus commune conſilium adhibuiſſe, atque ita unum quaſi populum conſtituiſſe. Vide infra l. c. — Ante *Βοιωτοὺς* articulum *τοὺς* eiici iubent codices; item *οἱ* ante *Ἀθηναῖοι*.

ἐς Οἰνιάδας. Oeniadae oppidum Acarnaniae, in littore ſitum et in confiniis Aetoliae, ad laevam Acheloi ripam.

Καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὑτῶν τε καὶ τῶν ξυμμάχων, Κίμωνος στρατηγοῦντος. Καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος, τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνος δὲ ἀποθανόντος, καὶ λιμοῦ γενομένου, ἀπεχώρησαν ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ, Φοίνιξι καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα, ἀπεχώρησαν ἐπ' οἴκου, καὶ αἱ ἐξ Αἰγύπτου νῆες πάλιν, αἱ ἐλθοῦσαι μετ' αὐτῶν. Λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν· καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ, παρέδοσαν Δελφοῖς. Καὶ αὖθις ὕστερον Ἀθηναῖοι,

Salaminis Phoenices et Cilices ſuperant pugna navali et pedeſtri. Interea Lacedaemonii ſacrum bellum gerunt, Delphisque tradunt Apollinis templum; Athenienſes vero

112. *καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον.* Simplex ἔσχον h. l. pro compoſito ἐπέσχον, ut c. 110. ἔσχον pro πρόσεσχον. Sed ſubaudiendum eſt ἑαυτοὺς, quia neutraliter dictum eſt pro ἐπέσχοντο.

Κίμωνος δὲ ἀποθανόντος. Diodorus XII, 4. poſt geminam pugnam, alteram mari, terra alteram, et pace cum Perſarum rege facta, Cimonem in Cypro morbo mortuum eſſe ſcribit. Sed non ſolum in hoc, ſed in aliis etiam permultis eius narratio a Thucydide discrepat. Primum enim Citium dicit expugnatum, et deinceps pugnas illas apud Cyprum et in Cilicia commiſſas Cimone duce, tum Cyprum reverſos Graecos oppida inſulae recepiſſe, praeter Salaminem, hanc vero, Cimone ſuadente, oppugnatam eſſe; interea regem de componenda pace egiſſe, et Athenis ſubmiſſos Cyprum legatos nobiliſſimam illam pacem feciſſe, quam vulgo Cimoni tribuunt. Tum demum victores Cypro domum rediiſſe; prius autem Cimonem in Cypro vita defunctum. — Ut alia omittam, de pace ne verbum quidem Thucydides. Itaque noſtris temporibus non immerito dubitatum eſt de veritate huius relationis, cuius fidem teſtimonio ſuo non firmaret graviſſimus et diligentiſſimus auctor, illi aetati paene ſuppar, qui numquam neglexit τὰ ἀποβαίνοντα memoriae prodere.

Φοίνιξι καὶ Κίλιξιν. Verba *καὶ Κυπρίοις*, quae vulgo poſt Φοίνιξι leguntur, cum Benedicto eieci. Abſunt enim a novem codd. iisque praeſtantioribus, et omittuntur a Valla; ne Diodorus quidem XII, 3. Cyprios memorat, ſed Phoenices tantum et Cilices.

ἀποχωρησάντων αὐτῶν, στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσι.

113. Καὶ χρόνου ἐγγενομένου μετὰ ταῦτα, Ἀθηναῖοι, Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χαιρώνειαν, καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας, ἐστράτευσαν, ἑαυτῶν μὲν χιλίοις ὁπλίταις, τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις, ἐπὶ τὰ χωρία ταῦτα, πολέμια ὄντα, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος· καὶ Χαιρώνειαν ἑλόντες [καὶ ἀνδραποδίσαντες], ἀπεχώρουν, φυλακὴν καταστήσαντες. Πορευομένοις δὲ αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵ τε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν, καὶ Λοκροὶ μετ' αὐτῶν, καὶ Εὐβοέων φυγάδες, καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες, τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων, τοὺς δὲ, ζῶντας ἔλαβον. Καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες, καὶ οἱ ἄλλοι πάντες, αὐτόνομοι πάλιν ἐγένοντο.

114. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια

poftea Phocenfibus mandant. 113. Nec multo poft Athenienfes adverfus Boeotos exfules, Orchomenum et Chaeroneam tenentes, expeditionem faciunt, duce Tolmida. Expugnata Chaeronea, cum domum revertuntur, apud Coroneam ab illis, qui Orchomenum tenebant, aliisque idem fentientibus profligantur, et partim caeduntur, partim capiuntur vivi. Qua calamitate accepta Athenienfes Boeotiam omnem reliquerunt, fponfione facta, ut homines (vel captos, vel in oppidis, veluti Chaeroneae, relictos) reducere liceret. Boeoti exfules reverfi funt, et reliqui omnes (illius tractus) populi (Boeoti, Locri, Phocenfes) libertatem rurfus nacti. 114. Euboea ab Athenienfibus

113. *χρόνου ἐγγενομένου μετὰ ταῦτα.* Comma, quod erat poft *ἐγγενομένου*, migrare iuffi poft *ταῦτα*. — Paullo inferius verba *καὶ ἀνδραποδίσαντες* codd. Gr. Cl. Caff. Aug. Reg. cum tribus Pariff. et Valla ignorant, in Caff. tamen etiam verba *ἀπεχώρουν φυλακὴν καταστήσαντες* a prima manu neglecta erant.

ἐν Κορωνείᾳ. Vid. ad c. 100. Paufanias ad Haliartum, Xenophon (Mem. 3, 4.) ad Lebadiam

ἀπέστη ἀπὸ Ἀθηναίων· καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ, ὅτι Μέγαρα ἀφέστηκε, καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβάλλειν ἐς τὴν Ἀττικήν· καὶ οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων, πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον· ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους, ἀπέστησαν οἱ Μεγαρεῖς. Ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς Εὐβοίας. Καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε ἐσβαλόντες, ἐδῄωσαν, Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως Λακεδαιμονίων ἡγουμένου· καὶ τὸ πλέον οὐκέτι προελθόντες, ἀπεχώρησαν ἐπ᾽ οἴκου. Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες, Περικλέους στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν. Καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαιᾶς δὲ ἐξοικίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον.

115. Ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας, οὐ πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις, ἀποδόντες Νίσαιαν, καὶ Πηγὰς, καὶ Τροιζῆνα, καὶ Ἀχαΐαν· ταῦτα γὰρ

deſciſcit. Dum Pericles cum exercitu transit, nuntius affertur, Megara defeciſſe. Illico redit Pericles. Peloponneſii, irruptione in Atticam usque Eleuſinem et Thriam facta, redeunt domum. Pericles iterum in Euboeam transiens, urbes in fidem recipit, praeter Heſtiaeam. 115. Poſt Euboicam expeditionem Athenienſes cum Lacedaemoniis pacem in triginta annos pangunt, urbesque reddunt, quas in Peloponneſo atque in Megaride tenuerant.

pugnam illam accidiſſe refert. Utraque urbs in vicinia Coroneae erat, et in proeliis commemorandis ſcriptores ſaepe diverſis locorum nominibus utuntur. Diodorus XII, 6. cum Thucydide facit.

114. *διαβεβηκότος-ἠγγέλθη αὐτῷ.* Pro *διαβεβηκότι* genitivi abſoluti ponuntur, quod non raro accidit. — *οὐκέτι προελθόντες,* cum Pliſtoanax a Pericle auro corruptus eſſet, auctore Plutarcho in Pericle p. 635. cf. infra 2, 21. — *Θρίωζε,* Thria pagus Atticae.

115. *Νίσαιαν, καὶ Πηγὰς, καὶ Τροιζῆνα, καὶ Ἀχαΐαν.* Hunc verborum ordinem conſtitui iubent undecim codices et Vallae verſio, cum vulgo verba *καὶ Ἀχαΐαν* ſtatim poſt *Νίσαιαν*

εἶχον Ἀθηναῖοι Πελοποννησίων. Ἕκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πόλεμος ἐγένετο περὶ Πριήνης· καὶ οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ, παρ' Ἀθηναίους ἐλθόντες, κατεβόων τῶν Σαμίων. Ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται, νεωτερίσαι βουλόμενοι τὴν πολιτείαν. Πλεύσαντες οὖν Ἀθηναῖοι ἐς Σάμον ναυσὶ τεσσαράκοντα, δημοκρατίαν κατέστησαν, καὶ ὁμήρους ἔλαβον τῶν Σαμίων, πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας, καὶ κατέθεντο ἐς Λῆμνον, καὶ φρουρὰν ἐγκαταλιπόντες ἀνεχώρησαν. Τῶν δὲ Σαμίων (ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμειναν, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον) ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις καὶ Πισσούθνῃ τῷ Ὑστάσπου ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε ξυλλέξαντες ἐς ἑπτακοσίους, διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. Καὶ πρῶτον μὲν τῷ δήμῳ ἐπανέστησαν, καὶ ἐκράτησαν τῶν πλείστων· ἔπειτα τοὺς ὁμήρους ἐκκλέψαντες ἐκ Λήμνου τοὺς αὐτῶν, ἀπέστησαν, καὶ τοὺς φρουροὺς τῶν Ἀθηναίων, καὶ τοὺς ἄρχοντας, οἳ ἦσαν παρὰ σφίσιν, ἐξέδοσαν Πισσούθνῃ· ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. Ξυναπέστησαν δὲ αὐτοῖς καὶ Βυζάντιοι.

Sexto autem anno bellum inter Samios et Milefios oritur, in quo inferiores Milefii Athenienfes in Samios querelis incitant. Illi Samiis democratiam ordinant, et, centum obfidibus Lemnum delatis, in urbe praefidium relinquunt. Sed mox Samii rebellantes magnum bellum concitant.

inferantur. Quare iam Palmerium offendebat, quod inter plures urbes hic etiam *Achaia* regio recenferetur. Nunc in hoc loco collocata minus offenfionis habet ifta coniunctio, et eodem fere ordine haec nomina leguntur infra 4, 21. — Ceterum de fitu harum urbium v. ad 1, 103.

πλεύσαντες οὖν Ἀθηναῖοι. Duce Pericle, qui, Plutarcho auctore, Afpafiae precibus adductus, Athenienfibus bellum adverfus Samios fuaferat, Milefiorum potiffimum gratia. Deinde a Piffuthne auro tentatus, ut Samio parceret, nihil accepit, fed rebus apud Samios pro arbitrio compofitis, translataque ad populum fumma poteftate, Athenas reverfus eft. De tota hac adverfus Samios expeditione cf. Diod. XII, 27 fq.

τῶν δὲ Σαμίων — ξυνθε-

116. Ἀθηναῖοι δὲ ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου, ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο· (ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου, περιαγγέλλουσαι βοηθεῖν) τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι, Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος, ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ, Σαμίων ναυσὶν ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι. καὶ ἐνίκων Ἀθηναῖοι. Ὕστερον δὲ αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες τεσσαράκοντα, καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι. καὶ ἀποβάντες, καὶ κρατοῦντες τῷ πεζῷ, ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν, καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς δὲ, λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν, ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων, ὅτι Φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν. Ὤιχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας, καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας.

117. Ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν

116. Pericles enim dum navali proelio victos parvo navium praeſidio obſidet, abſens ipſe in expeditione adverſus Phoeniſſas naves, 117. illi eruptione facta Athenienſes

μενοι. Subiectum, ad quod referatur *ξυνθέμενοι*, eſt *τινές*, quod in parentheſi latet.

116. *Περικλέους δεκάτου.* Etiam Sophocles Tragicus unus erat horum praetorum. V. Strab. XIV. p. 996. cf. Cic. Off. 1, 40. — Tragia inſula eſt prope Samum.

στρατιώτιδες. Schol. *στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν· ἃς καὶ ἱππαγωγοὺς καλεῖ.* Poſteriorem ſententiam refellit Duckerus ad 6, 43. Vide, quae ibi monebimus. — In ſequentibus verba *ἐς τὴν γῆν*, quae poſt *καὶ ἀποβάντες* legebantur, et iam Duckero ſuſpecta erant, quia abſunt a bonis libris, eiecimus.

τρισὶ τείχεσι, i. e. a tribus lateribus urbem obſidebant muro, munimento, operibus; a quarto naves obſidebant, quae paullo poſt dicuntur *αἱ ἐφορμοῦσαι.* — *Καῦνος* eſt Cariae oppidum; itaque *καὶ Καρίας* de ceteris Cariae locis accipiendum eſt, ad notam ex Homero formulam *Ἕκτωρ καὶ Τρῶες.*

ἐπὶ τὰς Φοινίσσας. Perperam in latina verſione hoc expreſſum eſt: *adverſus Phoenicum claſſem.* Steſagoras erat Samius ex ea parte, quae tum ab Athenienſibus Sami obſidebatur. Is

ποιησάμενοι, ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες, τάς τε προφυλακίδας ναῦς διέφθειραν, καὶ ναυμαχοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τέσσαρας καὶ δέκα, καὶ ἐςεκομίσαντο καὶ ἐξεκομίσαντο, ἃ ἐβούλοντο. Ἐλθόντος δὲ Περικλέους, πάλιν ταῖς ναυσὶ κατεκλείσθησαν. Καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προςεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἄγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους· ἐκ δὲ Χίου καὶ Λέσβου, τριάκοντα. Καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι· ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν, ἐξεπολιορκήθησαν ἐννάτῳ μηνὶ, καὶ προςεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθέλοντες, καὶ ὁμήρους δόντες, καὶ ναῦς παραδόντες, καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Ξυνέβησαν δὲ καὶ Βυζάντιοι, ὥςπερ καὶ πρότερον, ὑπήκοοι εἶναι.

118. Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς

vincunt, et nono demum menſe a Pericle, iuſta obſidione, ad quam plures naves Athenis, Chio et Lesbo ſuccedunt, ad deditionem coguntur. 118. Abſoluta egreſſione de

cum aliis Samiis Phoenicibus naves quasdam in auxilium adducebat; quo magis neceſſarium putabat Pericles, ocyus hoſtibus obviam contendere.

117. ἀφράκτῳ τῷ στρατοπέδῳ. Intellige *navale* praeſidium ante portum, quod abductis plerisque navibus valde imminutum erat. cf. Diodor. XII, 28 init. Plut. Pericle p. 642.

ἡμέρας περὶ τέσσαρας καὶ δέκα. Ita ex codd. dedi pro τεσσαρεσκαίδεκα. περί eſt *circiter*, ut 1, 54. ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα. Cum autem ad numerum tantum referatur, non opus eſt accentum retrahere, et cum Benedicto ſcribere πέρι.

Θουκυδίδου. Hic Thucydides, Mileſiae filius, Alopeceuſis, discernendus eſt a noſtro Hiſtorico. Princeps optimatum cum eſſet, Pericli adverſabatur, cuius artibus in exilium ire coactus eſt. v. Gottleber. ad h. l. Praeter hunc etiam alius *Thucydidis* infra 8, 92. mentio iniicitur, qui Pharſalius ab urbe patria vocatur.

ἐξεπολιορκήθησαν. In hac oppugnatione Periclem primum machinas bellicas, nempe arietes et teſtudines, adhibuiſſe, auctor eſt Diodor. l. c. Artemonis autem Clazomenii opera uſus eſt. — χρήματα τὰ ἀναλωθέντα, τάλαντα διακόσια Vid. Diod. l. c. — ὥςπερ καὶ πρότερον, int. ἦσαν.

ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ, καὶ τὰ Ποτιδαιατικὰ, καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου κατέστη. Ταῦτα δὲ ξύμπαντα, ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους, καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα, μεταξὺ τῆς Ξέρξου ἀναχωρήσεως, καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι, οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχὺ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου· (ὄντες μὲν καὶ προτοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι) πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. Τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ, καὶ καθαιρετέα ἡ ἰσχὺς, ἢν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. Αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνωστο, λελύσθαι τε τὰς σπονδὰς, καὶ τοὺς Ἀθηναίους ἀδικεῖν· πέμψαντες δὲ ἐς Δελφοὺς, ἐπηρώτων τὸν θεὸν, εἰ πολεμοῦσιν ἄμεινον ἔσται. Ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι, καὶ παρακαλούμενος καὶ ἄκλητος.

aucto paullatim Athenienſium imperio, filum narrationis de cauſis huius belli interruptum Auctor denuo annectit, demonſtrans, iis, quae circa Corcyram et Potidaeam facta eſſent, maxime irritatos Lacedaemonios, poſtquam diu mentis quadam tarditate bella vitaſſent, iram non amplius continuiſſe. Oraculum Delphicum ab iis rogatum auxit

118. *τά τε Κερκυραϊκά*, de quibus ſupra cap. 24—55. *τὰ Ποτιδαιατικὰ* ibid. 56—87.

καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου. Vulgo legitur *πρόφασις μεταξὺ τοῦδε τοῦ πολ.* Quod *μεταξὺ* etſi abſolute poſitum (nam genitivus *τοῦδε τοῦ πολέμου* pendet a *πρόφασις*) accipi poſſit *interea*, ut 5, 21. *τὸ μεταξὺ τοῦτο*, (cf. 4, 25 init.): tamen auctoritate librorum plurimorum, non ſolum Thucydidis, ſed etiam Dionyſii Hal., qui hunc locum laudat in Iud. de Thuc., delendum eſt, ut primus vidit Bredovius. — Mox in verbis *μεταξὺ τῆς τε Ξέρξου ἀναχωρήσεως* meliores libri *τέ* ignorant.

119. Αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες, ψῆφον ἐβούλοντο ἐπαγαγεῖν, εἰ χρὴ πολεμεῖν. Καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας, καὶ ξυνόδου γενομένης, οἵ τε ἄλλοι εἶπον, ἃ ἐβούλοντο, κατηγοροῦντες οἱ πλείους τῶν Ἀθηναίων, καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι· καὶ οἱ Κορίνθιοι, δεηθέντες μὲν καὶ κατὰ πόλεις πρότερον ἑκάστων ἰδίᾳ, ὥστε ψηφίσασθαι τὸν πόλεμον, δεδιότες περὶ τῇ Ποτιδαίᾳ, μὴ προδιαφθαρῇ· παρόντες δὲ καὶ τότε, καὶ τελευταῖοι ἐπελθόντες, ἔλεγον τοιάδε.

120. „ΤΟΥΣ μὲν Λακεδαιμονίους, ὦ ἄνδρες ξύμμαχοι, οὐκ ἂν ἔτι αἰτιασαίμεθα, ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰσι, καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. Χρὴ γὰρ τοὺς ἡγεμόνας, τὰ ἴδια ἐξ ἴσου νέμοντας, τὰ κοινὰ προσκοπεῖν, ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται. Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν, οὐχὶ διδαχῆς δέονται, ὥστε φυλάξασθαι αὐτούς· τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ κατῳκημένους, εἰδέναι χρὴ, ὅτι, τοῖς κάτω ἢν μὴ ἀμύνωσι, χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν ὡραίων, καὶ πάλιν ἀντίληψιν, ὧν ἡ θάλασσα τῇ ἠπείρῳ δίδωσι· καὶ τῶν νῦν λεγομένων μὴ κακοὺς

animos. 119. Itaque rurſus convocatis ſociorum oratoribus, uno omnes ore bellum decernunt, et Corinthii quidem, poſt ceteros prodeuntes, inſuper omnes incitant oratione 120 — 124, qua Lacedaemonii, olim

119. *αὖθις δέ.* Reſpicit ad cap. 87 et 88. *ὥστε ψηφίσασθαι τὸν πόλεμον.* Articulum *τόν* cum Benedicto recepi, non ſolum libris iubentibus, ſed etiam loquendi uſu. Etiam paullo ante erat: *τὸν πόλεμον ἀξιοῦντες γενέσθαι*, quia de certo quodam bello mentio iniicitur.

120. *οὐκ ἂν ἔτι αἰτιασαίμεθα.* Hoc enim antea fecerant. Vid. c. 69 med.

τὰ ἴδια ἐξ ἴσου νέμοντας, i. e. non nimium rebus ſuis occupati, adeo ut rem communem negligant. — *ἐναλλάσσεσθαί τινι*, unde *ἐνηλλάγησαν* h. l. ſignificatione medii, eſt negotiari cum aliquo, commercium habere. — Mox *ἐν πόρῳ* de littore in univerſum eſt intelligendum, propter quod navibus transvehi licet. Opponitur enim *τῇ μεσογείᾳ*, et mox pro ſynonymo eſt *τοῖς κάτω*.

κριτὰς, ὡς μὴ προςηκόντων, εἶναι, προςδέχεσθαι δέ ποτε, εἰ τὰ κάτω πρόοιντο, κἂν μέχρι σφῶν τὸ δεινὸν προελθεῖν, καὶ περὶ αὐτῶν οὐχ ἧσσον νῦν βουλεύεσθαι. Διόπερ καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ' εἰρήνης μεταλαμβάνειν. Ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν· ἀγαθῶν δέ, ἀδικουμένους, ἐκ μὲν εἰρήνης, πολεμεῖν, εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν ξυμβῆναι· καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσυχίῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. Ὅ, τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν, τάχιστ' ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν, δι' ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι· ὅ, τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων, οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. Πολλὰ γὰρ κακῶς γνωσθέντα, ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα, κατωρθώθη· καὶ ἔτι πλείω, ἃ καλῶς δοκοῦντα βουλευθῆναι, ἐς τοὐναντίον αἰσχρῶς περιέστη. Ἐνθυμεῖται γὰρ οὐδεὶς ὅμοια τῇ πίστει, καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ μετ' ἀσφαλείας μὲν δοξάζομεν, μετὰ δέους δὲ ἐν τῷ ἔργῳ ἐλλείπομεν.

121. „Ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγείρομεν, καὶ ἱκανὰ ἔχοντες ἐγκλήματα· καὶ ὅταν

ob tarditatem reprehenſi, providentiae nomine collaudan-

εὖ δὲ παρασχόν, pro παρασχόντος int. τοῦ καιροῦ, cum liceat per temporis rationem. — Mox pro τῷ ἡσύχῳ optimi libri Cl. Gr. Reg. Caſſ. Aug. Baſ. praebent τῷ ἡσυχίῳ, quod non ſpernendum videbatur, quoniam non intelligitur, quomodo tot codices a tritiſſimo vocabulo ἡσύχῳ aberrare potuerint.

ὅ, τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων. Πλεονάζων iungas cum ἐν πολέμῳ. εὐτυχίᾳ eſt *propter felicitatem*. — θράσος ἄπιστον, audacia, cui fidem habere non debemus.

ἀβουλοτέρων — τυχόντα. Vulgatam τυχόντα ſervo. Altera lectio octo codd. auctoritate nititur τυχόντων, et ita etiam Valla legiſſe videtur. — In ſequentibus ſi ἃ abeſſet, concinnior eſſet oratio. Sed Thucydides ſolet variare ſtructuram. Subaudiendum ad πλείω eſt ἐστί.

ὅμοια τῇ πίστει, καὶ ἔργῳ ἐπεξέρχεται. Opponuntur ἐνθυμεῖσθαι τῇ πίστει, et ἔργῳ ἐπεξέρχεσθαι. Ὅμοια ad καὶ referendum, ut alias ὁμοίως. Iungit enim duo cola, ut Lat. *pariter ac*. Cf. 7, 28 extr. αἱ μὲν γὰρ δαπάναι οὐχ ὁμοίως καὶ πρὶν, ἀλλὰ πολλῷ μείζους καθέστασαν.

ἀμυνώμεθα Ἀθηναίους, καταθησόμεθα αὐτὸν ἐν καιρῷ. Κατὰ πολλὰ δέ ἡμᾶς εἰκὸς ἐπικρατῆσαι, πρῶτον μὲν, πλήθει προὔχοντας καὶ ἐμπειρίᾳ πολεμικῇ, ἔπειτα ὁμοίως πάντας ἐς τὰ παραγγελλόμενα ἰόντας. Ναυτικόν τε, ᾧ ἰσχύουσιν, ἀπὸ τῆς ὑπαρχούσης τε ἑκάστοις οὐσίας ἐξαρτυσόμεθα, καὶ ἀπὸ τῶν ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ χρημάτων. Δάνεισμα γὰρ ποιησάμενοι, ὑπολαβεῖν οἷοί τε ἐσμὲν μισθῷ μείζονι τοὺς ξένους αὐτῶν ναυβάτας. Ὠνητὴ γὰρ Ἀθηναίων ἡ δύναμις μᾶλλον ἢ οἰκεία· ἡ δὲ ἡμετέρα ἧσσον ἂν τοῦτο πάθοι, τοῖς σώμασι τὸ πλέον ἰσχύουσα ἢ τοῖς χρήμασι. Μιᾷ τε νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται· εἰ δ᾽ ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικὰ, καὶ ὅταν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστήσωμεν, τῇ γε εὐψυχίᾳ δήπου περιεσόμεθα. Ὃ γὰρ ἡμεῖς ἔχομεν φύσει ἀγαθὸν, ἐκείνοις οὐκ ἂν γένοιτο διδαχῇ· ὃ δὲ ἐκεῖνοι ἐπιστήμῃ προὔχουσι, καθαιρετέον ἡμῖν ἐστι μελέτῃ. Χρήματα δ᾽ ὥστ᾽ ἔχειν ἐς αὐτὰ, οἴσομεν· ἢ δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι,

tur, et ad alacritatem omnes ſocii maxime inſtigantur.

121. *ἀπὸ τῶν ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ χρημάτων.* In his templis maximi auri argentique theſauri aſſervabantur, praecipue Delphis. Non autem direpturi erant templa iſta Peloponneſii, ſed mutuum ſumpturi argentum. Nam ſtatim illam pecuniae comparandae rationem *δάνεισμα* appellat.

ὃ γὰρ ἡμεῖς ἔχομεν φύσει ἀγαθόν. Ita duodecim codices iubent ordinem verborum conſtitui, qui vulgo hic eſt: *ἡμεῖς φύσει ἔχομεν.* Eodem modo c. 122. ordinem verborum ad codicum fidem mutavimus in verbis *ἦσαν ἡμῶν ἑκάστοις* (cf. Benedict.); et cap. 124. in verbis *τάδε κοινῇ.*

ἢ δεινὸν ἂν εἴη — πάσχειν. Diſtinctionem, quae h. l. neglecta nobis videbatur, ita correximus, ut ſententia perſpicua et conſilio Auctoris congrua e verbis efficeretur. Verba enim *ἐπὶ δουλείᾳ τῇ αὐτῶν φέροντες* commatibus ſecrevimus, et inferius poſt *μὴ* item comma fiximus, ne quis hanc negationem cum participio *ἀφαιρεθέντες* coniungeret. Verba *οὐκ ἄρα δαπανήσομεν*, Thucydidis more, interiecta ſunt duobus membris arcte connectendis. Cf. 1, 12. *Καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ νησιωτῶν τοὺς πολλοὺς ᾤκισαν, Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι, τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία.* Ita 1, 131 init. verba *ἀνεκάλεσαν αὐτὸν* interpoſita ſunt iis membris, quae communiter

ἐπὶ δουλείᾳ τῇ αὐτῶν φέροντες, οὐκ ἀπεροῦσιν, ἡμεῖς δ᾽ ἐπὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι, οὐκ ἄρα δαπανήσομεν, καὶ ἐπὶ τῷ μὴ, ὑπ᾽ ἐκείνων αὐτὰ ἀφαιρεθέντες, αὐτοῖς τούτοις κακῶς πάσχειν.

122. „Ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ τοῦ πολέμου ἡμῖν, ξυμμάχων τε ἀπόστασις, μάλιστα παραίρεσις οὖσα τῶν προσόδων, αἷς ἰσχύουσι, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ, ἄλλα, τε, ὅσα οὐκ ἂν τις νῦν προΐδοι. Ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δὲ ἀφ᾽ αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχάνον. Ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας, βεβαιότερος· ὁ δὲ ὀργισθεὶς περὶ αὐτὸν, οὐκ ἐλάσσω πταίει. Ἐνθυμώμεθα δὲ καὶ ὅτι, εἰ μὲν ἦσαν ἡμῶν ἑκάστοις πρὸς ἀντιπάλους περὶ γῆς ὅρων διαφοραὶ, οἰστὸν ἂν ἦν· νῦν δὲ πρὸς ξύμπαντάς τε ἡμᾶς Ἀθηναῖοι ἱκανοὶ, καὶ κατὰ πόλιν ἔτι δυνατώτεροι· ὥστε, εἰ μὴ καὶ ἀθρόοι, καὶ κατὰ ἔθνη, καὶ ἕκαστον ἄστυ μιᾷ γνώμῃ ἀμυνούμεθα αὐτοὺς, δίχα γε ὄντας ἡμᾶς ἀπόνως χειρώσονται· καὶ τὴν ἧσσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο τι φέρουσαν ἢ ἄντικρυς δουλείαν. Ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ, καὶ πόλεις το-

inde pendent. — *αὐτά*, *χρήματα*.

122. *καὶ ἐπιτειχισμός*. Schol. *αἰνίττεται τὴν Δεκέλειαν, ἣν ὕστερον ἐτείχισαν*. Sed latius patet vocabuli vis. Vid. ad c. 142.

ὁ δὲ ὀργισθεὶς περὶ αὐτόν. Comma, quod erat post *ὀργισθείς*, transposui post *αὐτόν*, ut verba *ὀργισθεὶς περὶ αὐτόν* magis responderent *τῷ εὐοργήτως αὐτῷ προσομιλήσας*. — *οὐκ ἐλάσσω πταίει*, non minore (scilicet quam ille, qui plane nulla commotus ira belligerat) calamitate afficitur. Itaque *εὐοργήτως*, modica ira impulsum, bella gerere satius est. Vid. ad c. 124. — *ἐν ᾧ*, ut paullo inferius, *qua in re*, unter diesen Umständen.

κατὰ πόλιν ἔτι δυνατώτεροι, „contra singulas civitates dimicantes, etiam superiores nobis sunt.“ Ut autem hic *ξύμπαντες* et *κατὰ πόλιν*, invicem opponuntur, ita paullo post *ἀθρόοι* et *κατὰ ἔθνη καὶ ἕκαστον ἄστυ* coniunguntur, ut sit *omnes et singuli vel populi, vel urbes*. — Mox *ἄντικρυς* est *recta, illico, geradezu*.

ὃ καὶ λόγῳ ἐνδοιασθῆναι. Scholiasta *ἐνδοιασθῆναι* male accipit pro simplici *λογίσασθαι*. Non multo rectius *ὅ* refert ad *δουλείαν*, et hunc Thucydidis

σάςδε ὑπὸ μιᾶς κακοπαθεῖν. Ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσχειν, ἢ διὰ δειλίαν ἀνέχεσθαι, καὶ τῶν πατέρων χείρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτὸ, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι πόλιν, τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλύειν. Καὶ οὐκ ἴσμεν, ὅπως τάδε τριῶν τῶν μεγίστων ξυμφορῶν ἀπήλλακται, ἀξυνεσίας, ἢ μαλακίας, ἢ ἀμελείας. Οὐ γὰρ δὴ πεφευγότες ταῦτα, ἐπὶ τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν κεχωρήκατε· ἣ, ἐκ τοῦ πολλοὺς σφάλλειν, τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται.

123. „Τὰ μὲν οὖν προγεγενημένα τί δεῖ μακρότερον, ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει, αἰτιᾶσθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν. Πάτριον γὰρ ὑμῖν ἐκ τῶν πόνων

usum a feminino ad neutrum transeundi illustrat exemplo 1, 59: τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ' ὅπερ καὶ τὸ πρῶτον ἐξεπέμποντο. Ut enim ibi ὅπερ referendum est ad τρέπεσθαι ἐπὶ τὴν Μακεδονίαν, ita h. l. ὃ non pertinet ad unum verbum δουλείαν, sed ad totam sententiam: τὴν ἧσσαν φέρειν δουλείαν. Sensus igitur est: Turpe est Peloponnesiis, de servitute tamquam de re, quae possit ex clade ipsis accidere, vel oratione ambigere, i. e. dubitanter loqui. Nam tanto incommodo omnibus viribus obnitendum est.

τοὺς δ' ἐν μιᾷ μονάρχους, i. e. privatos homines regnum affectantes in aliqua civitate. Imprimis Spartani tyrannos ex singulis civitatibus eiecerant. Vid. supra c. 18.

καὶ οὐκ ἴσμεν, ὅπως — ἀπήλλακται. Οὐκ, quod ante ἀπήλλακται legebatur, omittunt optimi codices Cl. Cass. Aug. Gr. Bas. tres Pariss. et Valla, nec non Schol ad c. 127. Sane haec particula valde turbat sententiam, quod primus Kistemakerus videbat, qui ideo deleri eam iubebat. Eandem rationem et nos sequimur cum Poppone l. l. p. 120 sqq. „Nescimus, inquit Corinthius, quomodo haec nostra ratio a tribus maximis malis libera sit, inscitia, vel ignavia, vel socordia (i. e. ab una harum). — Bene autem Poppo monuit, sequens γὰρ referendum esse ad μεγίστας ξυμφοράς, et supplendam brevem sententiam: „Quae summa dico mala; nam cum ea non effugeritis, καταφρόνησιν, (Ueberklugheit) induistis, quae plurimis iam detrimento fuit, ideoque alio etiam et illi quidem contrario nomine ἀφροσύνη (Unklugheit) vocata est."

123. περὶ δὲ τῶν ἔπειτα μελλόντων. — Cum e praesentibus futura gignantur, illis operam dare oportet, ut bene comparata sint.

πάτριον γὰρ ὑμῖν. Cum praecesserit cap. 122. κεχωρήκατε, et mox sequatur προφέρετε,

τὰς ἀρετὰς κτᾶσθαι, καὶ μὴ μεταβάλλειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ τε νῦν καὶ ἐξουσίᾳ ὀλίγον προφέρετε. Οὐ γὰρ δίκαιον, ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ περιουσίᾳ ἀπολέσθαι· ἀλλὰ θαρσοῦντας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος, καὶ αὐτοῦ ὑποσχομένου ξυλλήψεσθαι, καὶ τῆς ἄλλης Ἑλλάδος πάσης ξυναγωνιουμένης, τὰ μὲν, φόβῳ, τὰ δὲ, ὠφελείᾳ. Σπονδάς τε οὐ λύσετε πρότεροι, (ἅςγε καὶ ὁ θεὸς, κελεύων πολεμεῖν, νομίζει παραβεβάσθαι,) ἠδικημέναις δὲ μᾶλλον βοηθήσετε. Λύουσι γὰρ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες.

124. „Ὥςτε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν, καὶ ἡμῶν τάδε κοινῇ παραινούντων, εἴπερ βεβαιότατον τὸ ταῦτα ξυμφέροντα καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε Ποτιδαιάταις τε ποιεῖσθαι τιμωρίαν, οὖσι Δωριεῦσι, καὶ ὑπὸ Ἰώνων πολιορκουμένοις, (οὗ πρότερον ἦν τοὐναντίον) καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν· ὡς οὐκέτι ἐνδέχεται, περιμένοντας, τοὺς μὲν ἤδη βλάπτεσθαι, τοὺς δ', εἰ γνωσθησόμεθα ξυνελθόντες μὲν, ἀμύνεσθαι δὲ οὐ τολμῶντες, μὴ πολὺ ὕστερον τὸ αὐτὸ πάσχειν· ἀλλὰ νομίσαντες ἐπ' ἀνάγκην ἀφῖχθαι, ὦ ἄνδρες ξύμμαχοι,

inferius etiam λύσετε, βοηθήσετε et cap. 124. ὑμῖν et μέλλετε: non apta videtur lectio ἡμῖν, pro qua codd. Caſſ. Aug. recte praebent ὑμῖν, quod cum Kiſtemakero recepi. Reſpicere porro Oratorem imprimis Spartanos, res ipſa docet. Illi enim maxime virtutis laudem e labore quaerebant, et morum patriorum tenaciſſimi erant. — προφέρετε, int. τῶν πατέρων.

ἃ τῇ ἀπορίᾳ ἐκτήθη. Intelligit libertatem, quam c. 122. patrum virtute acceptam dixerat. — κατὰ πολλά, refer ad θαρσοῦντας.

καὶ τῆς ἄλλης Ἑλλάδος πάσης ξυν. Dedi πάσης pro ἁπάσης cum Benedicto, ex novem codd. Non enim facile intelligitur, quomodo in tot libris prima ſyllaba intercidere potuerit. Cf. ad 1, 143.

124. ὡς οὐκέτι ἐνδέχεται — πάσχειν. Interpunctionem huius loci correxi, poſito commate poſt ἐνδέχεται, ſublato poſt τοὺς μέν. „Non amplius licet, nos, dum moramur, (ſive morando, cunctando, exſpectando) partim iam iniuria affici (ut Potidaeatas), partim vero non multo poſt idem pati, cum hoſtes animadverterint, nos conveniſſe, ſed depellere iniuriam non audere."

ἐπ' ἀνάγκην ἀφῖχθαι. In

καὶ ἅμα τάδε ἄριστα λέγεσθαι, ψηφίσασθε τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινὸν, τῆς δ' ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες· (ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται· ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον) καὶ τὴν καθεστηκυῖαν ἐν τῇ Ἑλλάδι πόλιν τύραννον ἡγησάμενοι ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι, ὥςτε τῶν μὲν ἤδη ἄρχειν, τῶν δὲ, διανοεῖσθαι, παραστησώμεθα ἐπελθόντες· καὶ αὐτοί τε ἀκινδύνως τὸ λοιπὸν οἰκῶμεν, καὶ τοὺς νῦν δεδουλωμένους Ἕλληνας ἐλευθερώσωμεν." Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον.

125. Οἱ δὲ Λακεδαιμόνιοι, ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν γνώμην, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν, ὅσοι παρῆσαν ἑξῆς, καὶ μείζονι καὶ ἐλάσσονι πόλει· καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν. Δεδογμένον δὲ αὐτοῖς, εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύοις οὖσιν, ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις, ἃ πρόςφορα ἦν, καὶ μὴ εἶναι μέλλησιν· ὅμως δὲ καθι-

125. Rogatis ſingulis, cum plerorumque calculi bellum gerendum oſtenderent, decretum eſt, ut quisque neceſſaria

nonnullis libris eſt ἐς ἀνάγκην. — Mox δή poſt ψηφίσασθε delevi, quod a plurimis libris abeſt, et abeſſe poteſt. Ortum eſt ex ultima praecedentis verbi ſyllaba. Alioqui Noſter imperativis particulam οὖν adiungere ſolet, e. c. 1, 71 med. μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής. 1, 78 init. βουλεύεσθε οὖν βραδέως. 1, 86 extr. ψηφίζεσθε οὖν ἀξίως τῆς Σπάρτης τὸν πόλεμον. Sed haec niſi ab initio periodi locum non habet. Δή imprimis demonſtrationi et affirmationi inſervit.

ἀφ' ἡσυχίας — ἀκίνδυνον. „Ab otio autem (i. e. ita ut otium relinquas) ad bellum non transire, non pariter periculo vacat, ac ſi quis ex bello pacem pepigerit." Quae e contrario facile ſubintelligi poſſunt, Thucydides, brevitatis ſtudioſiſſimus, omittere ſolet. Cf. c. 122. ὁ δὲ ὀργισθεὶς περὶ αὐτὸν, οὐκ ἐλάσσω πταίει, qui locus huic noſtro ſimillimus eſt. Nam et ibi βεβαιότερος, et hoc loco μᾶλλον βεβαιοῦται, ita praemittuntur, ut utroque loco id, quod cum illis verbis tacite comparatur, etiam cum eo contendatur, quod ſequenti continetur membro. In ſententia: „bello pax comparata certior eſt" quisque tacite cogitat hanc comparationem, „quam otio conſervata;" ſed hanc tamen ſine periculo retineas, nulla ad bellum urgente neceſſitate; periculoſius autem agitur, ſi bellum neceſſarium detrectes, dummodo ne otium perdas.

σταμένοις, ὧν ἔδει, ἐνιαυτὸς μὲν οὐ διετρίβη, ἔλασσον δέ, πρὶν ἐςβαλεῖν ἐς τὴν Ἀττικήν, καὶ τὸν πόλεμον ἄρασθαι φανερῶς.

126. *Ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τῷ χρόνῳ πρὸς τοὺς Ἀθηναίους, ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐςακούωσι. Καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι ἐκέλευον τοὺς Ἀθηναί υς τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ. Τὸ δὲ ἄγος ἦν τοιόνδε. Κύλων ἦν Ὀλυμπιονίκης, ἀνὴρ Ἀθηναῖος τῶν πάλαι, εὐγενής τε καὶ δυνατός. Ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους, Μεγαρέως ἀνδρὸς, ὃς κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων. Χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς ἀνεῖλεν ὁ θεὸς, ἐν [τῇ] τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων ἀκρόπολιν. Ὁ δέ, παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν, καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθεν Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι· νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι, καὶ ἑαυτῷ τι προςήκειν, Ὀλύμπια νενικηκότι.*

ad bellum ſine mora compararet. 126. Interea per legatos accuſabant Athenienſes (quo gravior ipſis, nihil agentibus, cauſſa belli eſſet) primum de piaculo in Mi-

126. *ἢν μή τι ἐςακούωσι.* In aliis libris legitur *ἐςακούσωσι.*

Κύλων ἦν Ὀλυμπιονίκης, ἀνὴρ Ἀθηναῖος τῶν πάλαι. Hunc verborum ordinem afferunt codd. Reg. Gr. Caſſ. Aug. Baſ. et quatuor Par.; quod cum negligerent interpretes, haeſerunt in vulgata lectione, quae haec eſt: *Κύλων ἦν Ἀθηναῖος, ἀνὴρ Ὀλυμπιονίκης, τῶν πάλαι εὐγενής τε καὶ δυνατός.* Alii enim *ante* ἀνήρ, alii *poſt* hoc vocabulum interpungendum eſſe contendebant. Cf. Herodot. 5, 71. *Ἦν Κύλων τῶν Ἀθηναίων ἀνὴρ Ὀλυμπιονίκης.* Fortaſſe ex hoc loco Thucydidis codices illi, qui vulgatum ordinem tenent, corrupti ſunt. Vid. Benedict. ad h. l., qui recte iungit verba *τῶν πάλαι* cum *ἀνὴρ Ἀθηναῖος*, ut ſtatim antiquior eius aetas indicetur.

χρωμένῳ δέ. Scholiaſta recte ſubaudit: *περὶ τυραννίδος*, quia hoc ex reſponſo pateat. Idem paullo inferius ad verba *τὰ ἐν Πελοποννήσῳ* docet, ea idcirco eſſe adiecta, quod etiam in Macedonia et Athenis Olympia agerentur. Qua de re vide Spanhemium, a Duckero laudatum.

ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ. Decem codices primum articulum *τῇ* omittunt; et ſane abeſſe poteſt. Sed cum meliores libri eum ſervent, non expunxi, ſed uncis incluſi.

Εἰ δὲ ἐν τῇ Ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο, οὔτε ἐκεῖνος ἔτι κατενόησε, τό, τε μαντεῖον οὐκ ἐδήλου. Ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη, ἔξω τῆς πόλεως· ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ οὐχ ἱερεῖα, ἀλλὰ θύματα ἐπιχώρια. Δοκῶν δὲ ὀρθῶς γιγνώσκειν, ἐπεχείρησε τῷ ἔργῳ. Οἱ δ' Ἀθηναῖοι, αἰσθόμενοι, ἐβοήθησάν τε πανδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτοὺς, καὶ προςκαθεζόμενοι ἐπολιόρκουν. Χρόνου δὲ ἐπιγιγνομένου, οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ, ἀπῆλθον οἱ πολλοὶ, ἐπιτρέψαντες τοῖς ἐννέα Ἄρχουσι τήν φυλακήν τε καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι, ᾗ ἂν ἄριστα διαγιγνώσκωσι. Τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν οἱ ἐννέα Ἄρχοντες ἔπρασσον. Οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμενοι φλαύρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ. Ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν, οἱ δ' ἄλλοι, ὡς ἐπιέζοντο, καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει. Ἀναστήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακὴν, ὡς ἑώρων ἀποθνήσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μηδὲν κακὸν

nervam commiſſo. Per hanc occaſionem Auctor exponit Cylonis conatum arce Athenarum potiundi, et fortunam

ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ οὐχ ἱερεῖα. Schol. *πανδημεὶ ἑορτάζουσι, θύουσι δὲ πολλοί.* Inde Bredovius coniecit interpungendum eſſe ante *πολλοί*, non poſt hoc vocabulum. Ita enim difficultas, quam fruſtra adhuc tollere interpretes conati ſunt, cum ex Xenophonte Anab. VII, 8, 5. et Ariſtoph. Nub. 407. conſtet, Iovi Milichio victimas crematas eſſe, dirimitur, neque amplius his teſtimoniis contrarius eſt Thucydidis locus. Pauperes enim tantum *θύματα ἐπιχώρια* tuliſſe Deo putandi ſunt, propter inopiam. Cf. Schneider. ad Xenoph. l. l. Ceterum Schol. ad h. l. *θύματα* interpretatur *πέμματα εἰς ζώων μορφὰς τετυπωμένα.*

ὡς ἑώρων ἀποθνήσκοντας. Vetus ſuperſtitio erat, ſacra deorum pollui cadaverum contrectatione. Itaque vivos e templo vel ſacro loco efferebant. Cf. infra c. 134 med. *Ἄγος* autem inde ſuscipiebant illi Athenienſes, quod alios contra ſponſionem necaverant elatos, alios, nulla ſponſione facta, ad ipſa altaria confoderant. Lacedaemoniis autem l. c. *ἄγος* inde veniſſe videbatur, quod Pauſaniam in-

ποιήσουσιν, ἀπαγαγόντες, ἀπέκτειναν· καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς, ἐν τῇ παρόδῳ διεχρήσαντο. Καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλιτήριοι τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο, καὶ τὸ γένος τὸ ἀπ' ἐκείνων. Ἤλασαν μὲν οὖν καὶ οἱ Ἀθηναῖοι τοὺς ἐναγεῖς τούτους· ἤλασε δὲ καὶ Κλεομένης ὁ Λακεδαιμόνιος, ὕστερον μετὰ Ἀθηναίων στασιαζόντων· τούς τε ζῶντας ἐλαύνοντες, καὶ τῶν τεθνεώτων τὰ ὀστᾶ ἀνελόντες, ἐξέβαλον. Κατῆλθον μέντοι ὕστερον, καὶ τὸ γένος αὐτῶν ἐστιν ἔτι ἐν τῇ πόλει.

127. Τοῦτο δὴ τὸ ἄγος οἱ Λακεδαιμόνιοι ἐκέλευον ἐλαύνειν, δῆθεν τοῖς θεοῖς πρῶτον τιμωροῦντες, εἰδότες δὲ Περικλέα τὸν Ξανθίππου προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα, καὶ νομίζοντες, ἐκπεσόντος αὐτοῦ,

eorum, qui eum ſequebantur. 127. Hoc piaculum Lacedaemonii Athenienſibus exprobrabant non ſolum deorum cauſa, ſed multo etiam magis, ut Periclem, ad quem illud piaculum a matre pertinebat, et qui tum Athenienſes

vitum ex templo etuliſſent. Cf. c. 128 init. — ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσι, v. ad c. 103. Luculentius rem narrat Herodotus 5, 71. τούτους ἀνιστέασι — ὑπεγγύους πλὴν θανάτου.

τῶν σεμνῶν θεῶν. Schol. τῶν Ἐριννύων, κατὰ ἀντίφρασιν. Ita enim, teſte Pauſania, ab Athenienſibus dicebantur, ominis avertendi cauſa. Erat autem, ut praeter Schol. ad h. l. Ulpianus quoque ad Demoſth. Or. contra Midiam teſtatur, templum Furiis dicatum ab Athenienſibus prope Areopagum, in memoriam iudicii eius, quo Oreſtes, a Furiis usque agitatus, tandem abſolutus erat.

ὕστερον μετὰ τῶν Ἀθην. στασιαζ. V. Herodot. 5, 72. ubi Cleomenes Cliſthenem cum aliis multis ſolum vertere coëgiſſe narratur. Quod effecit adiutus ab Iſagorae factione, quam res novas molientem devicit altera populi Athenienſis pars, et Cliſthenem cum ceteris exſulibus in patriam revocavit.

127. ἐκέλευον ἐλαύνειν, δῆθεν τοῖς θεοῖς. Codicum ſcriptura variat in ordine verborum conſtituendo. Vulgo editum eſt ἐλαύνειν ἐκέλευον δῆθεν τοῖς θεοῖς πρῶτον — ſine diſtinctione. Sed octo codices praebent ἐκέλευον ἐλαύνειν; porro quatuor (Marg. Ar. C. Dan.) δῆθεν poſt τοῖς θεοῖς ponunt; quod iam Stephano placebat, quia δῆθεν ad participium τιμωροῦντες referendum eſſet. Itaque Kiſtemakerus interpungi volebat ante δῆθεν. Hoc ſequuti ſumus, quod codices illi quatuor, non adiuti aliis, minus fide digni videbantur, quam ut eorum auctoritate verborum ordinem mutaremus. Δῆθεν ironice dictum eſt, *quaſi ſcilicet*. Cf. Zeun. ad Viger. p. 454. (499 Herm.) — εἰδότες δὲ — vid. ad 1, 12.

ῥᾷον σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν Ἀθηναίων. Οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο, ὅσον διαβολὴν οἴσειν αὐτῷ πρὸς τὴν πόλιν, ὡς καὶ διὰ τὴν ἐκείνου ξυμφορὰν τὸ μέρος ἔσται ὁ πόλεμος. Ὢν γὰρ δυνατώτατος τῶν καθ' ἑαυτὸν, καὶ ἄγων τὴν πολιτείαν, ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις· καὶ οὐκ εἴα ὑπείκειν, ἀλλ' ἐς τὸν πόλεμον ὥρμα τοὺς Ἀθηναίους.

128. Ἀντεκέλευον δὲ καὶ οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους τὸ ἀπὸ Ταινάρου ἄγος ἐλαύνειν. Οἱ γὰρ Λακεδαιμόνιοι, ἀναστήσαντες ποτὲ ἐκ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἀπὸ Ταινάρου τῶν Εἱλώτων ἱκέτας, ἀπαγαγόντες διέφθειραν· δι' ὃ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν Σπάρτῃ. Ἐκέλευον δὲ καὶ τὸ τῆς Χαλκιοίκου ἄγος ἐλαύνειν αὐτούς. ἐγένετο δὲ τοιόνδε. Ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τὸ πρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ, καὶ κριθεὶς ὑπ' αὐτῶν, ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα, ἄνευ Λακεδαιμονίων ἀφικνεῖται ἐς Ἑλλήσποντον· τῷ μὲν λόγῳ, ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ, τὰ πρὸς βασιλέα πράγματα πράσσειν, ὥσπερ καὶ τὸ πρῶτον, ἐπεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. Εὐεργεσίαν

contra Peloponnefios incitabat, fi non depellerent loco, tamen fuis odiofum redderent. 128 — 135. Contra

προχωρεῖν. Hanc lectionem et feptemdecim codd. tuentur, et Thucydidis ufus, vel aorifti, vel praefentis infinitivos fine ἂν adhibentis pro infinitivo futuri. Vid. Poppo p. 149 feq. qui exempla attulit 4, 24 med. 3, 95., ubi infinitivus praefentis cum aorifti infinitivo iunctus eft. Adde 4, 13 init. 8, 5 extr. *προσέταξε βασιλεὺς, ἢ ζῶντα ἄξειν, ἢ* **ἀποκτείνειν.** De aorifti infinitivo pro futuro ufurpato fine particula ἄν, vid. fupra ad c. 96.

128. **τῶν Εἱλώτων ἱκέτας.** Omifi articulum τοὺς ante *ἱκέτας*, meliorum codd. auctoritate.

τὸ πρῶτον μεταπεμφθείς. Vid. fupra cap. 95. — **Ἑρμιονίδα,** ab urbe Hermione, in Argolide fita ad mare. — **ἄνευ Λακεδαιμονίων,** *οὐ κελευσάντων αὐτῶν*, ut ipfe explicat cap. 131 init.

πράγματα πράσσειν — ἀρχῆς. Vulgata Thucydidis exemplaria hunc locum fic exhibent: *τῷ δὲ ἔργῳ, τὰ πρὸς βασιλέα*

δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο, καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο. Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν (εἶχον δὲ Μῆδοι αὐτὸ, καὶ βασιλέως προςήκοντές τινες καὶ ξυγγενεῖς, οἳ ἑάλωσαν ἐν αὐτῷ) τότε τούτους, οὓς ἔλαβεν, ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων· τῷ δὲ λόγῳ, ἀπέδρασαν αὐτόν. Ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. Ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη· „Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης τούςδε τε, σοὶ χαρίζεσθαι βουλόμενος, ἀποπέμπει δορὶ ἑλών· καὶ

Athenienſes duplex piaculum Lacedaemoniis exprobrant,

πράγματα βουλόμενος πράσσειν· ὥςπερ καὶ τὸ πρῶτον ἐπεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. Cum autem optimi libri participium βουλόμενος ignorent, minus probati aliquot ante verba τὰ πρὸς βασιλέα collocent, idem omittat Valla, nec niſi expoſitionis cauſa cum δηλονότι adiungat Scholiaſta: iam Duckerus, quem Benedictus et Poppo ſequuntur, illud vocabulum interpretamentum eſſe, recte iudicavit, cum ſatis bene dicatur: ἀφικνεῖται cum infinitivo πράσσειν. Mihi tamen haec ſtructura a Thucydidis uſu abhorrere, et durior eſſe h. l. videbatur, quare colon poſt πράσσειν mutavi in comma, et comma poſt τὸ πρῶτον poſui, ut ab ἐπεχείρησεν pendeat infinitivus πράσσειν.

ἀπὸ τοῦδε πρῶτον. Regreditur ad primum Pauſaniae proditionis conatum, quem breviter attigerat ſupra c. 95. — μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν, cf. c. 94.

ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον. Novem codices exhibent ᾧ ἐπέτρεψε, omiſſa particula πέρ, quam tamen vix credas a librariis adiectam eſſe, et alibi Thucydides addit, ut 1, 35. ὅπερ σαφεστάτη πίστις. 1, 97. ὥςπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος. 1, 140. 141 med. 143. bis. 2, 4 med. Quare cum boni codices, ut Reg. et Aug., eam retineant, ſervandam eſſe duxerim. — Mox ineptum καί ante ἐν αὐτῇ cum aliis eieci, duodecim codd. auctoritate. — Paullo ante αὐτῷ, int. βασιλεῖ.

σοὶ χαρίζεσθαι βουλόμενος. Pro τούςδε τέ σοι χαρίζ. βουλ. reſcripſi τούςδε τε, σοὶ χαρίζ. βουλ., et comma poſui poſt τέ. Melius enim σοί ad χαρίζεσθαι refertur, quam ad ἀποπέμπει, et σοί opponi poteſt τῷ τούςδε, ut dicat, non ipſorum, ſed regis gratia eos ſe remiſiſſe. Item paullo poſt edidi εἰ καὶ σοὶ δοκεῖ, pro εἰ καί σοι δοκεῖ, quod vulgatas editiones obſidet. Contra mox in verbis: εἰ οὖν τί σε τούτων ἀρέσκει, vulgo legitur τι σοί. Ubi accuſativus pro dativo notatur a Schol., cuius uſus exempla praebet Eurip. Hippol. 184. Oreſt. 210. οὐ γάρ μ' ἀρέ-

γνώμην ποιοῦμαι, εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι, καί σοι Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλλάδα ὑποχείριον ποιῆσαι. Δυνατὸς δέ δοκῶ εἶναι ταῦτα πρᾶξαι, μετὰ σοῦ βουλευόμενος. Εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν, δι' οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα."

129. Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ, καὶ ἀποστέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν, καὶ κελεύει αὐτὸν τήν τε Δασκυλῖτιν σατραπείαν παραλαβεῖν, Μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχε· καὶ παρὰ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ ὡς τάχιστα διαπέμψαι, καὶ τὴν σφραγῖδα ἀποδεῖξαι· καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν ὡς ἄριστα καὶ πιστότατα. Ὁ δὲ ἀφικόμενος, τά τε ἄλλα ἐποίησεν ὥςπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν. Ἀντεγέγραπτο δὲ τάδε. „Ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ· καὶ τῶν ἀνδρῶν, οὕς μοι πέραν θαλάσσης ἐκ Βυζαντίου ἔσωσας, κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐς ἀεὶ ἀνάγραπτος, καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι. Καί σε μήτε νὺξ μήτε ἡμέρα ἐπισχέτω, ὥςτε ἀνεῖναι πράσσειν τὶ, ὧν ἐμοὶ ὑπισχνῇ· μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω, μηδὲ στρατιᾶς πλήθει, εἴ ποι δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' Ἀρταβάζου, ἀνδρὸς ἀγαθοῦ, ὃν σοι ἔπεμψα, πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ τὰ σὰ, ὅπῃ κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις."

alterum de Helotibus ex templo Neptuni Taenarii vi de-

σκει. - καὶ γνώμην ποιοῦμαι, transitus a tertia perſona ad primam.

129. Δασκυλῖτιν. Δασκύλιον urbs Bithyniae eſt, unde ſatrapia citerioris Aſiae nomen traxit. — Comma ante ὡς τάχιστα delevi.

πράσσειν. Ex ἀντεπετίθει ſubaudiendum eſt ἐκέλευε, quod etiam ſupra fuerat.

ἐκ Βυζαντίου ἔσωσας. Ita Mſſ. legere nos iubent pro διέσωσας. Saepius haec verba permutantur in manuſcriptis. cf. 1, 110 init. 1, 76. διαδιδομένην pro διδομένην. — ἐν τῷ ἡμετέρῳ οἴκῳ, poſſis de annalibus Perſicis accipere, in quos Pauſaniae nomen, tamquam εὐεργετοῦ relatum fuerit. Unde etiam Cteſias

130. *Ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὢν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Πλαταιᾶσιν ἡγεμονίαν, πολλῷ μᾶλλον τότε ἦρτο, καὶ οὐκέτι ἠδύνατο ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν· ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξῄει, καὶ διὰ τῆς Θρᾴκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν· τράπεζάν τε Περσικὴν παρετίθετο, καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προὐδήλου, ἃ τῇ γνώμῃ μειζόνως ἐς ἔπειτα ἔμελλε πράξειν. Δυςπρόςοδόν τε αὐτὸν παρεῖχε, καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥςτε μηδένα δύνασθαι προςιέναι. Διόπερ καὶ πρὸς τοὺς Ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέστη.*

131. *Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι, τό, τε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτὸν, καὶ ἐπειδὴ*

pulſis et necatis, alterum de Pauſania, ex templo Chalcioeci ſua hauſit. Vid. quos laudant Interpr. ad h. l.

130. *Πλαταιᾶσιν.* Vulgo ſcribitur h. l. *Πλαταιάσιν*, contra meliorum codicum Grammaticorumque teſtimonia. Vid. Ducker. ad h. l., Buttmann. Gr. gr. p. 374. Cf. infra 4, 72. Adverbia, a nominibus facta, tonum nominis ſui retinent, ut Grammatici docent. Ad hanc normam infra c. 143 ſcribendum eſt *Ὀλυμπίασιν* pro *Ὀλυμπιάσιν*. Mox pro *πολλῷ τότε μᾶλλον* cum Benedicto ex codicibus revocavi antiquum verborum ordinem *πολλῷ μᾶλλον τότε*. — Pro *καθεστῶτι* alii codices legunt *καθεστηκότι*, quod Benedictus praetulit. Illud habes 1, 132. 2, 2. ubi item aliquot codices habent *καθεστηκότος*.

ἔργοις βραχέσι, rebus parvis, minutis, ut veſtibus, victu cet. — In ſequentibus *ὀργῇ* de ſuperbia et difficilibus moribus accipio, ut ſit pro *χαλεπότητι, ὑπεροψίᾳ*. Corayus omnino *mores, rationem ſe gerendi* intelligit. Ceterum Cornelius Nepos memoriter tractavit hunc de Pauſania locum, non accurate Thucydidis narrationem ſequutus. Nam quod hic de prima Pauſaniae *παρουσίᾳ* tradit, eum luxui Perſico ſe dediſſe, ille ad ſecundam refert. Cf. ibi c. 3.

131. *ἀνεκάλεσαν αὐτόν.* Bis igitur Pauſaniam revocabant, *τό τε πρῶτον δι' αὐτὰ ταῦτα, καὶ ἐπειδὴ — τοιαῦτα ἐφαίνετο ποιῶν.* Nihil vel hac ſententia dilucidius, vel Thucydidi magis familiare, quam verbum duobus membris commune priori membro ſtatim adiungere. Vid. ad 1, 121. Benedictus, qui *τότε πρῶτον* ſcribit, idque cum *αἰσθόμενοι* coniungit, verba autem *ἀνεκάλεσαν αὐτὸν* non ad *δι' αὐτὰ ταῦτα* refert, ſed ad ſequentia: *καὶ ἐπειδὴ — ποιῶν*: hanc ſententiam

τῇ Ἑρμιονίδι νηῒ τὸ δεύτερον ἐκπλεύσας, οὐ κελευσάντων αὐτῶν, τοιαῦτα ἐφαίνετο ποιῶν. Καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορκηθεὶς, ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἐς δὲ Κολωνὰς τὰς Τρωϊάδας ἱδρυθεὶς, πράσσων τε ἐσηγγέλλετο αὐτοῖς πρὸς τοὺς βαρβάρους, καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος. Οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα οἱ Ἔφοροι, καὶ σκυτάλην, εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι· εἰ δὲ μὴ, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. Ὁ δὲ, βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι, καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν, ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην· καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν Ἐφόρων· (ἔξεστι δὲ τοῖς Ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο·) ἔπειτα διαπραξάμενος, ὕστερον ἐξῆλθε, καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτὸν ἐλέγχειν.

elato, contractum. Quo loco et proditio illius viri,

verbis extricat: ,,Lacedaemonii, qui tunc primum ſentiebant, propter haec eadem (quae agebat) etiam poſtquam denuo, iniuſſu eorum, ex urbe diſceſſerat, eum revocarunt.‟ Adducebatur vir doctus ad haec tentamina, quod opinabatur, *τότε πρῶτον* in vulgata lectione reſpondere verbis *τό δεύτερον*. Etiam mihi aliquando alia interpunctione h. l. utendum videbatur. Punctum enim poſt *ποιῶν* mutabam in comma, et poſt *ποιούμενος* colon ponebam, ut huc usque protaſis extraheretur, a verbis autem *οὕτω δή* apodoſis demum inciperet, quam ſibi poſceret praemiſſum *ἐπειδή*. Nunc ad ſimpliciorem rationem redii, intelligens, iterum revocatum Pauſaniam, cum dicto audiens non fuiſſet, ſcytala ad reditum eſſe coactum.

ἐκπολιορκηθείς. Byzantium ipſius Pauſaniae ductu expugnatum, neque deinde omiſſum fuerat. Ergo *ἐκπολιορκηθείς* h. l. ſimpliciter accipiendum pro *vi adductus ceſſit ex urbe.* Cf. c. 134. *ἐξεπολιόρκησαν (αὐτὸν) λιμῷ.*

πρὸς τοὺς βαρβάρους. Ita ex codd. ſcripſimus pro *ἐς τοὺς βαρ.* Cf. Benedict.

τὸν βασιλέα δρᾶσαι τοῦτο. Hoc non ita accipiendum eſt, quaſi rex Spartae fuiſſet Pauſanias, qui error a recentioribus quibusdam propagatus eſt. Nam erat tantum generis regii, ut c. 132 dicit: *γένους τοῦ βασιλείου ὄντα.* Cf. ad c. 107. — In fine capitis reſcripſi ex probatis libris *περὶ αὐτὸν* pro *περὶ αὐτῶν*, quod quo referendum ſit, non intelligas, etſi Schol. explicet: *τῶν κατηγορημάτων.* Uſitatius quidem eſt *ἐλέγχειν τινά*, quam *περί τινα*. Sed haec ipſa eſſe potuit cauſa lectionis depravandae; quam corruptelam propter Scholiaſtae expoſitionem ſatis antiquam exiſtimare licebit.

132. Καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον, οὔτε οἱ ἐχθροὶ, οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα, καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα. Πλείσταρχον γὰρ τὸν Λεωνίδου, ὄντα βασιλέα καὶ νέον ἔτι, ἀνεψιὸς ὢν ἐπετρόπευεν. Ὑποψίας δέ πολλὰς παρεῖχε, τῇ τε παρανομίᾳ, καὶ ζηλώσει τῶν βαρβάρων, μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι. Τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴ τί που ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων, καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε,

Ἑλλήνων ἀρχηγὸς, ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας, Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

Τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο, καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις, ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον, ἔστησαν τὸ ἀνάθημα. Τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τοῦτ' ἐδόκει εἶναι, καὶ ἐπεί [γε] δὴ ἐν τούτῳ καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ διανοίᾳ. Ἐπυνθάνοντο δὲ καὶ ἐς τοὺς Εἵλωτας πράσσειν τὶ αὐτόν. Καὶ ἦν δὲ οὕτως· ἐλευθέρωσίν τε γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι, καὶ τὸ πᾶν ξυγκατεργάσωνται. Ἀλλ' οὐδ' ὣς οὐδὲ τῶν Εἱλώτων μηνυταῖς τισι πιστεύσαντες, ἠξίωσαν νεώτερόν τι ποιεῖν ἐς αὐτόν·

pugna Plataeensi imprimis clari, et Lacedaemoniorum in

132. τιμὴν ἔχοντα. Plistarchi, fratris patruelis, ἐπίτροπος erat, ut statim subiicit Auctor.

ἐλεγεῖον. Ita propter metrum haec inscriptio vocatur. (Est enim Distichon heroici hexametri et pentametri.

καὶ ἐπεὶ γε δὴ ἐν τούτῳ. Codd. Reg. Cl. Gr. Cass. Aug. Bas. et quatuor Pariss. omittunt γέ, quod h. l. non solum apte adhibetur, sed etiam, quomodo a librario oriri potuerit, non facile intelligitur. Cum tamen melioris notae codices ignorent, uncis inclusi.

χρώμενοι τῷ τρόπῳ, ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτούς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς Σπαρτιάτου, ἄνευ ἀναμφισβητήτων τεκμηρίων, βουλεῦσαί τι ἀνήκεστον· πρίν γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων τὰς τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον κομιεῖν, ἀνὴρ Ἀργίλιος, παιδικά ποτέ ὢν αὐτοῦ, καὶ πιστότατος ἐκείνῳ, μηνυτὴς γίγνεται· δείσας κατὰ ἐνθύμησίν τινα, ὅτι οὐδείς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέλων πάλιν ἀφίκετο· καὶ παραποιησάμενος σφραγῖδα, ἵνα, ἢν ψευσθῇ τῆς δόξης, ἢ καὶ ἐκεῖνός τι μεταγράψαι αἰτήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολάς· ἐν αἷς ὑπονοήσας τὶ τοιοῦτον προσεπεστάλθαι, καὶ αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν.

133. Τότε δὴ οἱ Ἔφοροι, δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τὶ λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου, ἐπὶ Ταίναρον ἱκέτου οἰχομένου, καὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην, ἐς ἣν τῶν [τε] Ἐφόρων ἐντὸς τινὰς ἔκρυψε,

ea ulciſcenda ſeveritas copioſius explicatur, usque ad

ἀνὴρ Ἀργίλιος. Non proprium nomen eſt, ſed gentile, ab urbe Macedoniae, Argilo. cf. 4, 103. — *πιστότατος ἐκείνῳ*, cui ille fidem maxime habebat, quem fideliſſimum putabat.

τὶ μεταγράψαι. Ita ſcribi iubent plurimi codices, pro *μεταγράψαι τί.*

133. *Τότε δὴ οἱ Ἔφοροι.* Vulgatum *τόδε δή* ita ex codd. correxit Kiſtemakerus. — *ἐπὶ Ταίναρον ἱκέτου.* Ante haec verba poſui comma, quia haec quoque pars erat *παρασκευῆς*, ut Argilius ſupplex in aſylum Taenarium confugeret, quaſi ſupplicium perfidiae a Pauſania metuens, necdum re ad Ephoros delata. Erat autem in promontorio Taenario, teſte Pauſania in Lacon. p. 108., templum ſpeluncae ſimile, in cuius primo aditu Neptuni ſignum erat. Vid. Gottleber. ad h. l. — *διπλῆν διαφράγματι καλύβην*, intelligo unum tugurium duplici exſtructum pariete.

ἐς ἣν τῶν [τε] Ἐφόρων. Particulam *τέ*, quae totius loci ſtructuram valde turbat, neque habet, quo referatur, uncis incluſi. Saepenumero inepte additur a librariis, ut 1, 43. 58., maxime ubi *καί* ſequitur. Vid. 1, 49. *Οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντο [τε], καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν.* 1, 67 med. *τῶν ξυμμάχων τε καὶ εἴ τις τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων.* 1, 109. *τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους.* 1, 118

καὶ Παυσανίου ὡς αὐτὸν ἐλθόντος, καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας, ᾔσθοντο πάντα σαφῶς, αἰτιωμένου τοῦ ἀνθρώπου τά τε περὶ αὐτοῦ γραφέντα, καὶ τἄλλα ἀποφαίνοντος καθ' ἕκαστον, ὡς οὐδὲν πώποτε αὐτὸν ἐν ταῖς πρὸς βασιλέα διακονίαις παραβάλοιτο, προτιμηθείη δ' ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν· κἀκείνου αὐτά τε ταῦτα ξυνομολογοῦντος, καὶ περὶ τοῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ διδόντος τῆς ἀναστάσεως, καὶ ἀξιοῦντος ὡς τάχιστα πορεύεσθαι, καὶ μὴ τὰ πρασσόμενα διακωλύειν.

134. *Ἀκούσαντες δὲ ἀκριβῶς, τότε μὲν ἀπῆλθον οἱ Ἔφοροι· βεβαίως δὲ ἤδη εἰδότες, ἐν τῇ πόλει τὴν ξύλληψιν ἐποιοῦντο. Λέγεται δ' αὐτὸν, μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ, ἑνὸς μὲν τῶν Ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐχώρει· ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου, καὶ δηλώσαντος*

cap. 134 — 135. Cum de Medifmo Paufaniae egiffet Auctor, ob argumenti fimilitudinem ad Themiftoclem Athenienfem transit, quem Lacedaemonii eo ipfo tem-

init. *τῆς τε Ξέρξου ἀναχωρήσεως, καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου.* Cf. 1, 137 init. 6, 17. Omnibus his locis vulgaria exemplaria *τέ* exhibent; codices meliores, Thucydidis ufus et vero nonnumquam ipfa ratio damnant. Contra aliis in locis *τέ* negligentia librariorum omiffum eft in deterioribus libris, ut 1, 39. 79. 134. 2, 60. Hoc noftro loco codices quidem omnes *τέ* fervant, tamen nullus dubito, quin exemplis primo loco a me allatis annumerandus fit. Quam coniecturam cum fperaffem me primum effe prolaturum, a Poppone mihi praereptam cognovi. Deleto *τέ*, verbum *ᾔσθοντο* coniungi poteft cum *αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι,* quae verba, illa particula fervata, tempore finito carent.

παραβάλοιτο, *fruftratus fit, deceperit.* Haec vis voc. *παραβάλλεσθαι* fatis ftabilita eft veterum Grammaticorum, Suidae, Hefychii, Thomae Mag. Euftathii teftimoniis, quae vide apud Duckerum.

πίστιν ἐκ τοῦ ἱεροῦ διδόντος τῆς ἀναστάσεως. Iunge *διδόντος πίστιν τῆς ἀναστάσεως ἐκ τοῦ ἱεροῦ,* i. e. firmavit fidem, liberam ex templo reditionem, vel reditum tutum ei fe praeftiturum, nullum periculum fore degreffo.

134. *ἄλλου δὲ νεύματι ἀφ. χρησ.* Nepos Pauf. cap. 5. „E vultu cuiusdam Ephori, qui eum admonere cupiebat, infidias fibi

εὐνοίᾳ, πρὸς τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ, καὶ προκαταφυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος. Καὶ ἐς οἴκημα οὐ μέγα, ὃ ἦν τοῦ ἱεροῦ, ἐςελθὼν, ἵνα μὴ ὑπαίθριος ταλαιπωροίη, ἡσύχαζεν. Οἱ δὲ, τὸ παραυτίκα μὲν ὑστέρησαν τῇ διώξει· μετὰ δὲ τοῦτο, τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον, καὶ τὰς θύρας, ἔνδον ὄντα τηρήσαντες αὐτὸν, καὶ ἀπολαβόντες εἴσω, ἀπῳκοδόμησαν· προςκαθεζόμενοί τε, ἐξεπολιόρκησαν λιμῷ. Καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν, ὥςπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοί τε ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα, καὶ ἐξαχθεὶς ἀπέθανε παραχρῆμα. Καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν, οὗπερ τοὺς κακούργους εἰώθασιν, ἐμβάλλειν· ἔπειτα ἔδοξε

pore, quo Pausaniae proditionem cognoverant, eiusdem criminis apud Athenienses accusarunt. Qui cum Themi-

fieri intellexit." — *δηλώσαντος*, int. *τὸ ἔργον αὐτῷ*.

καὶ ἐς οἴκημα οὐ μέγα. *Ἱερόν* et *τέμενος* synonyma sunt, ab his autem discernitur *ναός*, qui in *ἱερῷ* esse solet. V. Thucyd. 4, 90 ibique Duckerus. Etiam nostro loco plerique *οἴκημα* de templo Minervae *Χαλκιοίκου* acceperunt; Bredovius autem recte monuit, verba Thucydidis non hoc celeberrimum templum, sed aliud quoddam aedificium, quod in *ἱερῷ* erat, indicare videri, quamvis et Diodorus Sic. XI, 45. et Cornelius Nepos Paus. c. 5. de templo intellexerint. Pausanias certe (17, 6.) *σκήνωμα* ibi fuisse commemorat. De aede ne accipias, articuli quoque defectus monet.

ἀπολαβόντες εἴσω, intus coërcentes, *μονώσαντες*. — *ἀπῳκοδόμησαν τὰς θύρας*, *τειχίσαντες ἀπέφραξαν*. Diodor l. c. dicit: *ἐνοικοδομῆσαι τὴν εἴσοδον*. — *ἐξεπολιόρκησαν* v. ad c. 131.

αἰσθόμενοί τε ἐξάγουσιν. Optimi libri addunt *τέ* post *αἰσθόμενοι*, quod recepi. Vid. ad cap. 133. Mox Thucydidis libri plerique omnes scripturam *ἐς τὸν Καιάδαν* tuentur, cuius loco Duckerus *Κεάδαν* reposuerat. *Ὁ Καιάδας* vel *Κεάδας* locus erat in Laconica, quo facinorosos et perditos cives deiiciebant. Simile est Atheniensium *βάραθρον*. Nomen fortasse derivandum est a *κεάζω*, quod erat ruptura terrae dehiscentis.

οὗπερ τοὺς κακούργους εἰώθασιν, ἐμβάλλειν. Vulgo legebatur: *οὗπερ τοὺς κακούργους ἐμβάλλειν εἰώθεσαν*. Quo verborum ordine cum *ἐμέλλησαν* infinitivo careret, et verba *ἐμβάλλειν εἰώθεσαν* in codd. plerisque sedem suam inter se mutarent, in Reg. etiam recentiore manu verbum *εἰώθεσαν* adscriptum esset: Bredovius *εἰώθεσαν* deleri iussit. Cuius argumenta accurate refellit Poppo, qui Kistemakeri rationem secutus ordinem duorum vocabulorum mutavit, sed pro *εἰώθεσαν* ex no-

πλησίον που κατορύξαι. Ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς τόν τε τάφον ὕστερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν, οὗπερ ἀπέθανε, (καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δηλοῦσι) καὶ, ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον, δύο σώματα ἀνθ᾽ ἑνὸς τῇ Χαλκιοίκῳ ἀποδοῦναι. Οἱ δὲ, ποιησάμενοι χαλκοῦς ἀνδριάντας δύο, ὡς ἀντὶ Παυσανίου ἀνέθεσαν.

135. Οἱ δὲ Ἀθηναῖοι, ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέταξαν τοῖς Λακεδαιμονίοις ἐλαύνειν αὐτό. Τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ξυνεπῃτιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ

ſtoclem, tum temporis oſtraciſmo exſulem, perſequerentur,

vem codd. repoſuit *εἰώθασι*, quia inſtituta Lacedaemoniorum Thucydidis temporibus adhuc vigerent. Certe in ſimili re 5, 60. de Argivorum inſtitutis Scriptor noſter praeſenti *κρίνουσι* utitur. Item 2, 34. *θάπτουσιν*. *Εἰώθασι* mutari potuit in *εἰώθεσαν* propter antecedens *ἐμέλλησαν*. Benedictus eandem lectionem probavit, quam etiam nos recepimus. Simillimus locus eſt 7, 47 extr. *Καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι, πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι, ἢ Συρακουσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι, χειρώσασθαι.* Ubi item ante *χειρώσασθαι* comma ponendum, et hoc verbum bis intelligendum eſt. Cf. ad 7, 63. Sed ne quid diſſimulem, Nepos l. l. Bredovii ſententiam, etiam per ſe ſatis probabilem, videtur confirmare.

πλησίον που. Prope quem locum? Ceadamne, an illum locum, ubi animam efflavit? Illud ne Nepos quidem videtur ſenſiſſe, ſcribens: „displicuit pluribus, et procul ab eo loco infoderunt, quo erat mortuus." Etſi *πλησίον* minus perſpicue retulit ad eum locum, ubi mortuus erat Pauſanias; quae tamen Thucydidis ſententia videtur eſſe. Diodorus l. c. tradit, corpus defuncti propinquis ſepeliendum eſſe conceſſum.

δύο σώματα. Accuratius haec exponit Diodorus XI, 45 extr. *Τῶν Λακεδαιμονίων περί τινων ἄλλων ἐν Δελφοῖς χρηστηριαζομένων, ὁ θεὸς ἔδωκε χρησμὸν, κελεύων ἀποκαταστῆσαι τῇ θεῷ τὸν ἱκέτην. Διόπερ οἱ Σπαρτιᾶται τὴν μαντείαν ἀδύνατον νομίζοντες εἶναι, ἠπόρουν ἐφ᾽ ἱκανὸν χρόνον, οὐ δυνάμενοι ποιῆσαι τὸ προσταττόμενον ὑπὸ τοῦ θεοῦ· ὅμως δ᾽ ἐκ τῶν ἐνδεχομένων βουλευσάμενοι, κατεσκεύασαν εἰκόνας δύο τοῦ Παυσανίου χαλκᾶς, καὶ ἀνέθηκαν εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς.* — *ἐν τῷ προτεμενίσματι*, Schol. *ἐν τῷ προπυλαίῳ.*

135. *τοῦ δὲ Μηδισμοῦ.* Ante haec verba lineolam poſui, ut quae diverſis temporibus facta ſunt, tamquam remota temporibus inter ſe cognoſcerentur. Multo enim poſt, quam Lacedaemonii Themiſtoclem incuſaverant, Athenienſes ab Lacedaemoniis poſtularunt, ut piaculum tollerent.

Παυσανίαν ἐλέγχων· ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. Οἱ δὲ, πεισθέντες (ἔτυχε γὰρ ὠστρακισμένος, καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμπουσι μετὰ τῶν Λακεδαιμονίων, ἑτοίμων ὄντων ξυνδιώκειν, ἄνδρας οἷς εἴρητο ἄγειν, ὅπου ἂν περιτύχωσιν.

136. Ὁ δὲ Θεμιστοκλῆς, προαισθόμενος, φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης. Δεδιέναι δὲ φασκόντων τῶν Κερκυραίων ἔχειν αὐτὸν, ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ᾽ αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. Καὶ διωκόμενος ὑπὸ τῶν προστεταγμένων, κατὰ πύστιν ᾗ χωροίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν· ὁ δὲ, τῆς γυναικὸς ἱκέτης γενόμενος, διδάσκεται ὑπ᾽ αὐτῆς τὸν παῖδα σφῶν λαβὼν καθίζεσθαι ἐπὶ τὴν ἑστίαν. Καὶ

136. ille iis evaſit, ex Peloponneſo Corcyram, inde ad Moloſſorum regem Admetum fugiens, et ab eo fideliter

τοῖς αὐτοῖς κολάζεσθαι, i. e. ſummo ſupplicio. Nam Pauſaniam, cum alio modo non poſſent, fame interimendum curarunt.

136. ὢν αὐτῶν εὐεργέτης. Disſuaſerat nempe Graecis, ne Corcyraeos aliasque civitates ob negatum contra Perſas auxilium bello perſequerentur, ut Schol. ad h. l. tradit.

κατὰ πύστιν ᾗ χωροίη. Vulgo οἷ χωροίη. Noſtra lectio nititur conſenſu plurimorum codicum.

αὐτῷ οὐ φίλον. Cauſam mox affert Auctor, quod ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ. Ceterum Diodorus Sic. XI, 54-58. ab hac Thucydidis relatione multis in rebus abit; quo comparando diſces, quid a gravi rerum geſtarum auctore differat is, qui compta oratione ſtudet ornare hiſtoriam; quamquam Diodorum multa ex aliis fontibus non ſpernendis hauſiſſe manifeſtum eſt. Nonnulla tamen adiecta invenies, de quorum fide dubitari poſſit, ut cap. 55. de communi Graecorum iudicio, ὅπερ εἰώθει συνεδρεύειν [ἐν τῇ Σπάρτῃ] κατ᾽ ἐκεῖνον τὸν χρόνον. Nepos quidem Thucydidem ſequitur, ne hoc quidem diverſe tradens (Them. c. 8.), Themiſtocli hoſpitium fuiſſe cum Admeto; nam hoc facile cum Thucydidis narratione conciliari poteſt. Sed paullo poſt habet: *filiam eius parvulam arripuit,*" haud dubie memoria lapſus. — καταλῦσαι proprie de iis, qui curru vecti aliquo devertunt, dicitur; h. l. ſimpliciter eſt καταφυγεῖν.

ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ Ἀδμήτου, δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ ἀξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι. Καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενεστέρου ἐν τῷ παρόντι κακῶς πάσχειν· γενναῖον δὲ εἶναι, τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι· καὶ ἅμα, αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς, καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι, ἐναντιωθῆναι, ἐκεῖνον δ' ἂν, εἰ ἐκδοίη αὐτὸν, (εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται) σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι. Ὁ δὲ ἀκούσας, ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, ὥςπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο· καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο.

137. Καὶ ὕστερον οὐ πολλῷ τοῖς [τε] Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι, καὶ πολλὰ εἰποῦσιν, οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει, βουλόμενον ὡς βασιλέα πορευθῆναι, ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ, ἐς Πύδναν τὴν Ἀλεξάνδρου. ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας, καὶ ἐπιβὰς, καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον, ὃ ἐπολιόρκει Νάξον· καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηΐ) δείσας φράζει τῷ ναυκλήρῳ, ὅςτις ἐστὶ, καὶ δι' ἃ φεύγει· καὶ, εἰ μὴ σώσει αὐτὸν,

ſervatus. 137. Hinc terra Pydnam profectus, in Aſiam ad regem transiturus, navem conſcendit, et vitato aegre

ὑπ' ἐκείνου πολλῷ ἀσθενεστέρου. Hanc codicum paene omnium ſcripturam, quam etiam Scholiaſta invenit, cum ita iungat: *ὑπὸ πολλῷ ἐκείνου ἀσθενεστέρου*, tentarunt plerique interpretes, Duckerus, Reiskius, Kiſtemakerus, Bauerus, Benedictus, alii *ἀσθενέστερον*, alii aut hoc, aut *ἀσθενέσθερος* legendum cenſentes. Sane *ἀσθενέσθερος*, quod in cod. Gr. a ſecunda manu eſt, niſi librorum auctoritate deſtitutum eſſet, praeferrem. Nunc a vulgata lectione, quae contortior quidem, ſed Noſtro ſatis conſueta, neque ab eius conſilio aliena eſt, recedere nolui. „Etenim nunc quidem ſe malo affici poſſe ab iis, qui multo imbecilliores eſſent illo (Admeto)." — Etiam infra *ἐκεῖνον δ' ἂν* ſervo; Kiſtemakerus volebat *ἐκεῖνον δ' αὖ*. — *χρείας τινός*, ſnt. *περί*.

μέγιστον ἦν ἱκέτευμα τοῦτο, apud Moloſſos ſcilicet. Ante *καί* colon poſui pro commate.

137. *τοῖς τε Λακεδαιμονίοις.* Boni codices ignorant *τέ*. vid. ad c. 133. — *ὃ ἐπολιόρκει Νάξον*, quae tum ab Athenienſibus defecerat. Cf. c. 98.

ἔφη ἐρεῖν, ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ ἀσφάλειαν εἶναι, μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς, μέχρι πλοῦς γένηται· πειθομένῳ δ' αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν. Ὁ δὲ ναύκληρος ποιεῖ τε ταῦτα, καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ στρατοπέδου, ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. Καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει, (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων, καὶ ἐξ Ἄργους, ἃ ὑπεξέκειτο,) καὶ μετὰ τῶν κάτω Περσῶν τινὸς πορευθεὶς ἄνω, ἐςπέμπει γράμματα ἐς βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου, νεωστὶ βασιλεύοντα. Ἐδήλου δ' ἡ γραφὴ, ὅτι „Θεμιστοκλῆς ἥκω παρὰ σὲ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκῃ ἠμυνόμην· πολὺ δ' ἔτι πλείω ἀγαθὰ, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. „Καί μοι εὐεργεσία ὀφείλεται, (γράψας τήν τε ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως, καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προςεποιήσατο τότε, δι' αὐτὸν οὐ διάλυσιν) καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι,

periculo ad Naxum, quo tempeſtate actus erat, in Athenienſium manus incidendi, venit Epheſum, unde litteras

ἀποσαλεύσας, ἐν τῷ σάλῳ τηρήσας. Nepos l. c. „diem noctemque procul ab inſula navem tenuit."

καὶ μετὰ τῶν κάτω Περσῶν τινός. Hominis nomen Lyſithides erat, de cuius opibus multus eſt Diodorus l. c. cap. 56. et paene incredibilia narrat, ſcilicet univerſum Xerxis exercitum convivio ab eo exceptum fuiſſe. — Mox pro *ἐς βασιλέα* alii codices πρός, alii ὡς praebent, quae ſunt interpretamenta. Vulgatum εἰς (vel potius ἐς, quae forma Thucydidi ubique reſtituenda eſt) plerique libri tuentur.

τὸν σὸν πατέρα — ἠμυνόμην. Nepos Themiſt. c. 9. „Cum mihi neceſſe fuit, adverſus patrem tuum bellare." Quia autem improprie Themiſtoclem Xerxes aggreſſus eſſe dicatur, Matthiae legere volebat: ἐμοὶ ἀνάγκη ἀμύνειν ἦν. In quo veram Thucydidis manum non agnoſco.

γράψας — δι' αὐτὸν οὐ διάλυσιν. *Γράψας* abſolute dictum eſt pro ἔγραψε γάρ, quod in parentheſibus (ubi Auctor ſua verba verbis loquentium interponit) fieri ſolet. Cf. c. 136. εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται. — *προάγγελσιν τῆς ἀναχωρήσεως*. Herodot. 8, 75. narrat ſtrategema Themiſtoclis, Xerxi per litteras ſuadentis, ut Grae-

πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. Βούλομαι δ' ἐνιαυτὸν ἐπισχὼν, αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι.“

138. Βασιλεὺς δὲ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν, καὶ ἐκέλευσε ποιεῖν οὕτως. Ὁ δ' ἐν τῷ χρόνῳ, ὃν ἐπέσχε, τῆς τε Περσίδος γλώσσης, ὅσα ἠδύνατο, κατενόησε, καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας· ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτόν. γίγνεται παρ' αὐτῷ μέγας, καὶ ὅσος οὐδείς πω Ἑλλήνων, διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν, καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν· μάλιστα δὲ ἀπὸ τοῦ, πεῖραν διδοὺς, ξυνετὸς φαίνεσθαι. Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τὶ ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. Οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν, οὔτ' ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ χεῖρας

regi Artaxerxi misit. 138. Quas cum rex benigne ex-

cos, prae timore iam fugam parantes, intra Salaminium fretum cito aggrederetur, ne inde effugerent, ubi victoria regi esset parvo parabilis. Ergo de fuga *Graecorum*, quam simulabat Themistocles, sermo est; non de Xerxis domum reditione, quam cum Heilmanno intelligebat et defendebat Bredovius. Mox Wyttenbachius comma ante τότε poni iussit, ut τότε iungeretur cum οὐ διάλυσιν, quod esset: τὸ μὴ διαλυθῆναι τότε τὰς γεφύρας. Non placet. Nam Auctor particula illa adiecta innuit, non hoc tempore, neque in epistola ea, cuius argumentum refert, Themistoclem hoc simulasse, sed in illa epistola, quam tum scripsisset, cum rex ad Hellespontum recederet. Vide eam apud Herodot. 8, 110. — δι' αὐτόν revocavi, cum Gottleberus ex uno cod. Aug. recepisset δι' αὐτὸν. c. 136. αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς — ἐναντιωθῆναι· ἐκεῖνον δ' ἂν, εἰ ἐκδοίη αὐτὸν, σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι.

138. τῶν ἐπιτηδευμάτων, τῶν ἐθῶν. Aliam annuum spatium commorandi caussam fingit Scholiasta, nempe ut exspectaret, an ab Atheniensibus revocaretur. Parum verisimile hoc est.

ἣν ὑπετίθει αὐτῷ δουλώσειν, int. αὐτό, i. e. τὸ Ἑλληνικόν. Ita mox ἄξιος θαυμάσαι, pro ἄξιος ὥστε θαυμάσαι αὐτόν, quod sensu non differt a θαυμασθῆναι ἄξιος. — αὐτῷ, τῷ βασιλεῖ. — πεῖραν διδούς, cum exemplum *daret*, non dedisset.

τοῦ γενησομένου. Etiam h. l. infeliciter tentabat Mat-

ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό, τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα, καὶ τὸ ξύμπαν εἰπεῖν. φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. Νοσήσας δέ, τελευτᾷ τὸν βίον. Λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι, βασιλεῖ ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ, ἐν τῇ ἀγορᾷ. Ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ, Μαγνησίαν μέν, ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ· Λάμψακον δέ, οἶνον· (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι·) Μυοῦντα δέ, ὄψον. Τὰ δὲ ὀστᾶ φασὶ κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε, κελεύσαντος ἐκείνου, καὶ τεθῆναι, κρύφα Ἀθηναίων, ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν, ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. Τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμ-

cepiſſet, ſequenti anno ipſe regem convenit. De Themiſtoclis ingenio excellenti Thucydidis iudicium. Mortuus

thiae: *ἐκ τοῦ γενομένου* pro *τοῦ γενησομένου*, ut ſcilicet tautologia vitetur. Sed *τὰ μέλλοντα* latius patet, quam *τὸ γενησόμενον*, quod pars illius eſt; ſiquidem futuris rebus et eas annumeramus, quae poſſunt quidem fieri, nec tamen ſemper re vera fiunt, i. e. eventus rerum obſcuros; *τὸ γενησόμενον* autem eſt, quod certo impendet, certum exitum habet. — Ceterum cum in tota periodo verbum ſubſtantivum deeſſet, maiores diſtinctiones poſt *εἰκαστής* et *ἀπήλλακτο* mutavi in minores, ut *ἐγένετο* etiam ad priora membra aliquatenus referri poſſit.

κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο, non deſtitutus erat facultate probabiliter iudicandi. — *ἐξηγήσασθαι* eſt *regere, gubernare.*

Μαγνησίᾳ τῇ Ἀσιανῇ. Erant in Aſia minore duae Magneſiae, altera ad Sipylum montem, altera haec, quae Themiſtocli donabatur. Praeterea in Theſſalia erat urbs Magneſia. — *Myus* in Ionia ſita erat. — *πολυοινότατον*, int. *χωρίον.*

τὰ δὲ ὀστᾶ φασὶ κομισθῆναι αὐτοῦ οἱ προσήκοντες. Nepos quidem Themiſt. 10. habet: „oſſa eius clam in Attica ab amicis eſſe ſepulta.“ Neque aliter interpres Latinus. Sed Thucydides hoc vult: *propinquos Themiſtoclis tradere*, oſſa eius, ſicut ipſe iuſſiſſet, domum transportata eſſe, et in Attica condita, clam Athenienſibus.

κροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησε.

139. Λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοιαῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρὰ Ἀθηναίους, Ποτιδαίας τε ἀπανίστασθαι ἐκέλευον, καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι. Καί μάλιστά γε πάντων καὶ ἐνδηλότατα προὔλεγον, τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γίγνεσθαι πόλεμον· ἐν ᾧ εἴρητο, αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων ἀρχῇ, μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ. Οἱ δὲ Ἀθηναῖοι οὔτε τἄλλα ὑπήκουον, οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς ἱερᾶς, καὶ τῆς ἀορίστου, καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων. Τέλος δέ, ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακεδαίμονος, Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου, καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε, ὅτι Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι, εἴη δ' ἄν, εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε· ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι, γνώμας

eſt morbo. Regis beneficia in eum collata. 139. Praeter piacula ultro citroque obiecta, Lacedaemonii deinceps poſtulabant, ut Athenienſes a Potidaea abſiſterent, Aeginamque liberam relinquerent; maxime vero, ut legem de

- 139. *παρὰ Ἀθηναίους.* Ita ſcripſi pro *παρ' Ἀθην.*, ut inferius *οἱ δὲ Ἀθηναῖοι*, plene, bonos libros ſecutus. Sed haec leviora ſunt, quam ut ubique memorentur. Quare tacite nonnumquam librorum fidem ſequemur. — In verbis *μὴ ἂν γίγνεσθαι πόλεμον* cum Benedicto praetulimus praeſentis infinitivum vulgato *γενέσθαι*. cf. c. 140.

τῆς γῆς τῆς ἱερᾶς. Intelligendus ager Cereris Eleuſiniae et Proſerpinae inter Atticam et Megaridem. Idem hic, monente Scholiaſta, certe pars eius, dicitur *ἀόριστος*; cuius denominationis rationem Scholiaſta mihi non probavit. Multo ſimplicius videtur intelligere agrum, cuius fines non accurate conſtituti ſint, quare in confiniis arare religio erat.

ἀνδραπόδων ὑποδοχήν: Ariſtophanes rem attingit, in ludibrium Periclis, Acharn. 525. *οἱ Μεγαρῆς Ἀνέκλεψαν Ἀσπασίας πόρνα δύο. Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατεῤῥάγη.*

εἰ τοὺς Ἕλληνας — ἀφεῖτε. In pluribus libris legitur *ἀφῆτε*, probante Benedicto. Sed

σφίσιν αὐτοῖς προὐτίθεσαν· καὶ ἐδόκει, ἅπαξ, περὶ ἁπάντων βουλευσαμένους, ἀποκρίνασθαι. Καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον, ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις, καὶ ὡς χρὴ πολεμεῖν, καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης, ἀλλὰ καθελεῖν. Καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρῄνει τοιάδε.

140. „ΤΗΣ μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι, μὴ εἴκειν Πελοποννησίοις· καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν, καὶ ἐν τῷ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. Ὁρῶ δὲ καὶ νῦν ὅμοια καὶ παραπλήσια ξυμβουλευτέα μοι ὄντα, καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ, τοῖς κοινῇ δόξασιν, ἢν ἄρα τι καὶ σφαλώμεθα, βοηθεῖν. ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι. Ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου· διόπερ καὶ τὴν τύχην, ὅσα ἂν παρὰ λόγον ξυμβῇ, εἰώθαμεν αἰτιᾶσθαι.

Megarensibus, qua his omnibus portibus Athenienſium interdictum erat, abolerent. Quorum nihil fecerunt Athenienſes, firmati a Pericle, inter aequales ſuos et eloquentiſſimo et potentiſſimo. Is oratione 140 — 144 oſten-

licet, coniunctivo recepto, non opus ſit, cum depravatis libris Ar. C. Dan. εἰ in ἢν mutare (vid. ad 5,77); vulgatam tamen adhuc ſervavimus, ut in re parum explorata, praeſertim cum ex octo illis codd., a Gailio nuper collatis, unus tantum a vulgata abeat. Inferius ἀποκρίνασθαι e Mſſ. dedimus pro ἀποκρίνεσθαι.

140. οὐ τῇ αὐτῇ ὀργῇ — τρεπομένους. Eandem fere ſententiam explicat 1, 78 med. 120 extr.

ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι. Commata, quibus participium κατορθοῦντας incluſum erat, ſuſtuli, etſi peius etiam alii poſt κατορθοῦντας tantum diſtinguebant. Sententia eſt: Aequum cenſeo, eos veſtrum, quibus a me perſuaſum fuerit, ſi qua forte in re offendamus, communiter decretis opitulari: alioqui ne proſpero quidem eventu gaudentes prudentiam ſibi vindicare.

παρὰ λόγον. Vulgo παραλόγως. Illud cum Bredovio et Benedicto ex optimis libris recepimus. — Mox item e codd. dedimus διαφορῶν pro διαφόρων. Cf. c. 146.

Λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν, καὶ νῦν οὐχ ἥκιστα. Εἰρημένον γὰρ δίκας μὲν τῶν διαφορῶν ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους, ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ᾔτησαν, οὔτε ἡμῶν διδόντων δέχονται· βούλονται δὲ πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι, καὶ ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι πάρεισι. Ποτιδαίας τε γὰρ ἀπανίστασθαι κελεύουσι, καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι, καὶ τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν· οἱ δὲ τελευταῖοι οἵδε ἥκοντες, καὶ τοὺς Ἕλληνας προαγορεύουσιν αὐτονόμους ἀφιέναι. Ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ βραχέως ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν, ὅπερ μάλιστα προὔχονται, εἰ καθαιρεθείη, μὴ ἂν γίγνεσθαι τὸν πόλεμον· μηδ' ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε, ὡς διὰ μικρὸν ἐπολεμήσατε. Τὸ γὰρ βραχύ τι τοῦτο πᾶσαν ὑμῶν ἔχει τὴν βεβαίωσιν καὶ πεῖραν τῆς γνώμης. οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε, ὡς φόβῳ καὶ τοῦτο ὑπακούσαντες· ἀπισχυρισάμενοι δέ, σαφὲς ἂν καταστήσητε αὐτοῖς, ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσφέρεσθαι.

141. „Αὐτόθεν δὴ διανοήθητε, ἢ ὑπακούειν πρίν

dit, opibus et copiis Athenienſes Peloponneſiis eſſe ſu-

τὸ Μεγαρέων ψήφισμα i. e. populi ſcitum de Megarenſibus, de quo c. 139, ubi plenius dictum eſt περὶ Μεγαρέων. — *οἱ δὲ τελευταῖοι οἵδε* ſunt legati Lacedaemoniorum, qui cum ultimis mandatis venerant. Vid. c. 139.

ὅπερ μάλιστα προὔχονται. Comma poſt ὅπερ delevi, quia abſurdum videbatur curare, ut remotius membrum ſubiecto ne careat, prius ἀσύνδετον relinquero. — Paullo poſt αἰτίαν accipio pro αἰτιάσει, ut ſupra 1, 39. infra cap. 146. 2, 18 med.

τὸ βραχύ τι τοῦτο. Adieci τί, Bauero et Benedicto ſuadentibus, undecim codicum auctoritate. Eadem moti ὑπακούσαντες repoſuimus pro ὑπακούσοντες. Nam τοῦτο ad remotius ſubiectum (τὸ βραχύ τι τοῦτο) referendum eſt, non ad propius ἄλλο τι μεῖζον. Cf. Poppo p. 158, qui praeterea pro καταστήσητε legendum cenſet aut καταστήσαιτε, aut καταστήσετε, quorum utrumque in tribus vel quatuor codd. reperitur. Equidem nihil muto, cum plerique codd. in vulgata perſtent, neque veriſimile ſit, tot codices a trita via caſu receſſiſſe. Cf. dicta ad 1, 84. — *ἀπισχυρισάμενοι*, ἰσχυρῶς ἀπαγορεύσαντες.

τι βλαβῆναι, ἢ εἰ πολεμήσομεν (ὥσπερ ἔμοιγε ἄμεινον δοκεῖ εἶναι) καὶ ἐπὶ μεγάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προφάσει μὴ εἴξοντες, μηδὲ ξὺν φόβῳ ἕξοντες, ἃ κεκτήμεθα. Τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. Τὰ δὲ τοῦ πολέμου καὶ τῶν ἑκατέροις ὑπαρχόντων ὡς οὐκ ἀσθενέστερα ἕξομεν, γνῶτε καθ' ἕκαστον ἀκούοντες. Αὐτουργοί τε γάρ εἰσι Πελοποννήσιοι, καὶ οὔτε ἰδίᾳ, οὔτε ἐν κοινῷ χρήματά ἐστιν αὐτοῖς· ἔπειτα, χρονίων πολέμων καὶ διαποντίων ἄπειροι, διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπιφέρειν. Καὶ οἱ τοιοῦτοι, οὔτε ναῦς πληροῦντες, οὔτε πεζὰς στρατιὰς πολλάκις ἐκπέμπειν δύνανται, ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες, καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες, καὶ προσέτι καὶ θαλάσσης εἰργόμενοι. Αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον, ἢ αἱ βίαιοι ἐσφοραὶ, ἀνέχουσι. σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων, ἢ χρήμασι πολεμεῖν, τὸ μὲν, πιστὸν ἔχοντες ἐκ τῶν

periores, propter navium et pecuniae multitudinem,

141. ἢ εἰ πολεμήσομεν. Assentior Kistemakero, εἰ per an exponenti, ut mutata oratione dicat εἰ πολεμήσομεν pro πολεμεῖν, quod antecedenti ὑπακούειν magis conveniat. Aliter enim infinitivum desideres, qui τῷ ὑπακούειν respondeat. Hac autem interpretatione admissa, comma post ἢ expungendum erat. Alii ex verbis εἰ πολεμήσομεν subaudiunt πολεμεῖν. — In verbis paullo post sequentibus ἥ τε μεγίστη καὶ ἡ ἐλαχίστη δικαίωσις articulum ἡ posteriore loco eiici iubent decem codices. Vid. ad 1, 71. — δικαίωσις est postulatio. πρὸ δίκης, antequam de iure disceptetur. δύνασθαι autem h. l. est significare, ostendere, indicare.

αὐτουργοὶ γάρ, Schol. δι' ἑαυτῶν τὴν γῆν ἐργαζόμενοι, σπάνει δούλων. Lacedaemonii tamen Helotum opera in agris colendis utebantur. — ἐν κοινῷ, int. ταμιείῳ, quod de singularum civitatum thesauris intelligendum est.

διὰ τὸ βραχέως — ἐπιφέρειν. Subaudiendum πόλεμον vel πολέμους. Bella sibi invicem ipsi inferunt, et ob paupertatem per breve tempus gerunt.

ἀπὸ τῶν αὐτῶν δαπανῶντες. Spartani cives in bello non publice, sed suis sumptibus alebantur, quod molestissimum erat tum, cum domo aberant. — βίαιοι ἐσφοραί, tributorum violenta exactio.

χρήμασι πολεμεῖν, i. e. pecunia contribuenda, quae ad bellum necessaria sit.

κινδύνων κἂν περιγενέσθαι· τὸ δὲ, οὐ βέβαιον, μὴ οὐ προαναλώσειν, ἄλλως τε κἂν παρὰ δόξαν, ὅπερ εἰκὸς, ὁ πόλεμος αὐτοῖς μηκύνηται. Μάχῃ μὲν γὰρ μιᾷ πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἀντισχεῖν, πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι, ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι παραχρῆμά τι ὀξέως ἐπιτελῶσι, πάντες τε ἰσόψηφοι ὄντες, καὶ οὐχ ὁμόφυλοι, τὸ ἐφ' ἑαυτὸν ἕκαστος σπεύδῃ· ἐξ ὧν φιλεῖ μηδὲν ἐπιτελὲς γίγνεσθαι. Καὶ γὰρ οἱ μὲν ὡς μάλιστα τιμωρήσασθαί τινα βούλονται, οἱ δὲ, ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι· χρόνιοί τε ξυνιόντες, ἐν βραχεῖ μὲν μορίῳ σκοποῦσί τι τῶν κοινῶν, τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσι, καὶ ἕκαστος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν, μέλειν δέ τινι καὶ

quam cum hostium inopia comparat. Hortatur Athe-

μὴ οὐ προαναλώσειν, nempe priusquam bello finem imposuerint. Ad *οὐ βέβαιον* repete ex antecedentibus *ἔχοντες*.

πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντ. pro *πρὸς μὴ ὁμοίαν*. Eiusmodi negationis transpositionis exempla praeter 1, 91 extr. *μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς* Poppo p. 61. attulit haec duo: 3, 57. *εἰ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα.* 3, 67. *ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσιν.*

ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι — ἐπιτελῶσι. Hunc locum Poppo l. c. iis adnumerat, ubi negatio et ad participium, et ad verbum finitum simul referenda sit. Vid. 1, 12. *μὴ ἡσυχάσασα αὐξηθῆναι;* cf. 4, 126. *οὔτε γὰρ τάξιν ἔχοντες αἰσχυνθεῖεν ἂν λιπεῖν τινὰ χώραν βιαζόμενοι.* Huc fortasse etiam referendus est locus 1, 143. *Καὶ Πελοποννησίοις, ὑπὲρ αὐτῶν ὀργισθέντας, πολλῷ πλείοσι μὴ διαμάχεσθαι.* Ubi *μή* etiam ad *ὀργισθέντας* pertinet. 3, 11. *τὸ μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται.*

Quae praeterea in hoc loco mutanda censet vir doctissimus, *τὸ ἐφ' ἑαυτῶν* pro *ἑαυτόν* (cf. 1, 17) et *σπεύδει* pro *σπεύδῃ*, ea tam certa non sunt, ut in textum inferri possint. — Ceterum *πολεμεῖν*, cum opponatur *μιᾷ μάχῃ* emphasin habet hanc, in bello obdurare, bellum diu tolerare.

καὶ οὐχ ὁμόφυλοι. Non enim Dorienses solum, sed etiam Aeoles, Achaei et Pelasgorum pronepotes in Peloponneso habitabant.

παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν. Sic capiebam: „Nemo se obfuturum putat bono publico, nisi sibi ipsi desit: *praeter sui incuriam* non aliud damnum communi saluti accidere posse existimans; sed et alium quem curare, ut sibi prospiciat.“ Sed nescio an rectius vulgo: „quisque non *propter suam negligentiam* damnum capere rempublicam putat, sed et alii cuipiam curae esse *suo loco* ei prospicere. — Paullo ante *χρόνιοι*, cunctabundi.

ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν· ὥστε τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ κοινὸν ἀθρόον φθειρόμενον.

142. „Μέγιστον δὲ, τῇ τῶν χρημάτων σπάνει κωλύσονται, ὅταν σχολῇ αὐτὰ ποριζόμενοι διαμέλλωσι· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί. Καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις, οὐδὲ τὸ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι. Τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι, ἤπου δὴ ἐν πολεμίᾳ τε, καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων· φρούριον δ' εἰ ποιήσονται, τῆς μὲν γῆς βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις, οὐ μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε, καὶ κωλύειν ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων, καὶ, ᾗπερ ἰσχύομεν, ταῖς ναυσὶν ἀμύνεσθαι. Πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας, ἢ ἐκεῖνοι ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά· τὸ δὲ τῆς θαλάσσης ἐπιστήμονας γενέσθαι, οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται. Οὐδὲ γὰρ ὑμεῖς, μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν, ἐξείργασθέ πω. Πῶς δὴ ἄνδρες γεωργοὶ, καὶ οὐ θαλάσσιοι, καὶ προσέτι οὐδὲ

nienſes, ut exemplum maiorum ſecuti, claſſibus hoſtes

ὥστε τῷ αὐτῷ — δοξάσματι. *Δόξασμα* h. l. iunctum eſt cum *ὑπὸ ἁπάντων*, quaſi eſſet *δοξασθέν*. *τῷ αὐτῷ* recte habet. Etſi enim variae ceteroquin ſententiae ſint ſociorum ſingulorum, in hoc tamen omnes convenieunt, ut ſibi quisque proſpiciendum cenſeret.

142. *κωλύσονται*, pro *κωλυθήσονται*. Hae formae ſatis frequenter permutantur. Rarior participii mutatio eſt, quam habes hoc ipſo capite in verbis: *καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι.*

ὅταν — ποριζόμενοι διαμέλλωσι, quando in otio res cunctanter quaerunt. — Vocabulum *ἐπιτείχισιν* Scholiaſta ad urbem aliquam *vicinam* refert; ſed fruſtra. Hoc enim eſt *φρούριον*, quod paullo poſt *ἐπιτειχίσει* diſerte opponit. *Ἐπιτειχίζειν* potius eſt, in finibus regionis cuiusdam, vel circa urbem munitiones exſtruere, tum ad incurſiones inde faciendas, tum ad eruptiones hoſtium arcendas. *Ἀποτείχισις* non niſi ad intercludendum hoſtem paratur. Cf. 1, 64. 65. — *τὴν μὲν, ἐπιτείχισιν.* — *αὐτομολίαις*, ſervorum ſcilicet, quos reciperent.

πλέον γὰρ — ἐμπειρίας. Verba ſic iunge: *πλέον γὰρ ἐμπειρίας τοῦ κατὰ γῆν ἡμεῖς ἔχομεν ἐκ τοῦ ναυτικοῦ, ἢ ἐκεῖνοι (ἔχουσιν) ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά.*

μελετῆσαι ἐασόμενοι, διὰ τὸ ὑφ' ἡμῶν πολλαῖς ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἄν τι δρῷεν; Πρὸς μὲν γὰρ ὀλίγας [ναῦς] ἐφορμούσας κἂν διακινδυνεύσειαν, πλήθει τὴν ἀμαθίαν θρασύνοντες· πολλαῖς δὲ εἰργόμενοι, ἡσυχάσουσι· καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται, καὶ δι' αὐτὸ καὶ ὀκνηρότεροι. Τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν, ὥςπερ καὶ ἄλλο τι, καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι.

143. „Εἴτε καὶ, κινήσαντες τῶν Ὀλυμπίασιν ἢ Δελφοῖς χρημάτων, μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων, ἐςβάντων αὐτῶν τε καὶ τῶν μετοίκων, δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει, καὶ (ὅπερ κράτιστον) κυβερνήτας ἔχομεν πολίτας, καὶ τὴν ἄλλην ὑπηρεσίαν, πλείους καὶ ἀμείνους ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. Καὶ ἐπὶ τῷ κινδύνῳ οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὑτοῦ φεύγειν, καὶ μετὰ τῆς ἥσσονος ἅμα ἐλπίδος, ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως, ἐκείνοις ξυναγωνίζεσθαι. Καὶ τὰ μὲν Πελοποννησίων ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δοκεῖ εἶναι· τὰ δὲ ἡμέτερα, τούτων τε, ὧνπερ ἐκείνοις ἐμεμψάμην, ἀπηλλάχθαι, καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔχειν. Ἤν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν ἐκείνων πλευσούμεθα· καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσται, Πελοποννήσου τε μέρος τὶ τμηθῆναι, καὶ τὴν Ἀττικὴν ἅπασαν. Οἱ

adoriantur, eorumque agri vaſtationes contemnant. De-

πρὸς μὲν γὰρ ὀλίγας ναῦς ἐφορμούσας. Vocem *ναῦς*, cum deſit in Reg. Caſſ. Aug. Par. H., cumque ex praecedentibus verbis *ναυσὶν ἐφορμεῖσθαι* facile intelligi poſſit, cum Poppone pro interpretamento habemus. — *ἐν τῷ μὴ μελετῶντι*, pro *ἐν τῷ μὴ μελετᾶν*. Vid. ad 3, 43.

143. *Ὀλυμπίασιν.* Vid. ad cap. 130. — *κινήσαντες τῶν χρημάτων*, nempe *μέρος τί.* Reſpicit orator ad ea, quae Corinthii dixerant Lacedaemone; vid. cap. 121. — *τόδε ὑπάρχει*, το ἡμᾶς ἀντιπάλους εἶναι.

ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. Revocavi antiquam codicum fere omnium lectionem, pro qua Waſſius ex Ar. C. receperat *ἢ ἅπασα ἡ ἄλλη.* Cf. cap. 123. 2, 8.

μὲν γὰρ οὐχ ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί· ἡμῖν δέ ἐστι γῆ πολλὴ, καὶ ἐν νήσοις, καὶ κατ᾽ ἤπειρον. Μέγα γὰρ τὸ τῆς θαλάσσης κράτος. σκέψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, τίνες ἂν ἀληπτότεροι ἦσαν; Καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας, τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελοποννησίοις, ὑπὲρ αὐτῶν ὀργισθέντας, πολλῷ πλείοσι μὴ διαμάχεσθαι· (κρατήσαντές τε γὰρ, αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα, καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων, ὅθεν ἰσχύομεν, προσαπόλλυται· οὐ γὰρ ἡσυχάσουσι, μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ᾽ αὐτοὺς στρατεύειν·) τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ᾽ οἱ ἄνδρες ταῦτα κτῶνται. καὶ εἰ ᾤμην πείσειν, ὑμᾶς αὐτοὺς ἂν ἐξελθόντας ἐκέλευον αὐτὰ δῃῶσαι, καὶ δεῖξαι Πελοποννησίοις, ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε.

144. „Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες, καὶ κινδύνους αὐθαιρέτους μὴ προστίθεσθαι. μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας, ἢ τὰς τῶν ἐναντίων διανοίας. Ἀλλ᾽ ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τούτοις ἀποκρινάμενοι, ἀποπέμψωμεν, Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ λιμέσι χρῆσθαι, ἢν καὶ Λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι, μήτε ἡμῶν, μήτε τῶν

nique edocet, quid Lacedaemoniis ſit reſpondendum.

ὅτι ἐγγύτατα τούτου, τοῦ νησιώτας εἶναι. — *οἰκίας*, villas, domicilia in pagis, non in urbe, quam defenſuri erant. — *ὑπὲρ αὐτῶν*, int. τῆς γῆς καὶ τῶν οἰκιῶν. Ad *ὀργισθέντας* ſubaudiendum eſt μή, quod paullo poſt ſequitur cum infinitivo διαμάχεσθαι. Vid. ad cap. 141.

οὐ γὰρ ἡσυχάσουσι. Scholiaſta ſupplet οἱ Λακεδαιμόνιοι; quod licet aptum ſenſum fundat ſi verba μὴ ἱκανῶν ἡμῶν ὄντων commatibus ſepares tamquam per ſe abſoluta, non tamen vera haec interpretatio eſt. Nam cum modo dixerit τὰ τῶν ξυμμάχων, quisque attente legens inde ſubiectum repetit, et vero cogitur repetere. Socii non quieſcent ſ. remanebunt in fide, ſimulac Athenienſes ſenſerint impares, qui ſimul cum hoſtibus ſuis, et ſociis deficientibus bellum gerant.

ἡμετέρων ξυμμάχων· οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπονδαῖς, οὔτε τόδε. τάς τε πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα, καὶ ὅταν κἀκεῖνοι ταῖς ἑαυτῶν ἀποδῶσι πόλεσι, μὴ σφίσι [τοῖς Λακεδαιμονίοις] ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλὰ αὐτοῖς ἑκάστοις, ὡς βούλονται. δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας· πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. Ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι. Εἰδέναι δὲ χρὴ, ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἑκούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναντίους ἕξομεν· ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ μέγισται τιμαὶ περιγίγνονται. Οἱ γοῦν πατέρες ἡμῶν, ὑποστάντες Μήδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι,

144. *οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπονδαῖς.* Plerique interpretes κωλύει pro passivo κωλύεται acceperunt, quem usum Levesquius illustrabat exemplis his: Soph. Oed. Col. 1673. ubi *δρῶντος* pro δρωμένου; ibid. 1767. φέρον pro φερόμενον; Trach. 727. βαλόντα pro βαλόμενον; Thucyd. 1, 138. ἄξιος θαύμασαι pro θαυμασθῆναι, aliis. Sed de Thucydidis loco vide, quae ibi notata sunt. Ceteri passivam vim activi κωλύειν non magis firmant, quam usitatissimae formae ἔαγα, ἑάλωκα, ἁλούς, ἀνέῳγε, πέφυκα. Praeterea satis ridicule causam huius permutationis repetit ab origine terminationum verborum graecorum, quarum quae ipsi antiquissima videtur in $\overline{\mu\iota}$, eam ab εἰμί, alteram autem terminationem in $\overline{\omega}$ a pronomine ἐγώ derivandam esse censet. — Hermannus subintelligit τί ad κωλύει, ut verbum habeat subiectum. Equidem κωλύει impersonaliter dictum putaverim, uti δεῖ et χρή, ut οὐ κωλύει dici possit pro οὐδὲν κωλύει. Recte enim dicas: οὔτε γὰρ ἐκεῖνο δεῖ, οὔτε τοῦτο int. ποιεῖν, quem infinitivum et h. l. subaudire liceat. — *ἐκεῖνο*, ad τὸ ψήφισμα περὶ Μεγαρέων, *τόδε*, ad ξενηλασίαν spectat.

τάς τε πόλεις. Vulgo τὰς δέ. Illud optimi codices Reg. Cass. Gr. Bas. Aug. exhibent. Nam etiam μέν et τέ sibi respondent. Vide 2, 70. 3, 46. cf. Poppo p. 26.

μὴ σφίσι [τοῖς Λακεδαιμονίοις.] Ultima verba delebat Valckenarius ad Herodot. V, p. 424. Si absint, nihil sane desideres; possis tamen addubitare, cum et codices omnes haec verba exhibeant, et Scholiasta, qui ea e margine in textum irrepsisse coniicit, in suo certe exemplari invenerit. Simillimum locum 4, 114 extr. σφῶν πειρασαμένους αὐτοὺς *τῶν* Λακεδαιμονίων attulit Poppo p. 99. Sed cui ibi verba τῶν Λακεδαιμονίων suspecta erunt, is videat, quid de multis aliis locis eiusmodi faciendum sit, ubi codicum scriptura pariter constet; 4, 85. ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι. 4, 86. καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις.

ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλιπόντες, γνώμῃ τε πλείονι ἢ τύχῃ, καὶ τόλμῃ μείζονι ἢ δυνάμει, τόν τε βάρβαρον ἀπεώσαντο, καὶ ἐς τάδε προήγαγον αὐτά. Ὧν οὐ χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι, καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι.

145. Ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν. Οἱ δὲ Ἀθηναῖοι, νομίσαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν, ἐψηφίσαντο ἃ ἐκέλευε. καὶ τοῖς [τε] Λακεδαιμονίοις ἀπεκρίναντο, τῇ ἐκείνου γνώμῃ, καθ' ἕκαστά τε ὡς ἔφρασε, καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἕτοιμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων, ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ. Καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο.

146. Αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ· ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς, καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ. σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν, καὶ πρόφασις τοῦ πολεμεῖν.

145. In eius ſententiam ab Athenienſibus reſponſum datur Peloponneſiorum legatis. 146. Inter has incuſationes et disceptationes commercium quidem adhuc iis erat, ſed non ſine ſuſpicione:

τὰ ὑπάρχοντα ἐκλιπόντες. Ex codicibus plurimis cum Benedicto reſtituimus ἐκλιπόντες pro ἐκλείποντες.

145. καὶ τοῖς [τε] Λακεδαιμονίοις. Particula τέ, quae non habet quo referatur, expungenda eſt. Opitulantur codices Ar. C. Dan. Cl. Gr. Cf. ſupra ad 1, 9. 133.

146. αἰτίαι δέ. Kiſtemackerus cum Stephano malebat δή. Sed vid. 1, 43. extr. 87. init. — αἰτίαι, incuſationes. cf. c. 140.

ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ. Qui κήρυκι utuntur, aut hoſtes ſunt vere, aut timent, ne ab alio quodam populo pro hoſtibus habeantur. Vid. ſupra c. 53. Ergo bellum nondum commiſſum erat. Nam ſimulac aut indictum eſt, aut ἀκηρυκτεὶ illatum, non amplius absque caduceatore alteri ad alteros accedunt. Cf. 2, 1.

ΘΟΥΚΥΔΙΔΟΥ

ΟΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

ΑΡΧΕΤΑΙ δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πελοποννησίων, καὶ τῶν ἑκατέροις ξυμμάχων· ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους, καταστάντες τε ξυνεχῶς ἐπολέμουν. γέγραπται δὲ ἑξῆς, ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ χειμῶνα.

2. Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαί, αἳ ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης, καὶ Αἰνησίου Ἐφόρου ἐν Σπάρτῃ, καὶ Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτιδαίᾳ

Hoc libro complectitur res geſtas trium annorum inde ab initio belli. 1. Exponuntur autem ordine temporum digeſtae, ita ut ea, quae aeſtate facta ſunt, ab iis, quae per hiemen acciderunt, excipiantur. 2. Quinto decimo

1. ἐνθένδε. Hoc ad ea refer, quae ſequenti capite Plataeis geſta referuntur. Ab eo enim inde tempore bellum palam commiſſum videbatur (cf. 2, 19.) neque amplius ſine caduceatore commeabant. — καταστάντες, compoſiti ad bellum, bello ſuſcepto. cap. 2. τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος.

2. ἱερωμένης, i. e. ἱερείας οὔσης. ἠρίθμουν δὲ τοὺς χρόνους οἱ Ἀργεῖοι ἀπὸ ἱερειῶν. Schol.

ἔτι δύο μῆνας ἄρχοντος. Athenienſium Archontes provincias ſuas adierunt initio anni Athenienſis, quod erat ſtatim poſt ſolſtitium aeſtivum, menſe Elaphebolione. Ergo initium belli Peloponneſiaci, vel nominatim

μάχην μηνὶ ἕκτῳ, καὶ ἅμα ἦρι ἀρχομένῳ, Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων (ἡγοῦντο δὲ αὐτῶν Βοιωταρχοῦντες, Πυθάγγελός τε ὁ Φυλίδου, καὶ Διέμπορος ὁ Ὀνητορίδου) ἐςῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων ξυμμαχίδα. Ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας Πλαταιέων ἄνδρες, Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι, ἰδίας ἕνεκα δυνάμεως, ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι, καὶ τὴν πόλιν Θηβαίοις προςποιῆσαι. Ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου τοῦ Λεοντιάδου, ἀνδρὸς Θηβαίων δυνατωτάτου. Προϊδόντες γὰρ οἱ Θηβαῖοι, ὅτι ἔσοιτο ὁ πόλεμος, ἠβούλοντο τὴν Πλάταιαν, ἀεὶ σφίσι διάφορον οὖσαν, ἔτι ἐν εἰρήνῃ τε, καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος, προκαταλαβεῖν· ᾗ καὶ ῥᾷον ἔλαθον ἐςελθόντες, φυλακῆς οὐ προκαθεστηκυίας. Θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ ὅπλα, τοῖς μὲν ἐπαγομένοις οὐκ ἐπείθοντο, ὥςτ' εὐθὺς ἔργου ἔχεσθαι, καὶ ἰέναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν· γνώμην δὲ ἐποιοῦντο, κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις, καὶ ἐς ξύμβασιν μᾶλλον καὶ

anno foedus, quod, Euboea recepta, inter Graeciae civitates in triginta annos factum erat, palam ruptum eſt eo, quod Thebanorum circiter trecenti armati Plataeas, urbem Athenienſibus ſociam, proditione noctu

occupatio Plataearum in noſtrum menſem Aprilem exeuntem incidere videtur. — Etiam Spartanis annus nomen trahebat ab Ephororum principe.

ἠβούλοντο τὴν Πλάταιαν. Duckerus ad cap. 5. cum Thoma Mag. probat ſcripturam ἐβούλοντο, et Atticos ſcripſiſſe putat ἐβουλόμην et ἐδυνάμην, non ἠβουλόμην, ἠδυνάμην. Contra Gregor. Corinth. hanc poſteriorem formam Atticis vindicat, quem ſequitur Buttmannus Gr. Gr. p. 142. et Gottleberus, qui cap. 5. paucorum librorum, Reg. Caſſ. Aug., auctoritate edidit ἠβούλοντο. Sed 1, 17., ubi vulgo legitur ἠδύναντο, Caſſ. Aug. Gr. Moſq. praebent ἐδύναντο. In tanta librorum inconſtantia diligenter inveſtigandum eſt, quid plurimis locis Thucydidis praeſtantiſſimi codices ferant. Atque ita eo deveni, ut Duckeri rationem in Noſtro veram putarem, et ubique ἐδυνάμην, ἐβουλόμην ſcribendum eſſe cenſerem. Vid. 7. 75 med. 8, 11. 17. 28. 56. 64. extr. 87. 91. 92 init. Cf. dicta ad 2, 52. Nihil tamen contra praeſtantiores libros molitus ſum.

φιλίαν τὴν πόλιν ἀγαγεῖν· (καὶ ἀνεῖπεν ὁ κῆρυξ, εἴ τις βούλεται κατὰ τὰ πάτρια τῶν πάντων Βοιωτῶν ξυμμαχεῖν, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα) νομίζοντες σφίσι ῥᾳδίως τούτῳ τῷ τρόπῳ προσχωρήσειν τὴν πόλιν.

3. Οἱ δὲ Πλαταιεῖς, ὡς ᾔσθοντο ἔνδον τε ὄντας τοὺς Θηβαίους, καὶ ἐξαπιναίως κατειλημμένην τὴν πόλιν, καταδείσαντες, καὶ νομίσαντες πολλῷ πλείους ἐσεληλυθέναι (οὐ γὰρ ἑώρων ἐν τῇ νυκτὶ) πρὸς ξύμβασιν ἐχώρησαν, καὶ τοὺς λόγους δεξάμενοι ἡσύχαζον· ἄλλως τε καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. Πράσσοντες δέ πως ταῦτα κατενόησαν οὐ πολλοὺς τοὺς Θηβαίους ὄντας, καὶ ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατῆσαι. τῷ γὰρ πλήθει τῶν Πλαταιέων οὐ βουλομένῳ ἦν τῶν Ἀθηναίων ἀφίστασθαι. Ἐδόκει οὖν ἐπιχειρητέα εἶναι, καὶ ξυνελέγοντο, διορύσσοντες τοὺς κοινοὺς τοίχους, παρ' ἀλλήλους, ὅπως μὴ διὰ τῶν ὁδῶν φανεροὶ ὦσιν ἰόντες· ἁμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίστασαν, ἵν' ἀντὶ τείχους ᾖ· καὶ τἄλλα ἐξήρτυον, ᾗ ἕκαστον ἐφαίνετο πρὸς τὰ παρόντα ξύμφορον ἔσεσθαι. Ἐπεὶ δέ, ὡς ἐκ τῶν δυνατῶν, ἕτοιμα ἦν, φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περίορθρον, ἐχώρουν ἐκ τῶν οἰκιῶν ἐπ' αὐτούς· ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προσφέρωνται, καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες, ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας τῆς κατὰ τὴν πόλιν· προσέβαλλόν τε εὐθύς, καὶ ἐς χεῖρας ᾔεσαν κατὰ τάχος.

occuparunt. 3. Primo territi Plataeenſes datas pacis conditiones accipiunt. Cum autem parvum Thebanorum numerum eſſe intellexiſſent, clam ad defenſionem parati, eadem nocte ſub diluculum eos adoriuntur.

3. ἵν' ἀντὶ τείχους ᾖ. Haud dubie in mente habuit τὰ ἅρματα, licet paullo ante dixerit ἁμάξας. Nam ſingularis ᾖ aliter huc non quadrat. Vid. not. ad 1,90.

καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, int. οἱ Θηβαῖοι, de quo tranſitu ad aliud ſubiectum vid. ad 1, 39. — φοβερώτεροι, timidiores.

4. Οἱ δ' ὡς ἔγνωσαν ἠπατημένοι, ξυνεστρέφοντό τε ἐν σφίσιν αὐτοῖς, καὶ τὰς προσβολὰς, ᾗ προσπίπτοιεν, ἀπεωθοῦντο. καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο· ἔπειτα πολλῷ θορύβῳ αὐτῶν τε προσβαλόντων, καὶ τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων, λίθοις τε καὶ κεράμῳ βαλλόντων, καὶ ὑετοῦ ἅμα διὰ νυκτὸς πολλοῦ ἐπιγενομένου, ἐφοβήθησαν, καὶ τραπόμενοι, ἔφυγον διὰ τῆς πόλεως. ἄπειροι μὲν ὄντες οἱ πλείους, ἐν σκότῳ καὶ πηλῷ, τῶν διόδων, ᾗ χρὴ σωθῆναι, (καὶ γὰρ τελευτῶντος τοῦ μηνὸς τὰ γιγνόμενα ἦν) ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας, τοῦ μὴ ἐκφεύγειν· ὥστε διεφθείροντο οἱ πολλοί. Τῶν τε Πλαταιέων τὶς τὰς πύλας, ᾗ ἐσῆλθον, καὶ αἵπερ ἦσαν ἀνεῳγμέναι μόναι, ἔκλεισε, στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος ἐς τὸν μοχλόν· ὥστε μηδὲ ταύτῃ ἔτι ἔξοδον εἶναι.

4. Itaque impetu facto, multi ex Thebanis, viarum ignari, intra urbis muros occiduntur, praeſertim cum ea ipſa porta, qua intraverant, a Plataeenſi quodam clauſa

4. ὡς ἔγνωσαν ἠπατημένοι. Vulgo ἐξηπατημένοι legitur. Illud optimi libri praebent. Saepius verba compoſita ſimplicibus ſubſtituta eſſe a librariis, exempla haec docent: 1, 76. διαδιδομένην ἐδεξάμεθα. 110. διεσώθησαν.

ὥστε διεφθείροντο οἱ πολλοί. Legendum πολλοὶ omiſſo οἱ, non quia paullo poſt ſequitur οἱ πλείους (id enim non pertinet ab omnes, ſed ad partem tantum, eos nempe, qui praecipites de muro ſe dederunt); ſed quia deinde ſequitur τὸ πλεῖστον, et propter ipſum numerum captivorum, quorum c. 5. centum et octoginta numerantur, cum totus Thebanorum numerus (c. 2.) paullo amplius trecentorum fuiſſet. — Mox pro τῶν δὲ Πλαταιέων Cl. Gr. Reg. Caſſ. Moſq. exhibent τέ, quod aptius videtur propter ſequentia verba: ὥστε μηδὲ ταύτῃ ἔτι ἔξοδον εἶναι.

στυρακίῳ ἀκοντίου — μοχλόν. Veteres portas vecti (μοχλῷ) et peſſulo (βαλάνῳ) occludebant. Vectis alteri poſti ſemper affixus, ad alterum ita traiectus erat, ut utramque portae valvam ſ. alam contineret. Muniebatur autem βαλάνῳ, brevi quodam et cavato ferro, glandi ſimili, quod per μοχλόν poſtisque partem eam, qui inſertum μοχλόν amplectebatur, deſuper videtur immiſſum. Itaque qui aperire portam volebant, iis clave opus erat, qua ſurſum ferrent et eiicerent βάλανον. Quare poſtea narratur, nonnullos Thebanos ſecuri τὸν μοχλόν alicuius portae effregiſſe, ſcilicet quod

Διωκόμενοι δὲ κατὰ τὴν πόλιν, οἵ μέν τινες αὐτῶν, ἐπὶ τὸ τεῖχος ἀναβάντες, ἔῤῥιψαν ἐς τὸ ἔξω σφᾶς αὐτοὺς, καὶ διεφθάρησαν οἱ πλείους· οἱ δὲ, κατὰ πύλας ἐρήμους, γυναικὸς δούσης πέλεκυν, λαθόντες καὶ διακόψαντες τὸν μοχλὸν, ἐξῆλθον οὐ πολλοί· αἴσθησις γὰρ ταχεῖα ἐπεγένετο· ἄλλοι δὲ ἄλλῃ τῆς πόλεως σποράδην ἀπώλλυντο. τὸ δὲ πλεῖστον καὶ ὅσον μάλιστα ἦν ξυνεστραμμένον, ἐςπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους (καὶ αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ) οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι, καὶ ἄντικρυς δίοδον ἐς τὸ ἔξω. Ὁρῶντες δὲ οἱ Πλαταιεῖς αὐτοὺς ἀπειλημμένους, ἐβουλεύοντο, εἴτε κατακαύσουσιν, ὥςπερ ἔχουσιν, ἐμπρήσαντες τὸ οἴκημα, εἴτε τι ἄλλο χρήσονται· τέλος δὲ οὗτοί τε καὶ ὅσοι ἄλλοι τῶν Θηβαίων περιῆσαν, κατὰ τὴν πόλιν πλανώμενοι, ξυνέβησαν τοῖς Πλαταιεῦσι παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα, χρήσασθαι ὅ, τι ἂν βούλωνται. Οἱ μὲν δὴ ἐν τῇ Πλαταίᾳ οὕτως ἐπεπράγεσαν.

5. Οἱ δὲ ἄλλοι Θηβαῖοι, οὓς ἔδει ἔτι τῆς νυκτὸς παραγενέσθαι πανστρατιᾷ, εἴ τι ἄρα μὴ προχωροίη

esset; plurimi in aedificium, muro impositum, concurrentes se dedunt, vivique capiuntur. 5. Maiores The-

clavem non habebant. Hic autem pro *βαλάνῳ*, quae forte non erat ad manum, Plataeensis quidam *στυράκιον ἀκοντίου* immisit vecti. Cf. Bredov. ad h. l.

καὶ αἱ πλησίον θύραι. Vocem *πλησίον* ex codicibus restitui iubent Benedictus et Poppo. Ille quidem indicari putat anteriores domicilii ianuas, quae iam posticis opponantur, per quas Thebani exitum sperabant. Quam interpretationem mihi non probavit. Haec enim verba non id enuntiant, quod Thebani opinabantur, sed ea, quae erant. *αἱ πλησίον θύραι* nihil amplius est, quam *propinquae ianuae*, sane in adversa aedificii, quod ad murum pertinebat, parte erant. — Ceterum inflexit orationem a relativo ad demonstrativum, cum pergere potuisset: *καὶ οὗ* (*οἰκήματος*) *αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον.* Itaque parentheseos notas apposui.

ὁρῶντες δὲ οἱ Πλαταιεῖς αὐτούς. Hunc verborum ordinem restitui iubent non solum codices, sed etiam linguae leges. Vulgo enim legitur *ὁρῶντες αὐτοὺς δὲ οἱ Πλαταιεῖς.* — Etiam paullo post iam Benedictus correxit vulgatum *σφᾶς τε αὐτοὺς παραδοῦναι*, ubi *τέ* plurimi codices ignorant.

τοῖς ἐςεληλυθόσι, τῆς ἀγγελίας ἅμα καθ' ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενημένων, ἐπεβοήθουν. Ἀπέχει δ' ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα, καὶ τὸ ὕδωρ τὸ γενόμενον τῆς νυκτὸς, ἐποίησε βραδύτερον αὐτοὺς ἐλθεῖν. Ὁ γὰρ Ἀσωπὸς ποταμὸς ἐῤῥύη μέγας, καὶ οὐ ῥαδίως διαβατὸς ἦν· πορευόμενοί τε ἐν ὑετῷ, καὶ τὸν ποταμὸν μόλις διαβάντες, ὕστερον παρεγένοντο, ἤδη τῶν ἀνδρῶν, τῶν μὲν, διεφθαρμένων, τῶν δὲ, ζώντων ἐχομένων. Ὡς δ' ᾔσθοντο οἱ Θηβαῖοι τὸ γεγενημένον, ἐπεβούλευον τοῖς ἔξω τῆς πόλεως τῶν Πλαταιέων· (ἦσαν γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς, καὶ κατασκευὴ, οἷα ἀπροςδοκήτου κακοῦ ἐν εἰρήνῃ, γενομένου·) ἠβούλοντο γὰρ σφίσιν, εἴ τινα λάβοιεν, ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα τύχωσι τινὲς ἐζωγρημένοι. Καὶ οἱ μὲν ταῦτα διενοοῦντο. Οἱ δὲ Πλαταιεῖς, ἔτι διαβουλευομένων αὐτῶν, ὑποτοπήσαντες τοιοῦτόν τι ἔσεσθαι, καὶ δείσαντες περὶ τοῖς ἔξω, κήρυκα ἐξέπεμψαν παρὰ τοὺς Θηβαίους, λέγοντες, ὅτι οὔτε τὰ πεποιημένα ὁσίως δράσειαν, ἐν σπονδαῖς σφῶν πειραθέντες καταλαβεῖν τὴν πόλιν, τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν· εἰ δὲ μὴ, καὶ αὐτοὶ ἔφασαν αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν, οὓς ἔχουσι ζῶντας· ἀναχω-

banorum copiae, illis in ſubſidium miſſae, pluvia retardantur in itinere, et Aſopo, qui erat transeundus. Certiores facti de caede ſuorum et fortuna reliquorum, conditiones, a Plataeenſibus propoſitas, accipiunt domumque revertuntur, pacti tantummodo (ut ipſi, negantibus Pla-

5. ὁ γὰρ Ἀσωπὸς ποταμός. Vocabulum ποταμός vulgatae editiones exhibent uncis incluſum. E codicibus nihil affertur, quo damnetur. Demoſthenes, qui hunc locum ante oculos habuit (Tom. II. p. 1379), ποταμός addit nomini Ἀσωπός. Et ſic Thucydides alibi. 2, 102. ὁ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους.

ἦσαν γὰρ καὶ ἄνθρωποι — γενομένου. Haec verba ſignis parentheſeos incluſi, propterea quod γάρ rationem reddit verborum ἔξω τῆς πόλεως; cauſam autem τοῦ ἐπεβούλευον exponit alterum γάρ poſt ἠβούλοντο. — Ante κακοῦ articulum τοῦ excidiſſe ſuſpicatur Bredovius.

ρησάντων δὲ πάλιν ἐκ τῆς γῆς, ἀποδώσειν αὐτοῖς τοὺς ἄνδρας. Θηβαῖοι μὲν ταῦτα λέγουσι, καὶ ἐπομόσαι φασὶν αὐτούς. Πλαταιεῖς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀποδώσειν, ἀλλὰ λόγων πρῶτον γενομένων, ἤν τι ξυμβαίνωσι· καὶ ἐπομόσαι οὔ φασίν. Ἐκ γοῦν τῆς γῆς ἀνεχώρησαν οἱ Θηβαῖοι, οὐδὲν ἀδικήσαντες· οἱ δὲ Πλαταιεῖς, ἐπειδὴ τὰ ἐκ τῆς χώρας κατὰ τάχος ἐσεκομίσαντο, ἀπέκτειναν τοὺς ἄνδρας εὐθύς. ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες· καὶ Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες.

6. Τοῦτο δὲ ποιήσαντες, ἔς τε τὰς Ἀθήνας ἄγγελον ἔπεμπον, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Θηβαίοις· τά τ' ἐν τῇ πόλει καθίσταντο πρὸς τὰ παρόντα, ᾗ ἐδόκει αὐτοῖς. Τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ παρὰ τῶν Πλαταιέων γεγενημένα· καὶ Βοιωτῶν

taeenſibus, aſſeverant), captivorum reſtitutionem. At hi ſtatim poſt illorum diſceſſum a Plataeenſibus caeſi ſunt omnes. 6. Hoc factum erat, priusquam Athenis, quo

εὐθὺς ὑποσχέσθαι ἀποδώσειν. Sive cum Schol. ἐξ εὐθείας, ἁπλῶς, explices τὸ εὐθύς, ſive παραχρῆμα, et lectio et ſententia eadem remanet; quare fruſtra Grammatici ſcripturae εὐθύς et εὐθύ discrimen commenti eſſe videantur. Vid. Riemer. in Lex. graec. voce ἄντικρυς.

ἐκ γοῦν τῆς γῆς ἀνεχώρησαν. Codices nonnulli habent ἐκ δ' οὖν. —

ἀπέκτειναν τοὺς ἄνδρας. Diod. XII, 42. tradit, captivos redditos, non iugulatos eſſe. Sed Thucydidis auctoritas non debet infringi parum certa ſeriorum ſcriptorum fide, qui quam negligenter ſubinde fontibus ſuis utantur, exemplo eſt idem Diodorus cap. 41., ubi Plataeenſes dicit pacem a Thebanis petiiſſe, cum Thucidides auctor ſit, Thebanos per praeconem pacem ultro obtuliſſe. Vid. ſupra cap. 2. extr. cf. c. 3. init. Fieri tamen poteſt, ut alios auctores, e. c. Ephorum, quem initio cap. laudat, ſecutus ſit.

6. τὰ παρὰ τῶν Πλαταιέων γεγενημένα. Cum in melioribus libris legatur περί, in aliis παρά, in tribus vel quatuor, ſi Gailius accurate rem indicavit (de quo dubitat Benedict.), utraque praepoſitio omittatur: Poppo eam expungendam eſſe putat, conferens verba c. 19. τῶν ἐσελθόντων Θηβαίων γενόμενα; Benedictus autem περί e codd. recepit. Mihi παρά genuinum videtur, quod non ſic defenderim, ut fecit libri Popponis Cenſor Wratislavienſis, qui articulum τά a participio γεγενημένα

τε παραχρῆμα ξυνέλαβον, ὅσοι ἦσαν ἐν τῇ Ἀττικῇ, καὶ ἐς τὴν Πλάταιαν ἔπεμψαν κήρυκα, κελεύοντες αὐτοῖς εἰπεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν οὓς ἔχουσι Θηβαίων, πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν. Οὐ γὰρ ἠγγέλθη αὐτοῖς, ὅτι τεθνηκότες εἶεν· ἅμα γὰρ τῇ ἐσόδῳ γιγνομένῃ τῶν Θηβαίων, ὁ πρῶτος ἄγγελος ἐξῄει· ὁ δὲ δεύτερος, ἄρτι νενικημένων τε καὶ ξυνειλημμένων· καὶ τῶν ὕστερον οὐδὲν ᾔδεσαν. Οὕτω δὴ οὐκ εἰδότες οἱ Ἀθηναῖοι ἐπέστελλον· ὁ δὲ κῆρυξ ἀφικόμενος εὗρε τοὺς ἄνδρας διεφθαρμένους. Καὶ μετὰ ταῦτα οἱ Ἀθηναῖοι, στρατεύσαντες ἐς Πλάταιαν, σῖτόν τε ἐσήγαγον, καὶ φρουροὺς ἐγκατέλιπον· τῶν τε ἀνθρώπων τοὺς ἀχρειοτάτους ξὺν γυναιξὶ καὶ παισὶν ἐξεκόμισαν.

7. Γεγενημένου δὲ τοῦ ἐν Πλαταιαῖς ἔργου, καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν, οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες· παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν, πρεσβείας τε μέλλοντες πέμπειν παρὰ βασιλέα, καὶ ἄλλοσε ἐς τοὺς

has res ſtatim nuntius pertulerat, praeco veniſſet cum monito, ut captivos vivos conſervarent. Athenienſes praeſidium Plataeis imponunt, mulieresque, pueros, et ſenes ex urbe dimittunt. 7. Quibus factis, iam utraque pars bellum cummaxime parat, et neceſſaria ad bellum, ſocios,

ſegregat, quaſi eſſet ὡς γεγενημένα. Sed non raro apud Noſtrum praepoſitiones minus accommodatae ſunt ei verbo, quocum grammatice iunguntur, quam vel propinquo cuidam verbo, vel ei rationi, quam tacite Scriptor in animo habuit. 5, 65. τοὺς ἀπὸ τοῦ λόφου καταβιβάσαι eſt τοὺς ἐπὶ τοῦ λόφου (ἱδρυθέντας) καταβιβάσαι ἀπ' αὐτοῦ. Vid. ibi plura. Sic et h. l. verba τὰ παρὰ τῶν Πλατ. γεγ. capi poſſunt pro: τὰ ἐν Πλαταιεῦσι (Πλαταίᾳ) γεγενημένα ἠγγέλθη παρ' αὐτῶν. Quam in ratione varietas lectionis quomodo oriri potuerit, videre in promptu eſt. — Paullo inferius Benedictus male commendat ἀπέστελλον pro ἐπέστελλον, quod de mandatis, praeſertim cum abſentibus communicatis, uſitatiſſimum eſt.

7. παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδ. Ante haec verba minor diſtinctio inducenda erat propter verba ſequentia ἤλπιζον ἑκάτεροι, quae oſtendunt, illa πρεσβείας τε μέλλοντες — βαρβάρους tam ad Athenienſes, quam ad Lacedaemonios pertinere.

βαρβάρους, εἴ ποθέν τινα ὠφέλειαν ἤλπιζον ἑκάτεροι προςλήψεσθαι· πόλεις τε ξυμμαχίδας ποιούμενοι, ὅσαι ἦσαν ἐκτὸς τῆς ἑαυτῶν δυνάμεως. Καὶ Λακεδαιμονίοις μὲν, πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις ἐξ Ἰταλίας καὶ Σικελίας τοῖς τἀκείνων ἑλομένοις, ναῦς ἐπετάχθησαν ποιεῖσθαι κατὰ μέγεθος τῶν πόλεων, ὡς, ἐς τὸν πάντα ἀριθμὸν, πεντακοσίων νεῶν ἐσομένων· καὶ ἀργύριον ῥητὸν ἑτοιμάζειν, τά τ' ἄλλα ἡσυχάζοντας, καὶ Ἀθηναίους δεχομένους μιᾷ νηΐ, ἕως ἂν ταῦτα παρασκευασθῇ. Ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον, καὶ ἐς τὰ περὶ Πελοπόννησον μᾶλλον χωρία ἐπρεσβεύοντο, Κέρκυραν, καὶ Κεφαλληνίαν, καὶ Ἀκαρνᾶνας, καὶ Ζάκυνθον· ὁρῶντες, εἰ σφίσι φίλια ταῦτ' εἴη, βεβαίως πέριξ τὴν Πελοπόννησον καταπολεμήσοντες.

8. *Ὀλίγον τε ἐπενόουν οὐδὲν ἀμφότεροι, ἀλλ' ἔῤῥωντο ἐς τὸν πόλεμον, οὐκ ἀπεικότως· ἀρχόμενοι γὰρ*

arma, argentum. 8. Omnes autem homines per totam

Καὶ Λακεδαιμονίοις μὲν — Poſt varios aliorum conatus, quos exponere longum eſſet, noſtram hunc locum conſtituendi et interpretandi rationem paucis explicemus. Antiquam codicum plerorumque lectionem *Λακεδαιμονίοις*, cuius loco alii *Λακεδαιμόνιοι* afferebant, revocavimus, ut ſit *ὑπὸ Λακεδαιμονίων*. Deinde comma poſt *Σικελίας* tollendum cenſemus, ut *τοῖς τἀκείνων ἑλομένοις*, quibus verbis Siculi et Italici ſocii Lacedaemoniorum indicantur, (cf. Diodor. 12, 41.) coniungi poſſit cum *ὑπαρχούσαις αὐτοῦ*, i. e. in Peloponneſo. Porro ad *ἐπετάχθησαν* ex proxime antecedentibus *οἱ τἀκείνων ἑλόμενοι*, vel *οὗτοι* ſubaudiendum eſt. Ita enim loquitur Thucydides 1, 140 extr. *οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε.* Verto: „Et a Lacedaemoniis quidem, praeter naves eas, quae ex Italia Siciliaque ibi iam erant Lacedaemoniorum ſociis (i. e. quas ibi habebant ſocii Lacedaemoniorum Italici et Siculi) alias *iſti* (ſocii) conficere iuſſi ſunt pro urbium magnitudine.“ — Sed ne paullo poſt offendas in accuſativo participiorum *ἡσυχάζοντας* et *δεχομένους*, cuius loco exſpectes nominativum: in verbis *καὶ ἀργύριον ῥητὸν ἑτοιμάζειν* ſtructuram ita mutatam eſſe exiſtimandum eſt, ut ex *Λακεδαιμονίοις ἐπετάχθησαν* ſubaudias *ἐκέλευον οἱ Λακεδαιμόνιοι*. — *μιᾷ νηΐ*, ita enim infeſte agere non poterant.

ὁρῶντες — καταπολεμήσοντες. Locum laborare prava interpunctione et coniunctione duorum participiorum cenſet Co-

πάντες, ὀξύτερον ἀντιλαμβάνονται· τότε δὴ καὶ νεότης πολλὴ μὲν οὖσα ἐν τῇ Πελοποννήσῳ, πολλὴ δ' ἐν ταῖς Ἀθήναις, οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου· ἥ τε ἄλλη Ἑλλὰς πᾶσα μετέωρος ἦν, ξυνιουσῶν τῶν πρώτων πόλεων. Καὶ πολλὰ μὲν λόγια ἐλέγετο, πολλὰ δὲ χρησμολόγοι ᾖδον, ἔν τε τοῖς μέλλουσι πολεμήσειν, καὶ ἐν ταῖς ἄλλαις πόλεσιν. Ἔτι δὲ Δῆλος ἐκινήθη ὀλίγῳ πρὸ τούτων, πρότερον οὔπω σεισθεῖσα, ἀφ' οὗ Ἕλληνες μέμνηνται· ἐλέγετο δὲ καὶ ἐδόκει ἐπὶ τοῖς μέλλουσι γενήσεσθαι σημῆναι. εἴτε τι ἄλλο τοιουτότροπον ξυνέβη γενέσθαι, πάντα ἀνεζητεῖτο. Ἡ δὲ εὔνοια παρὰ πολὺ ἐποίει τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς

Graeciam magno impetu in hoc bellum ruebant; oracula et vaticinia multa canebantur. Ad Lacedaemonios, tamquam Graeciae liberatores, voluntas hominum propenſior

rayus. Itaque eum ſic conſtituit: *ὁρῶντες εἰ σφίσι φίλια ταῦτ' εἴη βεβαίως, ὡς πέριξ.* — Non ſequor. *Ὁρῶντες* enim h. l. eſt *γιγνώσκοντες*, quod verbum participio iungi ſolet (cf. 2, 4. init.); neque impedimento eſſe poteſt huic rationi, quod participio *ὁρῶντες* uſus eſt Scriptor pro verbo finito *ἑώρων δέ*.

8. *τότε δὴ καὶ νεότης πολλή.* Malim *δέ*, ut *ἀρχόμενοι γὰρ πάντες*, generatim de omnibus opus aggredientibus dictum, habeat, quod ei reſpondeat in Graecorum illius temporis peculiari conditione. *Μέν* ante *δέ* et alibi omittitur. Vid. ad 1, 10.

καὶ πολλὰ μὲν λόγια ἐλέγετο. Quia in Reg. Caſſ. Gr. eſt *ἔλεγον*, in Aug. *ἐλέγοντο*, illud Poppo coniicit veram eſſe lectionem, eaque concinnitatem loco reſtitui putat, cum in vulgata alterum *πολλά* nominativus, alterum accuſativus ſit. Pluralem autem *ἔλεγον* ideo ad *λόγια* pertinere poſſe ait, quia auctor ſynonymum verbum *χρησμοί* in mente habebat, cuius uſus exempla vid. ſupra ad 1, 90. Sed h. l. minus veriſimile eſt, auctoris animo aliud vocabulum obverſatum eſſe, cum verbum e veſtigio ſubiectum ſubſequatur, neque pluribus verbis ab eo remotum ſit; quamquam hoc argumentum per ſe levius eſt, quoniam 5, 26. dicit *ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο.* Sed ibi plurimi libri *ἐγένοντο* praebent; hoc loco pauci tantum exhibent *ἔλεγον*. Concinnitatem autem in Thucydide tantum abeſt, curem, ut potius eam lectionem, quae distortior videatur, praeferam ac veriorem putem: — *λόγια* ſunt auguria, praeſagia vatum; *χρησμολόγοι* autem *χρησμούς*, i. e. oracula deorum, cantabant et explicabant.

Δῆλος ἐκινήθη — σεισθεῖσα. Cum Herodotus 6, 98. diſerte prodat, temporibus Medici belli Delum eſſe motam, addens: *ὡς ἔλεγον οἱ Δήλιοι;* veriſimile eſt, Thucydidem huic narrationi fidem non habuiſſe, ideoque tacite refutaſſe Herodotum, ut alibi. Vid. ſupra ad 1, 20.

Λακεδαιμονίους, ἄλλως τε καὶ προειπόντων, ὅτι τὴν Ἑλλάδα ἐλευθεροῦσιν· ἔῤῥωτό τε πᾶς καὶ ἰδιώτης καὶ πόλις, εἴ τι δύναιτο καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς, ἐν τούτῳ τε κεκωλῦσθαι ἐδόκει ἑκάστῳ τὰ πράγματα, ᾧ μή τις αὐτὸς παρέσται. οὕτως ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους, οἱ μὲν, τῆς ἀρχῆς ἀπολυθῆναι βουλόμενοι, οἱ δὲ, μὴ ἀρχθῶσι φοβούμενοι. Παρασκευῇ μὲν οὖν καὶ γνώμῃ τοιαύτῃ ὥρμηντο.

9. Πόλεις δ' ἑκάτεροι τάςδ' ἔχοντες ξυμμάχους ἐς τὸν πόλεμον καθίσταντο. Λακεδαιμονίων μὲν οἵδε ξύμμαχοι· Πελοποννήσιοι μὲν οἱ ἐντὸς ἰσθμοῦ πάντες, πλὴν Ἀργείων καὶ Ἀχαιῶν· τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν. Πελληνεῖς δὲ Ἀχαιῶν μόνοι ξυνεπολέμουν τὸ πρῶτον, ἔπειτα δὲ ὕστερον καὶ ἅπαντες. Ἔξω δὲ Πελοποννήσου, Μεγαρεῖς, Λοκροὶ, Βοιωτοὶ, Φωκεῖς, Ἀμπρακιῶται, Λευκάδιοι, Ἀνακτόριοι. Τούτων ναυτικὸν παρείχοντο Κορίνθιοι, Μεγαρεῖς, Σικυώνιοι, Πελληνεῖς, Ἠλεῖοι, Ἀμπρακιῶται, Λευκάδιοι· ἱππέας δὲ, Βοιωτοὶ, Φωκεῖς, Λωκροί· αἱ δ' ἄλλαι πόλεις πεζὸν παρεῖχον. Αὕτη μὲν Λακεδαιμονίων ξυμμαχία. Ἀθηναίων δὲ, Χῖοι, Λέσβιοι, Πλαταιεῖς, Μεσσήνιοι οἱ ἐν Ναυπάκτῳ, Ἀκαρνάνων οἱ πλείους, Κερκυραῖοι, Ζακύνθιοι, καὶ ἄλλαι πόλεις αἱ ὑποτελεῖς οὖσαι ἐν ἔθνεσι τοσοῖςδε· Καρία ἡ ἐπὶ θαλάσσῃ, Δωριεῖς Καρσὶ πρόςοικοι, Ἰωνία, Ἑλλήσποντος, τὰ ἐπὶ Θρᾴκης, νῆσοι ὅσαι ἐντὸς Πελοποννήσου καὶ Κρήτης πρὸς ἥλιον ἀνίσχοντα·

erat. 9. Enumerantur ſocii Lacedaemoniorum, quibus ſubiungitur recenſus earum civitatum, quae a parte Athe-

προειπόντων. Exſpectes προειπόντας. Sed ſaepe ita variat Thucydidis dicendi genus. Cap. 5. ἀναχωρησάντων δὲ πάλιν ἐκ τῆς γῆς, ἀποδώσειν αὐτοῖς τοὺς ἄνδρας; pro ἀναχωρήσασι.

9. νῆσοι ὅσαι ἐντὸς Πελοποννήσου καὶ Κρήτης —. Scholiaſta interpungi iubet poſt Πελοποννήσου. Quid ſibi velit, Scholion codd. Caſſ. et Aug. adſcriptum aperit. Ibi enim ad verba νῆσοι ὅσαι notatur: αἱ περὶ τὰ δυτικά. Intellexit igitur et occidentales et orientales Graeciae inſulas. Quam rationem mihi non probavit. Nam praeter Zacynthum et Corcyram, quas

πᾶσαι αἱ ἄλλαι Κυκλάδες, πλὴν Μήλου, καὶ Θήρας. Τούτων ναυτικὸν παρείχοντο Χῖοι, Λέσβιοι, Κερκυραῖοι, οἱ δ' ἄλλοι πεζὸν καὶ χρήματα. Ξυμμαχία μὲν αὕτη ἑκατέρων καὶ παρασκευὴ ἐς τὸν πόλεμον ἦν.

10. Οἱ δὲ Λακεδαιμόνιοι μετὰ τὰ ἐν Πλαταιαῖς εὐθὺς περιήγγελλον κατὰ τὴν Πελοπόννησον καὶ τὴν ἔξω ξυμμαχίδα στρατιὰν παρασκευάζεσθαι ταῖς πόλεσι, τά τε ἐπιτήδεια, οἷα εἰκὸς ἐπὶ ἔξοδον ἔκδημον ἔχειν, ὡς ἐσβαλοῦντες ἐς τὴν Ἀττικήν. Ἐπειδὴ δὲ ἑκάστοις ἕτοιμα γίγνοιτο κατὰ τὸν χρόνον τὸν εἰρημένον, ξυνῄεσαν τὰ δύο μέρη ἀπὸ πόλεως ἑκάστης ἐς τὸν ἰσθμόν. Καὶ ἐπειδὴ πᾶν τὸ στράτευμα ξυνειλεγμένον ἦν, Ἀρχίδαμος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῆς ἐξόδου ταύτης, ξυγκαλέσας τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν, καὶ τοὺς μάλιστα ἐν τέλει, καὶ ἀξιολογωτάτους, παρεῖναι, τοιάδε ἔλεξεν.

11. „ἌΝΔΡΕΣ Πελοποννήσιοι, καὶ οἱ ξύμμαχοι, καὶ οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ τῇ Πελοποννήσῳ καὶ ἔξω ἐποιήσαντο, καὶ ἡμῶν αὐτῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῆσδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν· ἀλλὰ καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα, καὶ αὐτοὶ

nienſium ſtabant. 10. Convocatis ſociis, cum, copiis trifariam diviſis, quaeque civitas duas partes in iſthmum miſiſſet, Archidamus rex, qui toto exercitui praeerat, ad duces congregatos verba facit. 11. Primum docet, graviſſimum et maximum fore bellum, quod hominum

iam antea memoravit, nulla ex occidentalibus inſula Athenienſibus foederata erat. Itaque Sporades et Cyclades inſulae intelligendae, et quae ſequuntur verba: πᾶσαι αἱ ἄλλαι Κυκλάδες — non tamquam continuatio enumerandorum ſociorum, ſed ut accurata definitio et exceptio accipienda ſunt.

10. καὶ τὴν ἔξω ξυμμαχίδα. Novem codd. habent τὴν ἔξω ξυμμαχίαν, quod Benedictus verum putabat, nos reiicimus, cum non veriſimile ſit, a notiſſimo vocabulo ξυμμαχίαν librarios aberraſſe ad ξυμμαχίδα, quod etiam per ſe melius reſpondet verbo Πελοπόννησος. — Infra ante παρεῖναι poſui comma, ut hic infinitivus ad ξυγκαλέσας referatur.

πλεῖστοι καὶ ἄριστοι στρατεύοντες. Δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι, μήτε αὐτῶν ἡμῶν τῆς δόξης ἐνδεεστέρους. Ἡ γὰρ Ἑλλὰς πᾶσα τῆδε τῇ ὁρμῇ ἐπῆρται, καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχουσα, διὰ τὸ Ἀθηναίων ἔχθος, πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν. Οὔκουν χρὴ, εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι, καὶ ἀσφάλεια πολλὴ εἶναι, μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους ἡμῖν διὰ μάχης, τούτου ἕνεκα ἀμελέστερόν τι παρεσκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα καὶ στρατιώτην τὸ καθ' αὑτὸν ἀεὶ προσδέχεσθαι ἐς κίνδυνόν τινα ἥξειν. Ἄδηλα γὰρ τὰ τῶν πολέμων, καὶ ἐξ ὀλίγου τὰ πολλὰ, καὶ δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται· πολλάκις τε τὸ ἔλασσον πλῆθος, δεδιὸς, ἄμεινον ἠμύνατο τοὺς πλέονας, διὰ τὸ καταφρονοῦντας ἀπαρασκεύους γενέσθαι. Χρὴ δὲ ἀεὶ ἐν τῇ πολεμίᾳ, τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ ἔργῳ, δεδιότας παρασκευάζεσθαι. οὕτω γὰρ πρός τε τὸ ἐπιέναι τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν, πρός τε τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστατοι. Ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην. ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτοὺς, εἰ μὴ καὶ νῦν ὥρμηνται, ἐν ᾧ οὔπω πάρεσμεν. ἀλλ' ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας.

memoria gestum sit. Neque enim ipsorum apparatum unquam fuisse maiorem, et urbem hostium longe potentissimam esse. Quocirca decere, eos patrum et sua ipsorum gloria dignos se praestare. Quam in rem maxime vigilantiam

11. *μήτε αὐτῶν ἡμῶν.* Hunc verborum ordinem vulgato *ἡμῶν αὐτῶν* recte praefert Benedictus.

πρᾶξαι ἡμᾶς. Πρᾶξαι h. l. emphasin habet, *feliciter exsequi*; et pendet hic infinitivus ab *εὔνοιαν ἔχουσα*, in quo latet voluntas et studium alicui salutare.

τούτου ἕνεκα. Ita MSS. legi iubent pro *τούτων*; et paullo inferius *παρασκευάζεσθαι* pro *παρεσκευάσθαι*.

καταφρονοῦντας, contemptores hostium; vid. supra 1, 122 extr. *ἐπὶ τὴν πλείστοις δὴ βλάψασαν καταφρόνησιν κεχωρήκατε.* — *δεδιότας*, sibi caventes.

Πᾶσι γὰρ, ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾷν πάσχοντάς τι ἄηθες, ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι, θυμῷ πλεῖστα ἐς ἔργον καθίστανται. Ἀθηναίους δὲ καὶ πλέον τὶ τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι, οἵ ἄρχειν τε τῶν ἄλλων ἀξιοῦσι, καὶ ἐπιόντες τὴν τῶν πέλας δῃοῦν μᾶλλον ἢ τὴν ἑαυτῶν ὁρᾷν. Ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες, καὶ μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις καὶ ἡμῖν αὐτοῖς, ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἕπεσθ' ὅπῃ ἄν τις ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποιούμενοι, καὶ τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι. Κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον, πολλοὺς ὄντας ἑνὶ κόσμῳ χρωμένους φαίνεσθαι."

12. Τοσαῦτα εἰπὼν καὶ διαλύσας τὸν ξύλλογον ὁ Ἀρχίδαμος, Μελήσιππον πρῶτον ἀποστέλλει ἐς τὰς Ἀθήνας τὸν Διακρίτου, ἄνδρα Σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ Ἀθηναῖοι, ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας. Οἱ δὲ οὐ προσεδέξαντο αὐτὸν ἐς τὴν πόλιν, οὐδ' ἐπὶ τὸ κοινόν. Ἦν γὰρ Περικλέους γνώμη πρότερον νενικηκυῖα, κήρυκα καὶ πρεσβείαν μὴ προσδέχεσθαι Λακεδαιμονίων ἐξεστρατευμένων. Ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι, καὶ ἐκέλευον ἐκτὸς ὅρων εἶναι αὐθημερόν· τό, τε λοιπὸν, ἀναχωρήσαντας

et disciplinam militarem commendat. 12. Cum Athenienses, auctore Pericle, missum ab Archidamo praeconem, postulata Peloponnesiorum repetiturum, non admisissent,

πᾶσι γὰρ — ὀργὴ προσπίπτει. Post πᾶσι cum infinitivo ὁρᾷν iungi accusativum πάσχοντας, non debet offendere. 2, 39 extr. περιγίγνεται ἡμῖν, μὴ ἀτολμοτέρους φαίνεσθαι. 2, 27. ἀσφαλέστερον ἐφαίνετο, — πέμψαντας ἔχειν. Cf. 4, 2. et Duck. ad 2, 36. Magis offensioni est ipse infinitivus ὁρᾷν, cuius loco exspectes ὁρῶσι vel ἐν τῷ ὁρᾷν, ut bene monuit Poppo. Sed nudo infinitivo Thucydides uti poterat, quia in ὀργὴ προσπίπτει latet φθονερόν ἐστι.

ἕπεσθ' ὅπῃ ἄν τις ἡγῆται. Vulgo ὅποι, invitis multis et melioribus libris, quos cum Benedicto secutus sum. Vid. 3, 112.

12. *ἀναχωρήσαντας.* Ita pro ἀναχωρήσαντες legendum esse, iam alii monuerunt, quia participium ad βούλωνται referri

ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται, πρεσβεύεσθαι. Ξυμπέμπουσί τε τῷ Μελησίππῳ ἀγωγοὺς, ὅπως μηδενὶ ξυγγένηται. Ὁ δὲ, ἐπειδὴ ἐπὶ τοῖς ὁρίοις ἐγένετο, καὶ ἔμελλε διαλύσεσθαι, τοσόνδε εἰπὼν ἐπορεύετο, ὅτι ἥδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει. Ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον, καὶ ἔγνω ὁ Ἀρχίδαμος, ὅτι οἱ Ἀθηναῖοι οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄρας, τῷ στρατῷ προὐχώρει ἐς τὴν γῆν αὐτῶν. Βοιωτοὶ δὲ μέρος μὲν τὸ σφέτερον καὶ τοὺς ἱππέας παρείχοντο Πελοποννησίοις ξυστρατεύειν· τοῖς δὲ λειπομένοις ἐς Πλάταιαν ἐλθόντες, τὴν γῆν ἐδῄουν.

13. Ἔτι δὲ τῶν Πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν ἰσθμὸν, καὶ ἐν ὁδῷ ὄντων, πρὶν ἐςβαλεῖν ἐς τὴν Ἀττικὴν, Περικλῆς ὁ Ξανθίππου, στρατηγὸς ὢν Ἀθηναίων δέκατος αὐτὸς, ὡς ἔγνω τὴν ἐςβολὴν ἐσομένην, ὑποτοπήσας, ὅτι Ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις, ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι, τοὺς ἀγροὺς αὐτοῦ παραλίπῃ, καὶ μὴ δῃώσῃ, ἢ καὶ, Λακεδαιμονίων κελευσάντων, ἐπὶ διαβολῇ τῇ αὐτοῦ γένηται τοῦτο (ὥςπερ καὶ τὰ ἄγη ἐλαύνειν προεῖπον ἕνεκα ἐκείνου), προηγόρευε τοῖς Ἀθηναίοις ἐν τῇ ἐκκλησίᾳ, ὅτι Ἀρχίδαμος μέν οἱ ξένος εἴη, οὐ μέντοι ἐπὶ κακῷ γε τῆς πόλεως γένοιτο· τοὺς δ᾽ ἀγροὺς τοὺς

Archidamus in agros eorum processit. 13. Pericles autem, veritus, ne, si ipsius agris ab Archidamo propter hospitium, quod cum eo ipsi intercesserat, parceretur, in

nequit, sed ad *πρεσβεύεσθαι* pertinet. Adstipulantur quinque codd. Pariss. — Mox plurimi codices pro *δυαλύεσθαι* habent id, quod recepimus, *διαλύσεσθαι.*

13. *μὴ πολλάκις. Πολλάκις* h. l. est *fortasse.* Vid. Ephemm. Litt. Ien. 1816. p. 463. Saepius sic legitur apud Platonem. Conferri potest Virg. Aen. 1, 148. „Ac veluti magno in populo cum *saepe* coorta est seditio. Primum denotat *saepe;* quod autem saepe fit et subinde, facile denuo fieri potest. Sic orta notio *fortassis.*"

ὥςπερ καὶ — ἐκείνου. Haec verba parentheseos signis seclusi a reliquis, quia ab Auctore ex ipsius persona interiecta sunt, non tamquam Periclis ratio. De re conf. 1, 127. — Paullo ante *αὐτοῦ* dedi pro *ἑαυτοῦ,* ex Gr. Cl. Reg. Cass. Aug. Ita in

ἑαυτοῦ καὶ οἰκίας ἣν ἄρα μὴ δῃώσωσιν οἱ πολέμιοι, ὥςπερ καὶ τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ δημόσια εἶναι, καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. Παρῄνει δὲ καὶ περὶ τῶν παρόντων, ἅπερ καὶ πρότερον, παρασκευάζεσθαί τε ἐς τὸν πόλεμον, καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐςκομίζεσθαι· ἔς τε μάχην μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐςελθόντας φυλάσσειν· καὶ τὸ ναυτικὸν, ᾗπερ ἰσχύουσιν, ἐξαρτύεσθαι· τά τε τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν· λέγων, τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων εἶναι τῶν χρημάτων τῆς προςόδου, τὰ δὲ πολλὰ τοῦ πολέμου γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι. Θαρσεῖν τε ἐκέλευε, προςιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπὶ τὸ πολὺ φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει, ἄνευ τῆς ἄλλης προςόδου, ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακιςχιλίων ταλάντων· (τὰ γὰρ πλεῖστα, τριακοσίων ἀποδέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως, καὶ τἄλλα οἰκοδομήματα, καὶ ἐς Ποτίδαιαν, ἀπαναλώθη·) χωρὶς δὲ, χρυσίου ἀσήμου καὶ ἀργυρίου, ἔν τε ἀναθήμασιν ἰδίοις καὶ δημοσίοις, καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς ἀγῶνας, καὶ σκῦλα

populi invidiam et odium incurreret, pronuntiavit, ſe agros ſuos, niſi ab hoſtibus una cum ceteris vaſtarentur, civitati permittere. Idem Athenienſes denuo exhortatus

antecedentibus ubique pronomen *αὐτός* ad Periclem ſpectabat.

ἔς τε μάχην μὴ ἐπεξιέναι. Articulum *τήν*, ante *μάχην*, cum in univerſum praeliorum fiat mentio, abiiciendum eſſe, patet. Accedit Mſſ. auctoritas. *ἐπεξιέναι* h. l. pro ſimplici *ἐξιέναι*, ut cap. 21 med. 22 init.

ἀπὸ τούτων εἶναι τῶν χρ. τῆς πρ. *Τούτων* pertinet ad *ξυμμάχους*, pendetque a *χρημάτων*, quod ipſum arctius cum *τῆς προσόδου* iunctum eſt.

ἄνευ τῆς ἄλλης προσόδου. Intelligit reditus a civibus Athenienſibus, inquilinis et peregrinis, qui Athenis negotiabantur, in publicum aerarium confluentes. Cives enim tributa et ordinaria (*τὰ τέλη*) ſolvebant, et extraordinaria (quorum erat *ἡ εἰςφορά*). Ab inquilinis exigebatur *μετοίκιον*. Praeterea ab iis, qui iudicio erant damnati, multae (*ζημίαι*) cogebantur; alia ex metallis marmoribusque redibant; maximum autem vectigal portorium erat.

Μηδικὰ, καὶ εἴ τι τοιουτότροπον, οὐκ ἐλάσσονος [ἦν], ἢ πεντακοσίων ταλάντων. Ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προςετίθει χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτούς· καὶ ἢν πάνυ ἐξείργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικειμένοις χρυσίοις. ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου, καὶ περιαιρετὸν εἶναι ἅπαν· χρησαμένους τε ἐπὶ σωτηρίᾳ, ἔφη, χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. Χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν αὐτούς. Ὁπλίτας δὲ τριςχιλίους καὶ μυρίους εἶναι, ἄνευ τῶν ἐν τοῖς φρουρίοις, καὶ τῶν παρ' ἔπαλξιν ἑξακιςχιλίων καὶ μυρίων. Τοσοῦτοι γὰρ ἐφύλασσον τὸ πρῶτον, ὁπότε οἱ πολέμιοι ἐςβάλοιεν, ἀπό τε τῶν πρεσβυτάτων

est, copias ipsorum omnes tum praesentes, tum quotannis

οὐκ ἐλάσσονος ἦν, ἢ πενταχ. ταλ. Verbum ἦν, quod huius loci structuram turbat, vel contra codices expungendum videtur. Alii medelam petebant a correctione vocabuli ἐλάσσονος, pro quo Marg. C. Gr. exhibent ἔλασσον. Sed haec librariorum potius correctio est loci iam depravati. Facile ex antecedenti ὑπαρχόντων subaudias ὑπάρχοντος, cum aperte haec omnia ad idem argumentum parati iam et praesentis adhuc auri atque argenti pertineant; quare etiam distinctio mutanda erat. Saepe verbum ἦν ab interpretibus perperam adiectum est. Supra 1, 107. codicum auctoritate delendum erat. Hoc ipso capite in verbis: τὸ δ' ἐν φυλακῇ ὂν ἦν ἥμισυ τούτου, idem verbum eiiciendum esse, recte monuit Poppo, libris quibusdam adspirantibus. Nostro loco etiam Abreschius et Kistemakerus ἦν deleri iubebant. Cf. ad 2, 53. — Paullo ante ἀπαναλώθη dedi pro ἀπανηλώθη. Attici enim in hoc verbo non utuntur augmento. Vid. ad 3, 17. cf. Buttmann. Gr. gr. p. 312. Item inferius attica dialectus postulat, ut scribatur ἄστεος pro ἄστεως.

χρυσίου ἀπέφθου, i. e. εἰλικρινοῦς, ἀκραιφνοῦς. — τεσσαράκοντα τάλ. Diodor. Sic. 12, 40. quinquaginta talenta habet. Vide Bredov. ad h. l., qui de praeclaro illo Minervae simulacro, Phidiae opere, eiusque pretio plura habet, quae hic repetere non opus est.

τῶν παρ' ἔπαλξιν. Hi iuniores et seniores erant, qui ad pinnas stantes praesidio erant urbi primis belli Peloponnesiaci annis (τὸ πρῶτον). Ὅσοι ad solos μετοίκους referendum est, quorum alii in navibus militabant, alii in urbis praesidio erant, alii fortasse in exercitu levis armaturae munere fungebantur. cf. c. 31. — Ceterum vulgo parentheseos signis includunt verba: τοσοῦτοι γὰρ ἐφύλασσον — — ἥμισυ τούτου; quod praeter necessitatem factum videtur, cum sequens membrum, quo enumeratio copiarum continuatur, suum habeat verbum ἀπέφαινε.

καὶ τῶν νεωτάτων, καὶ μετοίκων, ὅσοι ὁπλῖται ἦσαν. Τοῦ τε γὰρ Φαληρικοῦ τείχους στάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεος, καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον τρεῖς καὶ τεσσαράκοντα. Ἔστι δὲ αὐτοῦ ὃ καὶ ἀφύλακτον ἦν, τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ. Τὰ δὲ μακρὰ τείχη πρὸς τὸν Πειραιᾶ, τεσσαράκοντα σταδίων, ὧν τὸ ἔξωθεν ἐτηρεῖτο. καὶ τοῦ Πειραιῶς ξὺν Μουνυχίᾳ, ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος, τὸ δ' ἐν φυλακῇ ὂν [ἦν] ἥμισυ τούτου. Ἱππέας δ' ἀπέφαινε διακοσίους καὶ χιλίους, ξὺν ἱπποτοξόταις, ἑξακοσίους δὲ καὶ χιλίους τοξότας, καὶ τριήρεις τὰς πλωΐμους τριακοσίας. Ταῦτα γὰρ ὑπῆρχεν Ἀθηναίοις, καὶ οὐκ ἐλάσσω ἕκαστα τούτων, ὅτε ἡ ἐσβολὴ τὸ πρῶτον ἔμελλε Πελοποννησίων ἔσεσθαι, καὶ ἐς τὸν πόλεμον καθίσταντο. Ἔλεγε δὲ καὶ ἄλλα οἷά περ εἰώθει Περικλῆς, ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ.

14. Οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες ἀνεπείθοντό τε, καὶ ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας, καὶ τὴν ἄλλην κατασκευὴν, ᾗ κατ' οἶκον ἐχρῶντο, καὶ αὐτῶν τῶν οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν. Πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν διεπέμψαντο, καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας. Χαλεπῶς δὲ αὐτοῖς, διὰ τὸ ἀεὶ εἰωθέναι τοὺς πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι, ἡ ἀνάστασις ἐγίγνετο.

redeuntes, demonſtrans, et magna belli gerendi ſubſidia. 14. Eo auctore, Athenienſes res ſuas ex agris in urbem comportant, aedificia diruunt, pecudes et iumenta in

τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ. Τὰ μακρὰ τείχη urbi Piraeeum annectebant, quorum alterum τὸ βόρειον, alterum τὸ νότιον vel διὰ μέσου nominabatur. Hoc defendi opus non erat, quia τῷ Φαληρικῷ, quod ab urbe ad Phalereum ductum erat, includebatur et tegebatur. Eadem ratio erat muri eius, qui, Piraeeum et Munychiam ambiens, ex altera parte Phalerico muro defendebatur. — Quod autem imperfecto ἦσαν et ἦν utitur Thucydides, apparet, eum deſtructis demum a Lacedaemoniis muris longis, quod bello finito factum eſt, haec ſcripſiſſe. Vid. ad 1, 1.

15. Ξυνεβεβήκει δὲ ἀπὸ τοῦ πάνυ ἀρχαίου ἑτέρων μᾶλλον Ἀθηναίοις τοῦτο. Ἐπὶ γὰρ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο, πρυτανεῖά τε ἔχουσα καὶ ἄρχοντας· καὶ ὁπότε μή τι δείσειαν, οὐ ξυνῄεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα, ἀλλ᾽ αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο. καί τινες καὶ ἐπολέμησάν ποτε αὐτῶν, ὥσπερ καὶ Ἐλευσίνιοι μετ᾽ Εὐμόλπου πρὸς Ἐρεχθέα. Ἐπειδὴ δὲ Θησεὺς ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνατὸς, τά τε ἄλλα διεκόσμησε τὴν χώραν, καὶ καταλύσας τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς, ἐς τὴν νῦν πόλιν οὖσαν, ἓν βουλευτήριον ἀποδείξας καὶ πρυτανεῖον, ξυνῴκισε πάντας· καὶ νεμομένους τὰ αὑτῶν ἑκάστους, ἅπερ καὶ προτοῦ, ἠνάγκασε μιᾷ πόλει ταύτῃ χρῆσθαι, ἣ, ἁπάντων ἤδη ξυντελούντων ἐς αὐτὴν, μεγάλη γενομένη, παρεδόθη ὑπὸ Θησέως τοῖς ἔπειτα. Καὶ ξυνοίκια ἐξ ἐκείνου Ἀθηναῖοι ἔτι καὶ νῦν τῇ θεῷ ἑορτὴν δημοτελῆ ποιοῦσι. Τὸ δὲ πρὸ τούτου, ἡ ἀκρόπολις ἡ νῦν οὖσα, πόλις ἦν, καὶ τὸ ὑπ᾽ αὐτὴν πρὸς νότον μάλιστα τετραμμένον, τεκμήριον δέ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ ἄλλων θεῶν ἐστὶ, καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται, τό, τε τοῦ Διὸς τοῦ Ὀλυμπίου, καὶ τὸ Πύθιον, καὶ τὸ τῆς Γῆς, καὶ τὸ ἐν Λίμναις Διονύσου, ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι, ὥσπερ καὶ οἱ ἀπ᾽ Ἀθηναίων

Euboeam transmittunt; aegre hoc facientes, cum antiquitus conſueſſent, rure vivere, 15. primoque a Theſeo in unam civitatem coniuncti, Athenas, cuius urbis anti-

15. *ξυνεβεβήκει — Ἀθηναίοις τοῦτο*, Schol. *τὸ ἐν ἀγροῖς δίαιταν ἔχειν.*

πρυτανεῖα, curiae, *βουλευτήρια*. Infra: *καὶ καταλύσας τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχάς.* Mox *βουλευτήριον* et *πρυτανεῖον* iungit.

ἁπάντων ἤδη ξυντελούντων ἐς αὐτήν. *Ξυντελεῖν* dicuntur ii, qui una conferunt pecuniam (*τέλη*) ad uſus publicos; deinde, qui ad aliquam vel civitatem, vel ordinem civitatis pertinent, uti h. l.

καὶ τὰ ἔξω, int. *ἱερά*. — *ἐν*

Ἴωνες ἔτι καὶ νῦν νομίζουσιν· ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα. Καὶ τῇ κρήνῃ, τῇ νῦν μὲν, τῶν τυράννων οὕτω σκευασάντων, Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι, φανερῶν τῶν πηγῶν οὐσῶν, Καλλιῤῥόῃ ὠνομασμένῃ, ἐκείνῃ τε ἐγγὺς οὔσῃ, τὰ πλείστου ἄξια ἐχρῶντο, καὶ νῦν ἔτι ἀπὸ τοῦ ἀρχαίου πρό τε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι. Καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτην κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις.

16. Τῇ τε οὖν ἐπὶ πολὺ κατὰ τὴν χώραν αὐτονόμῳ οἰκήσει μετεῖχον οἱ Ἀθηναῖοι, καὶ ἐπειδὴ ξυνῳκίσθησαν, διὰ τὸ ἔθος ἐν τοῖς ἀγροῖς ὅμως οἱ πλείους τῶν τε ἀρχαίων καὶ τῶν ὕστερον μέχρι τοῦδε τοῦ πολέμου πανοικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες, οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο, ἄλλως τε καὶ ἄρτι ἀνειληφότες τὰς κατασκευὰς μετὰ τὰ Μηδικά. Ἐβαρύνοντο δὲ καὶ χαλεπῶς ἔφερον, οἰκίας τε καταλιπόντες, καὶ ἱερὰ, ἃ διὰ παντὸς ἦν αὐτοῖς ἐκ τῆς κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια, δίαιτάν τε μέλλοντες μεταβάλλειν, καὶ οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὑτοῦ ἀπολείπων ἕκαστος.

quiſſimam eſſe partem acropoli verſus meridiem ſubiectam, demonſtratur. 16. Cur moleſte tulerint migrationem

μηνὶ Ἀνθεστηριῶνι, qui menſis reſpondet fere Februario noſtro. Antiquiora Dionyſia non manebant celebria Athenis, quod contra evenerat apud Iones, moris antiqui tenaciores. — *Λίμναι* locus erat Athenis. Cf. Harpocrat. et Suidas v. *ἐν Λίμναις Διονύσιον*.

καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα. Hunc verborum ordinem pro *ἀρχαῖα ταύτῃ* ex Mſſ. reſtituimus. — *σκευασάντων*, cuius lectionis interpretationes ſunt in aliis codd. *κελευσάντων*, in aliis *κατασκευασάντων*, ad conte- ctionem fontis pertinet, qui antea fuerat apricus.

τὰ πλείστου ἄξια, i. e. *ἐς τὰ πλ. ἄξια*. cf. cap. 4 extr. *εἴτε τι ἄλλο χρήσονται.* — *ἐκείνῃ*, *ἀκροπόλει*. — *τῶν γαμικῶν*, int. *ἱερῶν*.

16. *τῇ — οἰκήσει μετεῖχον* i. q. *τῆς οἰκήσεως εἴχοντο.*

καὶ οὐδὲν ἄλλο ἢ — ἕκαστος. Subaudi *ποιοῦντες*. Similiter Latini, omiſſo verbo *facere*, loqui ſolent. Cf. Liv. 2, 49. 4, 3. 23, 5. al. Sententia autem eſt: Athenienſibus migratio ab agris in urbem tam mole-

17. Ἐπειδὴ δὲ ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις μέν τισιν ὑπῆρχον οἰκήσεις, καὶ παρὰ φίλων τινὰς ἢ οἰκείων καταφυγή· οἱ δὲ πολλοὶ τά τε ἔρημα τῆς πόλεως ᾤκησαν, καὶ τὰ ἱερὰ, καὶ τὰ ἡρῷα πάντα, πλὴν τῆς ἀκροπόλεως, καὶ τοῦ Ἐλευσινίου, καὶ εἴ τι ἄλλο βεβαίως κλειστὸν ἦν· τό, τε Πελασγικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν, καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον ὡς — τὸ Πελασγικὸν, ἀργὸν ἄμεινον — ὅμως ὑπὸ τῆς παραχρῆμα ἀνάγκης ἐξῳκήθη. Καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι ἢ προςεδέχοντο· οὐ γὰρ διὰ τὴν παράνομον ἐνοίκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει, ἀλλὰ διὰ τὸν πόλεμον ἡ ἀνάγκη τῆς οἰκήσεως· ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον προῄδει μὴ ἐπ' ἀγαθῷ ποτὲ αὐτὸ κατοικισθησόμενον. Κατεσκευάσαντο δέ καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν πολλοὶ, καὶ ὡς ἕκαστός που ἐδύνατο. οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις, ἀλλ' ὕστερον δὴ τά τε μακρὰ τείχη ᾤκησαν κατανειμάμενοι, καὶ τοῦ Πειραιῶς τὰ πολλά. Ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο, ξυμμάχους τε ἀγείροντες, καὶ

Attici, 17. et quomodo tanta multitudo Athenis do-

sta videbatur, quam si urbem quisque suam relinquentes peregre abirent. — αὐτοῦ scripsi pro αὑτοῦ ex Ar. Reg., sensu ita postulante.

17. καὶ τοῦ Ἐλευσινίου. Templum erat Cereris et Proserpinae Athenis in Ceramico, ubi simulacrum Iacchi asservabatur, quod Eleusiniis magna in pompa Athenis Eleusinem gestabatur.

τό τε Πελασγικὸν, int. τεῖχος. Locus erat, Pelasgico muro adiacens, desertus ab illo inde tempore, cum Pelasgi ex hoc loco Atheniensibus insidias struxissent. Vid. Schol.

ὅμως — ἐξῳκήθη. Vulgo haec verba, puncto ante ὅμως posito, ab antecedentibus disiunguntur, quo ea pertinere perspicuum est; alioquin enim illud τό τε Πελασγικόν verbo finito caret. Lineolam igitur pro puncto induxi. — ἐξῳκήθη, impletum fuit incolis, omne frequentatum. Praepositio ἐξ saepe habet vim perfectionis, ut in ἐκπονεῖν, ἐξοικοδομεῖν.

αἱ ξυμφοραὶ γενέσθαι, subaudi δοκοῦσι ex antecedente δοκεῖ; quare post προςεδέχοντο minore interpunctione usi sumus. — κατεσκευάσαντο, κατασκευάς ἐποιήσαντο, sie richteten sich ein. Ita φυλάσσειν apud Thucydidem legitur passim sine casu, pro φυλακὴν ποιεῖσθαι, stationem agere. Cf. 2, 13 post med. τοσοῦτοι ἐφύλασσον τὸ πρῶτον.

τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες. Καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.

18. Ὁ δὲ στρατὸς τῶν Πελοποννησίων προϊὼν ἀφίκετο τῆς Ἀττικῆς ἐς Οἰνόην πρῶτον, ᾗπερ ἔμελλον ἐσβαλεῖν· καὶ ὡς ἐκαθέζοντο, προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησόμενοι μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ. Ἡ γὰρ Οἰνόη, οὖσα ἐν μεθορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας, ἐτετείχιστο, καὶ αὐτῷ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο, ὁπότε πόλεμος καταλάβοι. Τάς τε οὖν προσβολὰς ηὐτρεπίζοντο, καὶ ἄλλως ἐνδιέτριψαν χρόνον περὶ αὐτήν. Αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ᾽ αὐτοῦ, δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς εἶναι, καὶ τοῖς Ἀθηναίοις ἐπιτήδειος, οὐ παραινῶν προθύμως πολεμεῖν· ἐπειδή τε ξυνελέγετο ὁ στρατὸς, ἥ τε ἐν τῷ ἰσθμῷ ἐπιμονὴ γενομένη, καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης διέβαλεν αὐτὸν, μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἐπίσχεσις. Οἱ γὰρ Ἀθηναῖοι ἐσεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ, καὶ ἐδόκουν οἱ Πελοποννήσιοι ἐπελθόντες ἂν διὰ τάχους, πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν. Ἐν τοιαύτῃ μὲν ὀργῇ ὁ στρατὸς τὸν Ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν· ὁ δὲ, προσδεχόμενος (ὡς λέγεται) τοὺς Ἀθηναίους, τῆς γῆς ἔτι ἀκεραίου οὔσης, ἐνδώσειν τὶ, καὶ κατοκνήσειν περιϊδεῖν αὐτὴν τμηθεῖσαν, ἀνεῖχεν.

micilia invenerit. 18. Peloponnesii Oenoën, munitam Atticae urbem in confiniis Boeotiae, oppugnare parant segniter, quare ira exercitus in Archidamum, de indu-

18. *αἰτίαν — ἀπ᾽ αὐτοῦ*, int. τοῦ ἐνδιατρίβειν. *αἰτία*, criminatio. vid 1, 146.

οὐ παραινῶν προθύμως. Respicitur eius oratio 1, 80—85.

εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν. Praeter necessitatem hic intelligunt alii ἐβράδυναν, alii ἐκωλύοντο aut ἐχρόνιζον. In verbis ἐδόκουν ἂν καταλαβεῖν notio inest τοῦ *licere*, *posse*, cui convenit praepositio *διά*, ut latinum *per*. Particulae *εἰ μή* exceptionem enuntiant. Vid. Hoogev. ad Viger. p. 511. Herm.

ἐν τῇ καθέδρᾳ, ἐπιμονῇ, ἐπισχέσει.

19. Ἐπειδὴ μέντοι προσβαλόντες τῇ Οἰνόῃ, καὶ πᾶσαν ἰδέαν πειράσαντες, οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε Ἀθηναῖοι οὐδὲν ἐπεκηρυκεύοντο· οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς, μετὰ τὰ ἐν Πλαταίᾳ τῶν ἐσελθόντων Θηβαίων γενόμενα ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα, τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. Καὶ καθεζόμενοι ἔτεμνον, πρῶτον μὲν Ἐλευσῖνα, καὶ τὸ Θριάσιον πεδίον, καὶ τροπήν τινα τῶν Ἀθηναίων ἱππέων περὶ τοὺς Ῥείτους καλουμένους ἐποιήσαντο· ἔπειτα προὐχώρουν, ἐν δεξιᾷ ἔχοντες τὸ Αἰγάλεων ὄρος, διὰ Κρωπειᾶς, ἕως ἀφίκοντο ἐς Ἀχαρνὰς, χῶρον μέγιστον τῆς Ἀττικῆς τῶν δήμων καλουμένων. Καὶ καθεζόμενοι ἐς αὐτὸν, στρατόπεδόν τε ἐποιήσαντο, χρόνον τε πολὺν ἐμμείναντες ἔτεμνον.

20. Γνώμῃ δὲ τοιᾷδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι, καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι. Τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν, ἀκμάζοντάς τε νεότητι πολλῇ, καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον,

ſtria cunctari viſum, movetur. 19. Ubi fruſtra Oenoë oppugnatur, neque ab Athenienſibus quidquam conceditur, Archidamus procedit in Atticam usque Acharnas, omnia vaſtans. 20. Quo conſilio Archidamus circa Acharnas

19. *πᾶσαν ἰδέαν πειράσαντες*, qualibet ratione tentantes, omnia molientes. 1, 109. *αὐτοῖς πολλαὶ ἰδέαι πολέμων καθέστησαν.*

τοὺς Ῥείτους. Οἱ Ῥεῖτοι erant aquarum alvei in Attica, de quibus Pauſanias 1, 38. Mox *διὰ Κρωπειᾶς* pro *διὰ Κεκροπίας* cum Bredovio dedimus ex melioribus libris, quibus accedunt quinque ex Pariſſ. a Gailio collatis. Erat *Κρωπειά*, ſecundum Stephanum de Urb. *δῆμος τῆς Λεοντίδος φυλῆς.* De Cecropia, quae ab Athenarum arce diverſa ſit, nemini interpretum vel geographorum quidquam innotuit. Non autem h. l. de Athenarum arce, ſed de regione quadam vel agro ſermo eſſe poteſt. Et per ſe veriſimilius eſt, librarios ab obſcuriore vocabulo ad uſitatius nomen declinaſſe, quam vice verſa.

χῶρον μέγιστον. Vulgo *χωρίον*, et paullo poſt *ἐς αὐτό.* Nos ex optimis libris *χῶρον* et *αὐτόν* recepimus. Cap. 20 med. de iisdem Acharnis: *ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι.*

ἴσως ἂν ἐπεξελθεῖν, καὶ τὴν γῆν οὐκ ἂν περιϊδεῖν τμηθῆναι. Ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο, περὶ τὰς Ἀχαρνὰς καθήμενος, εἰ ἐπεξίασιν. Ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι, ἅμα δὲ καὶ οἱ Ἀχαρνεῖς, μέγα μέρος ὄντες τῆς πόλεως, (τρισχίλιοι γὰρ ὁπλῖται ἐγένοντο) οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην· εἴτε καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν, καὶ πρὸς αὐτὴν τὴν πόλιν χωρήσεσθαι. τοὺς γὰρ Ἀχαρνέας, ἐστερημένους τῶν σφετέρων, οὐχ ὁμοίως προθύμους ἔσεσθαι ὑπὲρ τῆς τῶν ἄλλων κινδυνεύειν, στάσιν δὲ ἐνέσεσθαι τῇ γνώμῃ. Τοιαύτῃ μὲν διανοίᾳ ὁ Ἀρχίδαμος περὶ τὰς Ἀχαρνὰς ἦν.

21. Ἀθηναῖοι δὲ, μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον, ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Πανσανίου Λακεδαιμονίων βασιλέα, ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε στρατῷ Πελοποννησίων, πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν, ἀνεχώρησε πάλιν, ἐς τὸ πλέον οὐκέτι προελθών. διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ

potiſſimum ſubſtiterit et caſtra poſuerit. 21. Athenienſes cum non ſuſtineant videre agrorum ſuorum vaſtationem,

20. *τὸ πεδίον τεμεῖν.* Plurimi codices *τέ*, quod vulgo legitur inter *τό* et *πεδίον*, omittunt, quorum auctoritas ſequenda videbatur. — Mox pro *ἐς αὐτὴν τὴν πόλιν* multi codd. praebent aptiorem lectionem *πρὸς αὐτὴν τ. π.* Non enim hoc opinari poterat Archidamus, *in ipſam* ſe urbem perventurum eſſe, ſed tantum in urbis viciniam.

21. *διὸ δὴ καὶ ἡ φυγὴ* —. Poſt *διὸ* alii codd. habent *δέ*, meliores *δή*, nonnulli utrumque omittunt. *Δή* aptius eſt h. l., quam *δέ*. Ceterum de fuga iſta etiam 1, 114 et infra 5, 16 loquitur Auctor. Pro *ἐς τὸ πλέον* ſupra 1, 114. eſt *τὸ πλέον*, omiſſa praepoſitione. Ita ſcriptores ſaepe variant. Idem factum eſt in verbis ſequentibus *κελεύοντες ἐξιέναι* (ita enim meliores libri iubent legi) cum alibi et in hoc ipſo capite paullo ante legatur *ἐπεξιέναι*. — *ξυστάσεις*, conventicula, politiſche Klubbs.

Σπάρτης, δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν. Ἐπειδὴ δὲ περὶ Ἀχαρνὰς εἶδον τὸν στρατὸν ἑξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο· ἀλλ' αὐτοῖς, ὡς εἰκὸς, τῆς γῆς τεμνομένης ἐν τῷ ἐμφανεῖ (ὃ οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι, πλὴν τὰ Μηδικὰ) δεινὸν ἐφαίνετο· καὶ ἐδόκει τοῖς τε ἄλλοις, καὶ μάλιστα τῇ νεότητι, ἐπεξιέναι, καὶ μὴ περιορᾶν· κατὰ ξυστάσεις τε γιγνόμενοι, ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν, κελεύοντες ἐξιέναι, οἱ δέ τινες, οὐκ ἐῶντες. Χρησμολόγοι τε ᾖδον χρησμοὺς, παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὤργητο. Οἵ τε Ἀχαρνεῖς, οἰόμενοι παρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. Παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις, καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον· καὶ ὧν παρῄνεσε πρότερον, ἐμέμνηντο οὐδέν, ἀλλ' ἐκάκιζον, ὅτι, στρατηγὸς ὢν, οὐκ ἐπεξάγοι· αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων, ὧν ἔπασχον.

22. Περικλῆς δὲ, ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας, καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν, οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν· τήν τε πόλιν ἐφύλασσε, καὶ δι' ἡσυχίας μάλιστα, ὅσον

plerique poſcunt pugnam; et Periclem, qui, dux cum ſit, non educat exercitum, probris laceſſunt. 22. Pericles,

ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὤργητο. Cum Benedicto recepimus aptiſſimam lectionem ὤργητο, quam etiam Duckerus vulgato ὥρμητο praeferebat. Praebent eam Cl. Reg. Caſſ. Aug. Moſq. et unus e Pariſſ., neque veriſimile eſt, librarios caſu in hoc minus tritum vocabulum incidiſſe. Lib. 8, 2. huius verbi activum legitur: διὰ τὸ ὀργῶντες κρίνειν τὰ πράγματα. Sed medii plusquamperfectum, eadem vi uſurpatum h. l. non debet offenſioni eſſe, cum notio verbi ſit intranſitiva, quam dicunt. Eſt enim ὀργᾶν cupiditate flagrare, animi impetu commoveri. — *ὡς ἕκαστος*, ſinguli, ut ſaepe. — ἀκροᾶσθαι primus in textum recepit Gottleberus. Antea vulgabatur ἠκροᾶτο.

22. *τοῦ μὴ — ἐξαμαρτεῖν.* Vid. ad 1, 45. *μέχρι οὗ*, pro

ἐδύνατο, εἶχεν· ἱππέας μέντοι ἐξέπεμπεν ἀεὶ, τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς, ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως, κακουργεῖν. Καὶ ἱππομαχία τὶς ἐγένετο βραχεῖα ἐν Φρυγίοις, τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων, καὶ Θεσσαλοῖς μετ' αὐτῶν, πρὸς τοὺς Βοιωτῶν ἱππέας· ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ Ἀθηναῖοι καὶ Θεσσαλοί· μέχρι οὗ, προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν, τροπὴ ἐγένετο αὐτῶν, καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους. Καὶ οἱ Πελοποννήσιοι τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν. Ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν κατὰ τὸ παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις· καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισσαῖοι, Φαρσάλιοι, Παράλιοι, Κρανώνιοι, Πειράσιοι, Γυρτώνιοι, Φεραῖοι. Ἡγοῦντο δὲ αὐτῶν, ἐκ μὲν Λαρίσσης, Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς στάσεως ἑκάτερος· ἐκ δὲ Φαρσάλου, Μένων. ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες.

conſtans ſibi, neque in pugnam educit, et urbem cuſtodit. Equites tantum Athenienſes et Theſſali, qui ex pluribus civitatibus ob veterem ſocietatem aderant, emittuntur, ne hoſtium praecurſores vicinos urbi agros vaſtent. Praelio commiſſo, progrediente hoſtium gravi armatura, equites repelluntur, paucis occiſis, ſed ſine ſponſione ſublatis.

μέχρις οὗ Thucydidem ſcripſiſſe docet Benedict. ad 4, 4. Cf. Poppo p. 72.

καὶ Ἀθηναίων οὐ πολλοί. In nonnullis codd. legitur *οἱ πολλοί*, quod praeferendum videbatur Kiſtemakero, propter ſequens *μέντοι*. Sed hoc referri poteſt ad *ἀπέθανον*; tum res ipſa docet, non plerosque Athenienſium occiſos eſſe, quod *ἀσπόνδους* eos ſuſtulerunt.

ἀπὸ τῆς στάσεως ἑκάτερος. Miramur, Popponem lectionem *ἑκατέρας*, quae eſt in Marg. et Reg. a ſec. manu, probare potuiſſe. Scholiaſtam ita legiſſe, ex eius verbis demonſtrari nequit, licet Poppo etiam hoc argumento utatur. Vulgata, quam omnes codices tuentur, veriſſima eſt, et eandem ſenſum fundit: *a ſua uterque factione.* Nam in duas factiones tum temporis diviſa erat Lariſſa. Articulus ſaepe vim pronominis poſſeſſivi habet. Ita Valla quoque cepit haec verba. — *Παράλιοι*, a Theſſaliae urbe Paralos.

23. *Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξῄεσαν αὐτοῖς οἱ Ἀθηναῖοι ἐς μάχην, ἄραντες ἐκ τῶν Ἀχαρνῶν, ἐδῄουν τῶν δήμων τινὰς ἄλλους, τῶν μεταξὺ Πάρνηθος καὶ Βριλήσσου ὄρους. Ὄντων δὲ αὐτῶν ἐν τῇ γῇ, οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον, ἅςπερ παρεσκευάζοντο, καὶ χιλίους ὁπλίτας ἐπ᾽ αὐτῶν, καὶ τοξότας τετρακοσίους. ἐστρατήγει δὲ Καρκῖνός τε ὁ Ξενοτίμου, καὶ Πρωτέας ὁ Ἐπικλέους, καὶ Σωκράτης ὁ Ἀντιγένους. Καὶ οἱ μὲν, ἄραντες, τῇ παρασκευῇ ταύτῃ περιέπλεον· οἱ δὲ Πελοποννήσιοι, χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ, ὅσον εἶχον τὰ ἐπιτήδεια, ἀνεχώρησαν διὰ Βοιωτῶν, οὐχ ᾗπερ ἐςέβαλον. Παριόντες δὲ Ὠρωπὸν. τὴν γῆν τὴν Πειραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν. Ἀφικόμενοι δὲ ἐς Πελοπόννησον, διελύθησαν κατὰ πόλεις ἕκαστοι.*

24. *Ἀναχωρησάντων δὲ αὐτῶν, οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥςπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς, ἐξαίρετα ποιησαμένοις, χωρὶς θέσθαι, καὶ μὴ ἀναλοῦν, ἀλλ᾽ ἀπὸ τῶν ἄλλων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει, καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο.*

23. Dum ulterius agrum Atticum vaſtant Peloponnéſii, Athenienſes centum naves mittunt circa Peloponneſum. Lacedaemonii, victu deficiente, in Boeotiam recedunt, inde in Peloponneſum et in urbem quisque ſuam. 24. Athenienſium ſcita poſt disceſſum hoſtis.

23. *Πάρνηθος καὶ Βριλήσσου.* Parnes et Brileſſus montes Atticae erant.

ὥσπερ παρεσκευάζοντο. Vid. ſupra cap. 17 extr.

τὴν Πειραϊκήν. Ita codd. Thucydidis omnes. Sed Stephanus Byzantinus v. *Ὠρωπός* videtur legiſſe *Γραϊκήν*, allato Ariſtotelis loco, ubi *Ὠρωπὸς* nominatur *Γραῖα.* Vid Bredov.

Τριήρεις τε μετ' αὐτῶν ἐξαιρέτους ἑκατὸν ἐποιήσαντο κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας, καὶ τριηράρχους αὐταῖς· ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι, ἢ μετὰ τῶν χρημάτων, περὶ τοῦ αὐτοῦ κινδύνου, ἢν δέῃ.

25. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι, καὶ Κερκυραῖοι μετ' αὐτῶν, πεντήκοντα ναυσὶ προςβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων, ἄλλα τε ἐκάκουν περιπλέοντες, καὶ ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες, τῷ τείχει προςέβαλον, ὄντι ἀσθενεῖ, καὶ ἀνθρώπων οὐκ ἐνόντων. Ἔτυχε δὲ περὶ τοὺς χώρους τούτους Βρασίδας ὁ Τέλλιδος, ἀνὴρ Σπαρτιάτης, φρουρὰν ἔχων· καὶ αἰσθόμενος, ἐβοήθει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. Διαδραμὼν δὲ τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἐσκεδασμένον κατὰ τὴν χώραν, καὶ πρὸς τὸ τεῖχος τετραμμένον, ἐςπίπτει ἐς τὴν Μεθώνην, καὶ ὀλίγους τινὰς ἐν τῇ ἐςδρομῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ, τήν τε πόλιν περιεποίησε, καὶ ἀπὸ τούτου τοῦ τολμήματος πρῶτος τῶν κατὰ τὸν πόλεμον ἐπῃνέθη ἐν Σπάρτῃ. Οἱ δὲ Ἀθηναῖοι ἄραντες παρέπλεον· καὶ σχόντες τῆς Ἠλείας ἐς Φειὰν, ἐδῄουν τὴν γῆν ἐπὶ δύο ἡμέρας. Καὶ προςβοηθήσαντας τῶν ἐκ τῆς κοίλης Ἤλιδος

25. Eorundem claſſis appellit ad Methonen, idque oppidum oppugnat. Audax Braſidae facinus, quo primum innotuit. Quo facto Athenienſes in Elidem proficiſcun-

24. *τριήρεις τε — τὰς βελτίστας.* Hoc loco valde turbatum eſt in codd. Vocabulum *ἑκατόν* alii ante *ἐξαιρέτους* habent, idem omittit Caſſ. et Aug. in quo ex *ἕκαστον* reſcriptum eſt *ἑκατόν*. In Vindob. pro *κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας* legitur: *μετὰ τῶν ναυτῶν τὰς βελτίστας*. Vulgata tamen non ſollicitanda videtur. — *ὧν μὴ χρῆσθαι*, ſubaudi ex ſuperioribus *ἔδοξεν αὐτοῖς*.

25. *ἐς Μεθώνην τῆς Λακωνικῆς.* Methone proprie eſt Meſſeniae oppidum, ſed, ut tota Meſſenia, ſub Lacedaemoniorum imperio. Inde *Λακωνικὴν* appellat. Erat enim et alia Methone in Macedonia, ad ſinum Thermaicum ſita.

καὶ ἀνθρώπων οὐκ ἐνόντων. Adſentior Kiſtemakero, *ἀνθρώπους* hic de militibus ſive praeſidio accipienti. Braſidas totius regionis cuſtos et tutor erat. Alio modo Scholiaſta ſententiam fulcit, ſubaudiens *πολλῶν*.

τριακοσίους λογάδας, καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων, μάχῃ ἐκράτησαν. Ἀνέμου δὲ κατιόντος μεγάλου, χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ, οἱ μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς, καὶ περιέπλεον τὸν Ἰχθῦν καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα. οἱ δὲ Μεσσήνιοι ἐν τούτῳ, καὶ ἄλλοι τινὲς οἳ οὐ δυνάμενοι ἐπιβῆναι, κατὰ γῆν χωρήσαντες, τὴν Φειὰν αἱροῦσι. Καὶ ὕστερον αἵ τε νῆες περιπλεύσασαι ἀναλαμβάνουσιν αὐτοὺς, καὶ ἐξανάγονται ἐκλιπόντες Φειάν· καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ προσεβεβοηθήκει. Παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα χωρία, ἐδῄουν.

26. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα, καὶ Εὐβοίας ἅμα φυλακήν. ἐστρατήγει δὲ αὐτῶν Κλεόπομπος ὁ Κλεινίου. Καὶ ἀποβάσεις ποιησάμενος, τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε, καὶ Θρόνιον εἷλεν· ὁμήρους τε ἔλαβεν αὐτῶν, καὶ ἐν Ἀλόπῃ τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν.

27. Ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντας ἐποίκους, ἔχειν. Καὶ ἐξέπεμψαν ὕστερον οὐ πολλῷ

tur, ad Pheam appellunt, et agros vastant. 26. Aliae Atheniensium triginta naves, circa Locridem missae, Thronium capiunt, et pugna profligant Locros subvenientes. 27. Eadem aestate Aegina, incolis suis exuta, Atheniensibus colonis completur. Expulsis Lace-

26. *ἐν Ἀλόπῃ.* Ita Cass. cum nonnullis aliis; plerique *Ἀλώπῃ* exhibent. Sed apud alios scriptores illa scriptura solennis. Vid. Wasse ad h. l. Alope in Locrorum Opuntiorum finibus sita erat; Thronium in Epicnemidiis.

27. *καὶ τὴν Αἴγιναν.* Punctum, quod erat ante haec verba, mutavi in colon, cum altera his ratio Atheniensium exponatur, cur Aeginetas migrare ex patria iusserint. De structura *ἐφαίνετο, πέμψαντας ἔχειν* vid. ad 2, 11.

ἐς αὐτὴν τοὺς οἰκήτορας. Ἐκπεσοῦσι δὲ τοῖς Αἰγινήταις οἱ Λακεδαιμόνιοι ἔδοσαν Θυρέαν οἰκεῖν, καὶ τὴν γῆν νέμεσθαι, κατά τε τὸ Ἀθηναίων διάφορον, καὶ ὅτι σφῶν εὐεργέται ἦσαν ὑπὸ τὸν σεισμὸν, καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν. Ἡ δὲ Θυρεᾶτις γῆ μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστὶν, ἐπὶ θάλασσαν καθήκουσα. Καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν, οἱ δ' ἐσπάρησαν κατὰ τὴν ἄλλην Ἑλλάδα.

28. Τοῦ δ' αὐτοῦ θέρους νουμηνίᾳ κατὰ σελήνην (ὥσπερ καὶ μόνον δοκεῖ εἶναι γίγνεσθαι δυνατὸν) ὁ ἥλιος ἐξέλιπε μετὰ μεσημβρίαν, καὶ πάλιν ἀνεπληρώθη, γενόμενος μηνοειδὴς, καὶ ἀστέρων τινῶν ἐκφανέντων.

29. Καὶ ἐν τῷ αὐτῷ θέρει Νυμφόδωρον τὸν Πύθεω, ἄνδρα Ἀβδηρίτην, οὗ εἶχε τὴν ἀδελφὴν Σιτάλκης, δυνάμενον παρ' αὐτῷ μέγα, οἱ Ἀθηναῖοι, πρότερον πολέμιον νομίζοντες, πρόξενον ἐποιήσαντο, καὶ μετεπέμψαντο· βουλόμενοι Σιτάλκην σφίσι τὸν Τήρεω, Θρᾳκῶν βασιλέα, ξύμμαχον γενέσθαι. Ὁ δὲ Τήρης οὗτος, ὁ τοῦ Σιτάλκου πατὴρ, πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλέον τῆς ἄλλης Θρᾴκης ἐποίησε. πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι Θρᾳκῶν. Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπ' Ἀθηνῶν σχόντι

daemonii Thyream, in confinio Argivae et Laconicae fitam, concedunt. 28. Solis defectus. 29. Athe-

ὑπὸ τὸν σεισμόν. Cf. 1, 101. Scholiafta ὑπό recte exponit κατὰ τὸν καιρόν.

28. νουμηνίᾳ κατὰ σελήνην. Κατὰ σελήνην ideo addit, quia primus civilis menfis dies, five νουμηνία, plerumque quidem, non femper tamen incidebat in νουμηνίαν naturalem, quam ipfam hic indicat verbis κατὰ σελήνην. Significat enim Kalendas lunares non eas, quas civiles poffis appellare, fed naturales. Docuit hoc poft Dodwellum ad Ar. 1. belli Pelop. Bredovius, cuius nota ad h. l. et alias ob caufas digniffima eft quae legatur. Illuftrat enim omnem iftius aetatis de folis defectu fcientiam, eorumque errorem refutat, qui veteribus miram quandam et noftrae fere fimilem rerum naturalium cognitionem tribuunt.

γενόμενος μηνοειδής, nempe antequam rurfus impleretur, corniculatus erat, et ftellae apparebant.

γυναῖκα προσήκει ὁ Τήρης οὗτος οὐδέν, οὐδὲ τῆς αὐτῆς Θρᾴκης ἐγένοντο· ἀλλ' ὁ μὲν ἐν Δαυλίᾳ τῆς Φωκίδος νῦν καλουμένης γῆς ὁ Τηρεὺς ᾤκει, τότε ὑπὸ Θρᾳκῶν οἰκουμένης· καὶ τὸ ἔργον τὸ περὶ τὸν Ἴτυν αἱ γυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔπραξαν· πολλοῖς δὲ καὶ τῶν ποιητῶν ἐν ἀηδόνος μνήμῃ Δαυλιὰς ἡ ὄρνις ἐπωνόμασται. εἰκὸς δὲ καὶ τὸ κῆδος Πανδίονα ξυνάψασθαι τῆς θυγατρὸς διὰ τοσούτου, ἐπ' ὠφελείᾳ τῇ πρὸς ἀλλήλους, μᾶλλον, ἢ διὰ πολλῶν ἡμερῶν ἐς Ὀδρύσας ὁδοῦ. Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων, βασιλεύς τε πρῶτος ἐν κράτει Ὀδρυσῶν ἐγένετο. Οὗ δὴ ὄντα τὸν Σιτάλκην οἱ Ἀθηναῖοι ξύμμαχον ἐποιήσαντο, βουλόμενοι σφίσι τὰ ἐπὶ Θρᾴκης χωρία καὶ Περδίκκαν ξυνελεῖν αὐτόν. Ἐλθών τε ἐς τὰς Ἀθήνας ὁ Νυμφόδωρος, τήν τε τοῦ Σιτάλκου ξυμμαχίαν ἐποίησε, καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ, Ἀθηναῖον· τόν τε ἐπὶ Θρᾴκης πόλεμον ὑπεδέχετο καταλύσειν· πείσειν γὰρ Σιτάλκην πέμψειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων τε καὶ

nienſes cum Sitalce, Odryſarum rege, ſocietatem ineunt per eius affinem Nymphodorum, Abderitam. Opes Odryſarum a quo primum ſirmatae ſuerint. Etiam

29. *προσήκει ὁ Τήρης.* Ita ſcripſi ex codd. Marg. Cl. Gr. Reg. Caſſ. Aug. pro *προσῆκεν*, quod ſequenti aoriſto et imperfecto a librariis aſſimilatum eſt, ut ſaepe.

ἐν Δαυλίᾳ. Daulia urbs fuiſſe videtur Duckero. — In tota hiſtoria hanc unam fabulam Thucydidem attuliſſe, quod monet Scholiaſta, non verum eſt. Vid. 2, 102. de Alcmaeone. Eam tamen non tam explicat, ſed potius perſtringit et ex parte illuſtrat hiſtorica ratione. Vid. Apollod. 3, 14, 8. Ovid. Metam. 6, 433 — 679. — Mox parentheſeos notas, quibus vulgo locus: *καὶ τὸ ἔργον — — ἐς Ὀδρύσας ὁδοῦ* includuntur, ſuſtulimus.

Τήρης δὲ οὔτε τὸ αὐτὸ ὄνομα ἔχων. Alteri enim *Τηρεὺς* nomen erat, alteri *Τήρης.* — *ἔχων* participium h. l. pro verbo finito, quia *οὔτε* reſpondet proximo *τέ.* cf. 1, 25. — *βασιλεύς τε — ἐγένετο*, i. e. validum ſub eo primo imperium fuit. — *ξυνελεῖν αὐτόν*, nempe Sitalcen, per quem ſibi oppida Thracica et Perdiccam conciliare cupiebant.

πέμψειν στρατιάν. Vulgo *πέμπειν.* Illud cum recentioribus criticis ex codd. recepimus. Vid. ad 1, 27. — *καὶ πελταστῶν*, inepte vulgo editur *Πελταστῶν*, littera maiuſcula, cum ſint *πελτασταί*, quos Livius et Caeſar cetratos appellant.

πελταστῶν. Ξυνεβίβασε δὲ καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις, καὶ Θέρμην αὐτῷ ἔπεισεν ἀποδοῦναι. Ξυνεστράτευσέ τ' εὐθὺς Περδίκκας ἐπὶ Χαλκιδέας μετ' Ἀθηναίων καὶ Φορμίωνος. Οὕτω μὲν Σιτάλκης τε ὁ Τήρεω, Θρακῶν βασιλεὺς, ξύμμαχος ἐγένετο Ἀθηναίοις, καὶ Περδίκκας ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεύς.

30. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι, ἔτι ὄντες περὶ Πελοπόννησον, Σόλλιόν τε Κορινθίων πόλισμα αἱροῦσι, καὶ παραδιδόασι Παλαιρεῦσιν Ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέμεσθαι. Καὶ Ἄστακον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατὰ κράτος, καὶ ἐξελάσαντες αὐτὸν, τὸ χωρίον ἐς τὴν ξυμμαχίαν προσεποιήσαντο. Ἐπί τε Κεφαλληνίαν τὴν νῆσον προσπλεύσαντες, προσηγάγοντο ἄνευ μάχης. Κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα, τετράπολις οὖσα, Παλεῖς, Κράνιοι, Σαμαῖοι, Προνναῖοι. Ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς Ἀθήνας.

31. Περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου, Ἀθηναῖοι πανδημεὶ, αὐτοὶ καὶ οἱ μέτοικοι, ἐσέβαλον

Perdiccas Athenienſibus conciliatur opera Nymphodori. 30. Continuantur res a claſſe Athenienſium circa Peloponneſum geſtae. Solium Acarnaniae captum, dein Aſtacus. Cephallenia autem inſula ſine pugna conciliatur. 31. Prima Athenienſium incurſio in Megaridem, poſthac ſaepius et quotannis repetita, numquam tamen maioribus

Θέρμην — ἀποδοῦναι. Ceperant eam Athenienſes, ut tradit 1, 61. De Phormione vid. 1, 64. 65.

30. *Παλαιρεῦσιν.* Ita ex codd. dedimus pro *Παλιρεῦσιν*; atque ita etiam apud Strabonem ſcribitur nomen. Porro *Σόλλιον* duplici λ, quia ſic eſt infra 3, 95 in plerisque omnibus MSſ. et Steph. Byz. ſic exhibet. Vid Poppo p. 114. In ſequentibus *Παλῆς* reſcripſimus, ut ſupra legitur 1, 27. non ut vulgo hic *Παλλῆς*, duplici λ. Ceterum ſex codd. h. l. habent *Παλεῖς.* — *Προνναῖοι* an verum ſit, neſcire nos fatemur. Vulgo editur *Πρόναιοι*; in codd. invenimus utrumque, ſed meliores eo ducunt vel adeo id praebent, quod typis excudi iuſſimus. — *Σαμαῖοι, Σάμης* incolae.

ἐς τὴν Μεγαρίδα, Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος. Καὶ οἱ περὶ Πελοπόννησον Ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυσὶν (ἔτυχον γὰρ [ἤδη] ἐν Αἰγίνῃ ὄντες ἐπ᾽ οἴκου ἀνακομιζόμενοι,) ὡς ᾔσθοντο τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ ἐν Μεγάροις ὄντας, ἔπλευσαν παρ αὐτοὺς, καὶ ξυνεμίχθησαν. Στρατόπεδόν τε μέγιστον δὴ τοῦτο ἀθρόον Ἀθηναίων ἐγένετο, ἀκμαζούσης ἔτι τῆς πόλεως, καὶ οὔπω νενοσηκυίας. Μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν αὐτοὶ Ἀθηναῖοι· χωρὶς δὲ, αὐτοῖς οἱ ἐν Ποτιδαίᾳ τρισχίλιοι ἦσαν· μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν, χωρὶς δὲ, ὁ ἄλλος ὅμιλος ψιλῶν οὐκ ὀλίγος. Δῃώσαντες δὲ τὰ πολλὰ τῆς γῆς, ἀνεχώρησαν. Ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ ἔτος ἕκαστον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, καὶ ἱππέων, καὶ πανστρατιᾷ, μέχρι οὗ Νίσαια ἑάλω ὑπ᾽ Ἀθηναίων.

32. Ἐτειχίσθη δὲ καὶ Ἀταλάντη ὑπ᾽ Ἀθηναίων φρούριον, τοῦ θέρους τούτου τελευτῶντος, ἡ ἐπὶ Λο-

copiis, quod urbs adhuc florebat ante pestem ingruentem, et forte reversa ex Peloponneso classis una cum illis in Megaridem contendebat. 32. Insula Atalanta iuxta

31. ἔτυχον γὰρ ἤδη ἐν Αἰγίνῃ ὄντες. Particula ἤδη abest Cl. Reg. Cass. Aug. Mosq. et duobus Parr. — Verba ἐπ᾽ οἴκου ἀνακομιζόμενοι melius iis, quae sunt in parenthesi, iunguntur. Nam ὄντες ita cum verbo ἔτυχον coniunctum est, ut alterum participium sine copula positum non debeat offendere.

μέτοικοι δὲ — ὁπλιτῶν. Rarius factum videtur, ut inquilini (μέτοικοι) inter milites gravis armaturae (ὁπλιτάς) censerentur, quippe qui plerumque vel navalem militiam, vel oppidi custodiam, vel peltastarum et velitum (ψιλῶν) munera exercebant. Quare iis, quae h. l. traduntur, non est abutendum. Primum enim in vicinia erat terra hostilis, in quam irruptionem faciebant; deinde haec πανδημεί fiebat; denique iam supra c. 13. Thucydides demonstraverat, ex μετοίκοις magnum numerum ὁπλιτῶν ad urbis custodiam una cum senioribus et iunioribus Atheniensium delectum esse, qui μέτοικοι ὁπλῖται haud dubie sunt ista tria millia (τρισχίλιοι), qui utroque loco praeter μυρίους civium Atheniensium commemorantur.

Νίσαια ἑάλω. Vid. 4, 69. Paullo superius ante ὕστερον vocem πολλαί, auctoritate plurimorum codd. damnatam, plane eiecimus.

κροῖς τοῖς Ὀπουντίοις νῆσος ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος, κακουργεῖν τὴν Εὔβοιαν. Ταῦτα μὲν ἐν τῷ θέρει τούτῳ, μετὰ τὴν [τῶν] Πελοποννησίων ἐκ τῆς Ἀττικῆς ἀναχώρησιν, ἐγένετο.

33. Τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος, Εὔαρχος ὁ Ἀκαρνὰν, βουλόμενος ἐς τὴν Ἀστακον κατελθεῖν, πείθει Κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντακοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν πλεύσαντας· καὶ αὐτὸς ἐπικούρους τινὰς προςεμισθώσατο. Ἦρχον δὲ τῆς στρατιᾶς Εὐφαμίδας τε ὁ Ἀριστωνύμου, καὶ Τιμόξενος ὁ Τιμοκράτους, καὶ Εὔμαχος ὁ Χρύσιδος. Καὶ πλεύσαντες, κατήγαγον· καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν ἔστιν ἃ χωρία βουλόμενοι προςποιήσασθαι, καὶ πειραθέντες, ὡς οὐκ ἠδύναντο, ἀπέπλεον ἐπ᾽ οἴκου. Σχόντες δ᾽ ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν, καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν, ἀπατηθέντες ὑπ᾽ αὐτῶν ἐξ ὁμολογίας τινὸς, ἄνδρας τε ἀποβάλλουσι σφῶν αὐτῶν, ἐπιθεμένων ἀπροςδοκήτοις τῶν Κρανίων· καὶ βιαιότερον ἀναγαγόμενοι, ἐκομίσθησαν ἐπ᾽ οἴκου.

34. Ἐν δὲ τῷ αὐτῷ χειμῶνι, οἱ Ἀθηναῖοι, τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο

Locridem Opuntiorum, adhuc deferta, ab Athenienfibus munitur, Euboeae praefidio. 33. Deinceps fequuntur, quae per hiemen facta fint. Corinthiorum expeditio in Acarnaniam, ut Euarchum tyrannum reducerent Aftacum; quod perficiunt, in reliquis urbibus fibi conciliandis non eadem ufi fortuna. 34. Funus militum bello occiforum

32. *μετὰ τὴν τῶν Πελοποννησίων* —. Articulum *τῶν* fex codd. omittunt; *τὴν* tuentur omnes. Vid. Benedict. Parum diftincte h. l. lectionis varietas in Lipf. ed. notata eft.

33. *ἐπιθεμένων ἀπροςδοκήτοις*. Rectiffime hanc lectionem defendit Benedictus, quae meliorum codd. auctoritate nititur, cum olim legeretur *ἀπροςδοκήτως*. Cf. 6, 69. — *βιαιότερον ἀναγ.* ad Craniorum impetum referendum eft, a quibus acrius urgebantur.

τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων, τρόπῳ τοιῷδε. Τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων, πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὑτοῦ ἕκαστος, ἤν τι βούληται. Ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν· ἔνεστι δὲ τὰ ὀστᾶ, ἧς ἕκαστος ἦν φυλῆς. Μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. Ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον, ὀλοφυρόμεναι. Τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως· καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. Ἐπειδὰν δὲ κρύψωσι γῇ, ἀνὴρ ᾑρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξιώσει προήκῃ, λέγει ἐπ᾽ αὐτοῖς ἔπαινον τὸν πρέποντα. Μετὰ δὲ τοῦτο ἀπέρχονται. Ὧδε μὲν θάπτουσι· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. Ἐπὶ δ᾽ οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ Ξανθίππου ᾑρέθη λέγειν. Καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

35. „ΟΙ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων

Athenis publice celebratum. 55. — 46. Periclis oratio

34. πρότριτα, tribus diebus ante funus f. exfequias. — ἐπιφέρει, inferias affert. Infra ξυνεκφέρειν eſt una exſequias ire.

ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ. Et hic poſt δὲ et paullo poſt in verbis ἔνεστι δὲ καὶ τὰ ὀστᾶ, non res ſolum, ſed etiam codices plurimi reſpuunt ineptam particulam καί, quam utroque loco expunxi.

καλλίστου προαστείου, in Ceramico. Parentheſeos ſigna, quibus vulgo includuntur verba ſequentia: καὶ ἀεὶ — ἐποίησαν, ſuſtuli. Vid. c. 13 verſ. fin. et hoc ipſo capite ſimillimum locum: ὧδε μὲν θάπτουσιν· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ.

καὶ ἀξιώσει προήκῃ. Ita codd. plerique omnes pro ἀξιώματι, quae gloſſa eſt in libris corruptis. Vid. c. 37.

35. οἱ μὲν πολλοί. Secun-

ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. Ἐμοὶ δ᾽ ἀρκοῦν ἂν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, (οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε,) καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. Χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. Ὅ, τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ᾽ ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι· ὅ, τε ἄπειρος, ἔστιν ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. Μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον

funebris, qua copiofius civitatem et inftituta potentiam-

dum Ariftotelem Rhet. 1, 7. Pericles hac oratione, quae ἐπιτάφιος λόγος vocatur, his verbis exorfus eft dicere: *Τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι, ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη.* Quae verba ex Herodoti 7, 162. defumpta effe, putat Duckerus. Apparet cum tota hac oratione, quae Thucydideo ftilo fcripta eft, tum hoc ipfo certiffimo argumento, Noftrum Oratorum mentem et fenfus potius, quam verba repraefentare. Neque aliter ipfe de fe praedicat 1, 22 init.

τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε. Ὁ προσθεὶς τῷ νόμῳ τὸν λόγον eft is, qui mori vel inftituto publice fepeliendi pro patria defunctos addidit hanc infuper legem, ut ab oratore quodam publice laudarentur. Scholiaftes Soloni tribuit; Diodorus 11, 33. bello Perfico demum, poft pugnam Plataeenfem, oratorem conftitutum effe ad laudes caeforum celebrandas, auctor eft. Cf. Wolf. ad Demofth. Leptin. p. 362.

ἐμοὶ δ᾽ ἀρκοῦν ἂν ἐδόκει. Licet ita ex melioribus libris legas pro ἐμοὶ δ᾽ ἂν ἀρκοῖν ἐδ., non tamen vertendum eft cum Kiftemakero *videretur*, fed videbatur. Nam ἂν ad infinitivum εἶναι pertinet. In fequentibus κινδυνεύεσθαι pendet ab ἐδόκει, πιστευθῆναι autem ab illo infinitivo, intellecto ὥστε. „Neque in uno viro multorum virtutes periclitari debere, ut eorum fides a meliore vel deteriore oratione pendeat."

μετρίως εἰπεῖν, i. e. apte, rei accommodate dicere, ita ut in neutram partem a veritate discedas, neque nimis, nec parum laudando. — δόκησις τῆς ἀληθείας, opinio f. exiftimatio veritatis. ἐν ᾧ Gottleberus refert ad μετρίως εἰπεῖν; mihi rectius videtur intelligere: *qua in re, ibi loci, ubi.* Ita enim non rationi moderate dicendi, fed ipfius rei conditioni vitio vertitur, quod orationi fides negatur.

ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε· τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες, ἤδη καὶ ἀπιστοῦσιν. Ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ, πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον.

56. „Ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. Τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι᾽ ἀρετὴν παρέδοσαν. Καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν. Κτησάμενοι γάρ, πρὸς οἷς ἐδέξαντο, ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως, ἡμῖν τοῖς νῦν προςκατέλιπον. Τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ, ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. | Ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν

que Athenienſium, quam defunctos laudat, de quibus

τῷ δὲ ὑπερβάλλοντι αὐτῶν. Kiſtemakerus haec ita explicat: „illi quod exſuperat ea (quae quis ſe poſſe aſſequi confidat) invidentes, iam et increduli ſunt." Simplicius cum Scholiaſta intellexeris *αὐτῶν*, *τῶν ἐπαίνων*, dem übergroſsen Lobe. Satis nota eſt haec neutralis vis verbi *ὑπερβάλλειν*. cf. 7, 67 extr. *ὑπερβαλλόντων αὐτοῖς τῶν κακῶν*. 2, 45. *καθ᾽ ὑπερβολὴν ἀρετῆς*. Quod autem numerum mutavit (*φθονοῦντες — ἀπιστοῦσιν*), id cum alibi frequentiſſime facit, tum h. l. facilius poterat, quia in *ἕκαστος* plurium hominum notio ineſt.

56. *οὐκ ἀπόνως* ad *κτησάμενοι* refer. Mox pro *πλέω* dedi *πλείω*, ex bonis libris, uſu Thucydidis ita iubente. cf. ad 1, 77.

ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ. *Ἡλικία* per ſe florem virilis aetatis deſignat. Ea cum etiamnum durat, vocatur *καθεστηκυῖα*. Recte Scholiaſtes *ἐπηυξήσαμεν* refert ad Periclis expeditiones in Samum et Euboeam, de quibus legimus ſupra 1, 114 ſeqq.

βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα. *Βάρβαρος* et *Ἕλλην* h. l. ſunt pro *βαρβαρικός* et *Ἑλληνικός*, cuius uſus rariora quaedam exempla attulit Gottle-

εἰδόσιν οὐ βουλόμενος, ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων, ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι.

37. „*Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ, ἢ μιμούμενοι ἑτέρους. Καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται· μέτεστι δὲ, κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρετῆς προτιμᾶται· οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. Ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν*

demum c. 42 feq. verba facit, optime tamen compofita

berus ad h. l. *Πόλεμος ἐπιών* item defendi poteft fimilibus phrafibus, ut *ἐπιὸν κακὸν, ἐπιὼν ὄλεθρος*. Quare etfi frequentius dicitur *πολέμιον ἐπιόντα ἀμύνεσθαι*, quam *πόλεμον*, atque nihil horum vocabulorum in codicibus mutatione frequentius eft (vid. c. c. cap. 43.): tamen vulgatum retinendum videtur.

37. *αὐτοὶ ὄντες τινι*. Vulgo contra plerosque codd. alio ordine legitur *αὐτοὶ μᾶλλον*. Praeterea *τινὶ* recepi pro *τισί*. Vid. Bened.

ἀλλ' ἐς πλείονας οἰκεῖν. Reftitui antiquam lectionem *οἰκεῖν*, cuius loco ex codd. Ar. C. Dan. et Cl. Gottleberus repofuerat *ἥκειν*. *Οἰκεῖν* eft *adminiftrari*. Demofth., Lept. 53. *βλάπτουσιν οἱ πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις*. Thucyd. 8, 67. *καθ' ὅ, τι ἄριστα ἡ πόλις οἰκήσεται*. Structura autem *οἰκεῖν ἐς τινας* non debet offendere. Cf. 8, 53. *εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον, καὶ ἐς ὀλίγους μᾶλλον*. 8, 89 med. *τοῦ ἄγαν ἐς ὀλίγους ἐλθεῖν*. Poffis etiam active intelligere *οἰκεῖν* pro *διοικεῖν*, aut abfolute pofitum, aut ad *δημοκρατίαν* relatum, fubaudito *αὐτήν*. Sic Thucydides hoc verbo utitur 1, 17. *τὰς πόλεις ᾤκουν*. 3, 37. *ἄμεινον οἰκοῦσι τὰς πόλεις*.

οὐκ ἀπὸ μέρους. Cum *μέρος* hic opponatur *ἀρετῇ*, accipio de parte nobilium, de optimatum gentibus, tamquam potentiore et ampliore ordine (privilegirte Kafte). — *κατὰ πενίαν*, i. e. *πένης μὲν ὤν*.

τῶν καθ' ἡμέραν ἐπιτη-

πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. Ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσι. |

58. „Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. Ἐπεσέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα· καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων.

59. „Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. Τήν τε γὰρ πόλιν κοι-

ad animos Athenienſium firmandos et ad fortitudinem

δευμάτων. Intellige ſtudia et vitae inſtituta unius cuiusque. Liberaliores eſſe dicit Athenienſes, quam, quos tacite carpit, Lacedaemonios, qui ſuſpicioſe, ſi quis ſuo genio indulgeret, et a communibus moribus aliquantulum discederet, rationem exigebant, cur ita ageret, quo tenderet, quomodo ſibi cavendum ab eo eſſet. — ἀζήμιοι ἀχθηδόνες, dolores ſine damno, non multae, ζημίαι, quibus Athenienſes maxime utebantur, abhorrentes a crudelitate in puniendo, ſed vincula, verbera. — διὰ δέος eſt *propter reverentiam, verecundiam;* nam mox eam ortam dicit ex obedientia et obſequio (ἀκροάσει) magiſtratuum et legum. — ἀνεπαχθῶς, (ungezwungen) reſpondet praecedenti ἐλευθέρως (mit freiem Sinne).

58. τῇ γνώμῃ, Schol. τῇ ψυχῇ, dem Gemüthe. — διετησίοις θυσίαις, perennibus ſ. anniverſariis ſacris. Intelligit ſacra publica. νομίζειν cum dativo eſt in uſu habere. v. Lexica.

ἐκπλήσσει, ἐκβάλλει ut c. 87, φόβος γὰρ μνήμην ἐκπλήσσει. Ceterum haec laudibus efferuntur, non ſine deſpicientia Lacedaemoniorum, qui triſtem et humilem vitam degebant.

39. Διαφέρομεν — τοῖσδε. Cum τοῖσδε ad ſequentem expoſitionem pertineat, ταῖς μελέταις intelligendum eſt ἐν ταῖς μελέταις, ratione rei militaris ſtudiorum.

τήν τε γὰρ πόλιν —. Ut hoc τέ habeat, quo referatur, interpunctionem correxi poſito commate poſt ὠφεληθείη, colo

νὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ· καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν ἐπιπόνῳ ἀσκήσει, εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται· ἡμεῖς δέ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. Τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. Ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν, καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν. Ἤν δέ που μορίῳ τινὶ προσμίξωσι,

patriaeque amorem provocandos.

autem poſt *εὐψύχῳ*, ubi vulgo maior diſtinctio eſt. Ita verba: *καὶ ἐν ταῖς παιδείαις* — reſpondent illis: *τήν τε γὰρ πόλιν* —.

Λακεδαιμόνιοι καθ' ἑκάστους. Haec codicum omnium eſt ſcriptura. In margine duarum vett. edd. notatum eſt *καθ' ἑαυτούς*, quod ſolum videtur ſenſum fundere eum, quem hic locus expoſcit. Nam quod c. 64. opponuntur *ξύμπαντες* et *ἕκαστοι*, id parum commode ad defendendam vulgatam lectionem adhibet Gottleberus. Ibi enim non Lacedaemonii ſoli, ut h. l., ſed ſinguli omnes populi, quibuscum Athenienſes bella gerebant, intelligendi ſunt. Et de pluribus quidem, non de uno eodemque populo *καθ' ἑκάστους* dicere licet. Sed cum a codd. fide non recedendum ſit, cogitanti mihi eadem locum expediendi ratio idonea viſa eſt, quae Neophyto Ducae (vid. Poppo Obſſ. critt. p. 195), nempe ut *Λακεδαιμόνιοι* latius accipiantur pro *Πελοποννήσιοι*, quorum caput illi erant. Neque hoc per ſe cuiquam mirum videri poteſt, cum ſexcentis locis *Ἀθηναῖοι* ponantur pro *Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι* (e. c. ter cap. 25. 30. 31.) Et vero ipſum *Λακεδαιμονίων* nomen ita adhibetur ſupra c. 12. in verbis: *πρεσβείαν μὴ προσδέχεσθαι Λακεδαιμονίων ἐξεστρατευμένων*, ubi Lacedaemonii nominantur, Peloponneſii omnes intelliguntur. Ita ſi hoc loco acceperis, vere ait Thucydides, Peloponneſios numquam ſingulos vel ex parte in Athenienſium terram irrupiſſe, ſed omnes una.

τήν τε τῶν πέλας αὐτοί. *Τέ* reſpicit praecedens *οὔτε*. — *τὴν τῶν πέλας*, ut Megaridem, quam *πανδημεί* invadebant, ut demonſtratum eſt ſupra c. 31. — *αὐτοί*, Athenienſes.

κρατήσαντές τε τινὰς ἡμῶν, πάντας αὐχοῦσιν ἀπεῶσθαι, καὶ νικηθέντες, ὑφ' ἁπάντων ἡσσῆσθαι. Καίτοι, εἰ ῥαθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι.

40. „Καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον ἐν καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα· καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον. Ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις, πρὸς ἔργα τετραμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. Μόνοι

μὴ μετὰ νόμων — ἀνδρείας. „Si non virtute, ex publica consuetudine parta, (i. e. sine legum et institutorum publicorum auxilio), sed morum tantum praestantia contendere et pericula subire velimus: hoc praestamus," sc. Lacedaemoniis. Nam his omnibus Lacedaemonii punguntur.

40. *ἀξίαν εἶναι,* pendet a *περιγίγνεται* cap. 39. Scholio, quod *θαυμάζεσθαι* eo refert, caput falsum praefixum videtur. Nam *θαυμάζεσθαι* pendet ab *ἀξίαν εἶναι.* — *μετ' εὐτελείας,* modico apparatu et sumptu. Hoc dicit, quia ab aliis *τρυφὴ βίου,* et *σχολὴ πολλὴ* Atheniensibus exprobrari solebat. Vid. Scholia.

πλούτῳ τε — χρώμεθα. Benedictus iungit *πλούτῳ ἔργου,* cui oppositus sit *λόγου κόμπος.* Sed dictio *πλοῦτος ἔργου* Paullo Apostolo, quam Thucydide, dignior videtur. Neque satis apte cum Bauero iunxeris *ἐν καιρῷ ἔργου,* cui respondeat *κόμπῳ λόγου,* pro *εἰς λόγου κόμπον.* Melius ita verborum ordo instituitur: *καὶ χρώμεθα πλούτῳ ἐν καιρῷ μᾶλλον ἔργου ἢ λόγου κόμπῳ: divitiisque ita utimur opportune, magis ut re quam verbis superbiamus.* Ita *κόμπῳ* in appositione vocabuli *πλούτῳ* accipiendum est.

καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν. Ordo verborum hic est: *Καὶ τὸ πένεσθαι οὐκ αἰσχρὸν (ἐστὶ) τινι ὁμολογεῖν, ἀλλὰ αἴσχιον μὴ διαφεύγειν ἔργῳ.* Bauerus minus recte censet, comparativum h. l. esse loco positivi, quia simpliciter negetur, turpem esse paupertatis confessionem. Comparativi ea hic vis est, quae alibi peculiari vocabulo comparativo, veluti *μᾶλλον, potius,* enuntiatur. Cf. ad 5, 102.

ἔνι τε τοῖς αὐτοῖς — γνῶναι. Etiam hoc respectu Lacedaemoniorum dictum est, quorum perpauci rei publicae administrandae operam dabant, cum militiam omnes exercerent. — *οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια* in ditiores tantum cives cadit; ceteri, opifices, operae, δη-

γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα, οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν· καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον, ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. Διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα, καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις, ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. Κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Καὶ τὰ ἐς ἀρετὴν ἠναντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες, κτώμεθα τοὺς φίλους. Βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων, ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. Καὶ μόνοι οὐ τοῦ

μιουργοί, θῆτες, ex opere qui rem quaerunt (πρὸς ἔργα τετραμμένοι), non curant quidem data opera rem publicam propter negotia, neque tamen eiusdem parum ſunt gnari.

καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμ. „Et nosmet ipſi aut iudicamus aut cogitamus recte de rebus, cum non verba rei gerendae noxia eſſe putemus, ſed illud potius, non edoctum oratione et imparatum ad rem accedere.“

ὃ τοῖς ἄλλοις ἀμαθία — Ὅ non poteſt ad ἐκλογίζεσθαι referri, quia non ſolum de λογισμῷ, ſed etiam de θράσει agit Auctor. Pertinet igitur ad utrumque, et ad antecedens τόδε, quo item utrumque illud continetur, et τολμᾶν et ἐκλογίζεσθαι, referendum eſt. „Quod ceteris, ſi non deliberant, animum auget; ſi deliberant, metum parit.“ Vid. ad 3, 12.

σαφέστατα. Hoc vocabulum probum eſt, et immerito propter duorum librorum auctoritatem vulgo uncis incluſum. Vid. Poppo p. 130. — Mox cum Schol. ἀρετήν, εὐεργεσίαν exponas, ut paullo inferius τὴν ἀρετὴν ἀποδώσων. — *ἠναντιώμεθα*, wir haben uns entgegengeſtellt, i. e. διαφέρομεν.

ὥστε ὀφειλομένην — σώζειν. Δι' εὐνοίας malim ad ὀφειλομένην retrahere, quam cum Kiſtemakero iungere verbis ᾧ δέδωκε. Etiam dativus ᾧ pendet ab ὀφειλομένην, quia ὀφείλεσθαι cum dativo conſtruitur, et ἐκείνῳ ὀφείλεταί τι idem ſonat quod ἐκεῖνος ὀφείλεταί τι. Sententia igitur eſt: Securior eſt, qui gratiam prior contulit, quandoquidem eam ſervat benevolentia debitam ſibi ab eo, cui dedit; minus tuto alter exigere vitam poteſt, qui nihil niſi gratiam reddit

ξυμφέροντες μᾶλλον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν.

41. „Ξυνελών τε λέγω, τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη, καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. Καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. Μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει, ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. Μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι, τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα· καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. Περὶ

ἢ τῆς ἐλευθερίας τῷ πιστῷ, i. e. fiducia libertatis, quod certi sumus, neminem nos hac libertate privaturum. — *ἀδεῶς*, rücksichtslos.

41. *τῆς Ἑλλάδος παίδευσιν εἶναι*, i. e. παιδεύτριαν, magistram, die Schule von Hellas. Cic. Flacc. 26. „Adsunt Athenienses, unde humanitas, doctrina, religio, fruges, iura, leges, ortae atque in omnes terras distributae putantur." — *ἐπὶ πλεῖστ' ἂν εἴδη*, ad gestum et habitum corporis varium, aptum et decentem spectat. *ἂν* ex codd. recepi cum aliis.

ἀγανάκτησιν ἔχει. Ἔχειν τινὶ ἀγανάκτησιν, κατάμεμψιν est: occasionem, materiam indignandi, reprehendendi alicui praebere, παρέχειν, ut exemplis ad h. l. docuit Duckerus. vid. c. 61 med. τὸ λυποῦν ἔχει τὴν αἴσθησιν ἑκάστῳ. Ea est Athenarum potentia et magnitudo, ut ab iis vinci, iis parere, non sit indecorum.

τῶν δ' ἔργων τὴν ὑπόνοιαν —. Cum ἡ ἀλήθεια sequatur, non commode potest ad ὅστις referri hoc membrum, et adiectum potius est propter μέν, quam interiectum, ut parenthesin cum Kistemakero putes. „Quicumque carminibus quidem illico delectat, rerum tamen magnificam opinionem veritas confutabit."

μνημεῖα κακῶν, tropaea videlicet, urbes direptae et eversae; *ἀγαθῶν*, benignitatis monumenta.

τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.

42. „Διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος, μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα, ἐφ᾽ οἷς νῦν λέγω, φανερὰν σημείοις καθιστάς. Καὶ εἴρηται αὐτῆς τὰ μέγιστα. Ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν· καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόῤῥοπος, ὥςπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. Δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα, καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστροφή. Καὶ γὰρ τοῖς τἄλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν, ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. Τῶνδε δὲ οὔτε πλούτῳ τὶς τὴν ἔτι ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων

δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτήν, aequum cenſentes, ſe non privari ea.

42. *μὴ περὶ ἴσου ἡμῖν* —. „Non de re pari nobis atque illis, qui his omnibus deſtituti ſunt, contentionem eſſe." Quippe multo maior erat Athenienſium iactura, ſi res eorum fractae eſſent, quam Lacedaemoniorum. — *εὐλογίαν*, i. e. *ἔπαινον*. *ἐφ᾽ οἷς νῦν λέγω*, in bello caeſi.

τὴν ἐς τοὺς πολέμους — ἀνδραγαθίαν. Poppo coniicit *πολεμίους*, praeter neceſſitatem. — *προτίθεσθαι*, Schol. *προτιμᾶσθαι*. Sententia totius loci haec eſt: Conſentaneum eſt, eos, qui ceteris rebus deteriores ſunt, bellicam virtutem praeferre: hac enim vitia cum obtexerint, publice (communi utilitati) magis profunt, vel prodeſſe ſolent, quam privatim (ſuis vitiis) obeſſe.

οὔτε πλούτῳ — οὔτε πενίας ἐλπίδι. *Πλούτῳ* pro *πλοῦτον* legi iubent codices optimi plurimique. Ita opponitur *πενίας ἐλπίδι*, quae eſt *ſpes*, non *cogitatio*, *repraeſentatio paupertatis*, ut Kiſtem. interpretatur. Dictum autem puta pro *οὔτε ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν πενίαν πλουτήσειεν*.

ποθεινοτέραν αὐτῶν λαβόντες, nempe *τοῦ πλούτου καὶ τοῦ ἔτι διαφυγεῖν πενίαν*. Eodem

ἅμα τόνδε κάλλιστον νομίσαντες, ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι· ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι· καὶ ἐν αὐτῷ τῷ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν. /

refero verba τῶν δὲ ἐφίεσθαι, quae Bredovius ad κινδύνων pertinere contendit. At quum μετ' αὐτοῦ ad κινδύνων τόνδε κάλλιστον ſpectet, quis τῶνδε item ad κινδύνων referre poſſit? Poppo in vulgata ſcriptura aliquid vitii ineſſe arbitratur, propterea quod ii qui hoſtes quidem punire, ſed ſimul etiam facultates appetere voluerint, illorum ultionem prae his deſideraſſe dici non poſſint. Legit igitur ἀφίεσθαι, fortunarum curam abiicere. Ne haec quidem coniectura neceſſaria eſt. Non enim ſententia eo turbatur, quod, cum paullo ante dixiſſet, τιμωρίαν ceteris omnibus eſſe praelatam, nunc illa commoda petita eſſe dicit. Scilicet iſta, niſi forti hoſtium et defenſione et ultione, ne expetenda quidem ipſis videbantur; non niſi illud honeſtiſſimum periculum ſubeuntes (μετ' αὐτοῦ) et hoſtes ulciſci, et illa appetere volebant.

ἐλπίδι μὲν τὸ ἀφανές —. Spei quidem incertum rei feliciter gerendae eventum committentes, in labore autem de eo, quod iam cernebatur, ſibi ipſis confidendum eſſe cenſentes.

καὶ ἐν αὐτῷ τῷ ἀμύνεσθαι —. Ita in plurimis libris legitur. In paucis eſt τὸ, in pluribus ἀμύνασθαι. Etiam paullo poſt pro ἢ τῷ ἐνδόντες nonnulli codd. Caſſ. Aug. Gr. Reg. habent ἢ τὸ ἐνδ. Sed haec lectio admitti nequit, cum et ſuperius τῷ codicum Thucydidis fide, atque Dionyſii Halic. nec non Scholiaſtae ad h. l. teſtimonio ſatis firmetur; et ante παθεῖν certe, ſi τὸ ante ἐνδόντες recipiendum eſſet, item τὸ eſſe deberet. Veriſimilis igitur coniectura, quam etiam Heilmanno unice probatam, Gottleberus recepit: ἤ τῳ ἐνδόντες. Saepiſſime Thucydides hac forma pronominis τίς utitur, (c. 43. ὁπότε πείρᾳ του σφαλείησαν —. c. 51. τὸ γάρ τῳ ξυνενεγκόν.) et leniſſima eſt mutatio. Παθεῖν non eſt *vulnerari*, ut vult Bredovius, ſed *occidi*, *mortem oppetere*. μᾶλλον h. l. eſt κρεῖσσον, quam vim et alibi, quamquam rarius, habet. Ita Scholiaſta quoque exponit. Denique comma poſt ἐνδόντες tollendum, ut παθεῖν et ἐνδόντες σώζεσθαι ſibi invicem opponantur. Fruſtra enim dixeris, aut ἐνδόντες eſſe pro ἐνδοῦναι, aut εἶναι ſubaudiendum eſſe. Ita aptiſſima huic loco ſententia haec efficitur: In ipſa defenſione patriae vel mortem oppetere potius exiſtimatis, quam cedendo vitam conſervare.

δι' ἐλαχίστου καιροῦ τύχης, breviſſimo fortunae momento. — ἅμα ἀκμῇ τῆς δόξης — ἀπηλλάγησαν, int. τοῦ βίου, moriebantur ſummam potius gloriam adepti, quam de vita anxii.

43. „Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο. Τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφέλειαν· ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς, καὶ, ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους, ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο· καὶ ὁπότε καὶ πείρᾳ του σφαλείησαν, οὔκουν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. Κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον, καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει

43. *ἀτολμοτέραν δὲ μηδέν.* Utrumque casum, et accusativum et ablativum, huic generi comparativorum Thucydides iungit. Mox *οὐδὲν χεῖρον.* c. 39. *οὐδὲν ἧσσον.* et c. 38. *μηδὲν οἰκειοτέρᾳ.* Huc pertinet *ὀλίγον ὕστερον*, et 2, 64. *μέρος τι μᾶλλον ἔτι μισοῦμαι.* 3, 6. *πολὺ θᾶσσον.* 4, 101. *οὐ πολὺ ὕστερον.* Cf. Arrian. Anab. 2, 11, 14. Contra dativus reperitur saepissime, ut 1, 136. *πολλῷ ἀσθενεστέρου.* 137. *ὕστερον οὐ πολλῷ.* 2, 49. *πολλῷ ὕστερον.* 51. *πολλῷ μᾶλλον.* 4, 88. 101 bis.

σκοποῦντας μὴ λόγῳ μόνῳ — Opponitur postmodo *ἔργῳ θεωμένους.* Non tam verbis, inquit, differendum est, quae fortem patriae defensionem commoda sequantur, quam ipsam urbis potentiam quotidie contemplari eamque adamare. Punctum, quod erat post *αὐτῆς*, in minorem distinctionem mutandum erat, quia *ἐνθυμουμένους* quoque pendet a *χρή*, unde reliqua participia *σκοποῦντας*, *θεωμένους*, *γιγνομένους.* Hoc iam Kistem. monuit.

κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. „Praeclaram symbolam ad conservandam patriam contulere.“ Nam *ἔρανος* metaphorice h. l. est vita patriae devota, propter gratum animum et studium bene merendi de patria.

παρὰ τῷ ἐντυχόντι — καιρῷ, ut se quodque tempus offert, vel verbis, vel factis celebrandi eorum gloriam.

ἐπιγραφὴ, ἀλλὰ καὶ ἐν τῇ μὴ προςηκούσῃ ἄγραφος μνήμη παρ᾽ ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. Οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον, τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. Οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ᾽ ἀγαθοῦ, ἀλλ᾽ οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. Ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ [μετὰ τοῦ] μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος.

44. „Διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι. Ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες,

ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. Ἔργον h. l. monumentum inſcriptione ornatum. ἐνδιαιτᾶται, συνδιατρίβει. — Paullo ante ad σημαίνει ſubaudi τὸν τάφον.

καὶ τὸ εὔδαιμον. Non raro apud Graecos articulus etiam praedicato additur, non ſubiecto ſolum. Neque hoc Germanis mirum videri poteſt, qui eadem ratione loquendi utuntur, niſi quod alio ordine verba ponunt: das Freie für das Glückliche achtend, das Muthvolle aber für das Freie.

οἱ κακοπραγοῦντες i. e. κακῶς πράσσοντες, ideoque addit: οἷς ἐλπὶς οὐκ ἔστ᾽ ἀγαθοῦ. — ἀλλ᾽ οἷς, pro ἢ οἷς, nam ſupra erat δικαιότερον. Reſpexit autem negationem οὐ. Deſcribuntur autem ii, qui in rebus fortunatiſſimis conſtituti fortunae commutationem in diuturniore vita et experiri poſſunt, et vero, ſi vitae parcant, ideoque vincantur, maxima damna extimeſcere debent, ipſisque eo graviora, quo magis haec conditio a priore illa diverſa eſt.

ἡ ἐν τῷ μετὰ τοῦ μαλ. κακ. Codices quidem omnes ἐν τῷ habent, et Ar. C. Dan., qui ſemper fere in corruptionibus conſpirant, ordine mutato, μετὰ τοῦ ἐν τῷ exhibent. Schneiderus autem ad Xen. Anab. 3, 2, 32. expungit verba μετὰ τοῦ. Neque diſſimulandum eſt, haec verba eſſe ſuſpecta, cum aut ἐν τῷ, aut μετὰ τοῦ interpretamentum eſſe, neceſſe ſit, hoc autem propter ſequens μετὰ ῥώμης facilius appingi potuerit. Nam ne hoc quidem veriſimile eſt, librarium quendam adieciſſe ἐν τῷ, quod Gottleberus repoſuit, multo minus auctorem ipſum, cum haec verba otioſa ſint, neque ulla eorum addendorum cauſa appareat. Ergo verba μετὰ τοῦ uncis incluſimus. — κάκωσις eſt conditionis in deterius mutatio.

44. ὅσοι πάρεστε. Eodem modo cap. 45 init. ad ſecundam

τὸ δ' εὐτυχὲς, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δέ, λύπης· καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. Χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθείη. Καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι. Ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται· καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ, ξυνοίσει. Οὐ γὰρ οἷόν τε ἴσόν τι ἢ δίκαιον βουλεύεσθαι, οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. Ὅσοι δ' αὖ παρηβήκατε,

perſonam tranſit a tertia, ſed hoc loco ſtatim rediens ad hanc, ἐπίστανται τραφέντες: ſciunt ſe nutritos eſſe inter varios caſus. Punctum poſt τραφέντες mutavi in comma, monente Bredovio, haec, ſi minus conſtructione, tamen re et cogitatione cohaerere. τὸ δ' εὐτυχές, int. ἐκείνοις ἐστι vel ξυμβαίνει, propter οἳ ἂν — λάχωσιν. — εὐπρεπεστάτης non minus ad λύπης, quam ad τελευτῆς pertinet.

καὶ οἷς ἐνευδαιμονῆσαι — ξυνεμετρήθη. Puto ſanam eſſe vulgatam lectionem, quam, ab interpretibus varie tentatam, etiam Scholiaſtes ante oculos habuit, qui interpretatur: ἐν εὐδαιμονίᾳ καὶ ζῆσαι καὶ τελευτῆσαι. Sententia eſt: Felices ſunt ii, quibus vita diſpenſata eſt ita, ut eundem et beatum et ſupremum agant diem; ut in ſecunda fortuna continuo moriantur, antequam aerumnis, doloribus, miſeria affligantur.

ἀφαιρεθείη. Ex Ar. C. Vind. emendat Poppo ἀφαιρεθῇ. Sed illis codd., ubi ab omnibus recedunt, nihil ſane tribuerim, quam correctionem, niſi per ſe correctio neceſſaria videatur. Quod h. l. negaverim. Ut enim, ſi in praecedente membro (omiſſo ἂν) indicativus fuiſſet, in proximo ἂν cum optativo locum haberet: ita nunc quoque, cum ἂν cum coniunctivo praeceſſerit, optativus ferri poteſt. Dubitatio enim, quam is modus ſignificat, at totam rem potius, quae tamquam animo concepta, non ut facta enuntiatur, quam ad notionem τοῦ ἀφαιρεῖσθαι pertinet, et aoriſtus non deſignat eos, qui aliquando bonis priventur, ſed eos, qui bona iam amiſerint.

ξυνοίσει. Haec lectio quatuordecim codd. auctoritate firmatur. Puto, Thucydidis animo obverſatum eſſe ſubiectum τὰ τέκνα, ex οἱ ἐπιγιγνόμενοι, quod praeceſſit. Cf. dicta ad 1, 90. et 2, 47. — ἀσφαλείᾳ non cum ξυνοίσει coniungendum, ſed commate ſeparandum eſt. Significat enim alterum commodum, quod civitati ex pueris poſthac procreandis redundet.

τόν τε πλείονα κέρδος, ὃν εὐτυχεῖτε βίον, ἡγεῖσθε, καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. Τὸ γὰρ φιλότιμον ἀγήρων μόνον· καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

45. „Παισὶ δ᾽ αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα. Τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν· καὶ μόλις ἂν καθ᾽ ὑπερβολὴν ἀρετῆς οὐχ ὅμοιοι, ἀλλ᾽ ὀλίγῳ χείρους κριθείητε. Φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. Εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. Τῆς τε γὰρ ὑπαρ-

τόν τε πλείονα κέρδος, ὃν εὐτ. βίον —. Vulgata lectio: τόν τε πλείονα, κέρδος ὄν, εὐτυχεῖτε βίον, ἡγεῖσθε καὶ τόνδε — et vitio in voce ὄν, et prava interpunctione laborat, et abſurdam ſententiam fundit hanc: qui maiorem partem aetatis feliciter transegiſtis, etiam hanc (quae reſtat) brevem fore exiſtimate —; quaſi praeterita quoque brevis fuiſſet. In codd. Caſſ. et Aug. eſt ὅν, et ita Valla quoque legit, vertens: „Vos vero, qui aetate proceſſiſtis, quo diuturniorem vitam feliciter traduxiſtis, eo plus lucri vos feciſſe exiſtimate, et hoc, quod ſupereſt vitae, breve futurum." Itaque a verbis τόν τε πλείονα apodoſis incipit, et ante καί interpungendum eſt; et εὐτυχεῖτε eſt imperfectum. Vid. Poppo p. 82 ſq. — τὸ ἀχρεῖον τῆς ἡλικίας, ſenectus.

45. παισὶ δ᾽ αὖ — ἀγῶνα. Vid. ad c. 44. init. ἀγών eſt contentio, certamen cum iis fratribus aut parentibus, qui in bello interempti ſunt. — καθ᾽ ὑπερβολὴν ἀρετῆς, eximia virtute conſpicui, bei auſserordentlicher Tapferkeit. Vid. ad cap. 35 extr.

γυναικείας τε ἀρετῆς. Alii modeſtiam, alii animi magnitudinem, qua condonaverint feminae maritos vel liberos ſuos patriae, ſignificari volunt. Sed paullo aliter mox Orator ſuam ipſe ſententiam explicat: τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι, (ut ne ſint abiecto prorſus, ſed aequo et patienti animo; nam lamentari huic ſexui imbecilliori conceditur) καὶ ἧς ἂν ἐπ᾽ ἐλάχιστον — ἐν τοῖς ἄρσεσι κλέος ᾖ (quae feminea natura ita comparata eſt, ut neque laudem neque probrum viris afferat). Errant autem, qui haec, quae de γυναικείᾳ ἀρετῇ ſe dicturum eſſe promittit, tamquam collaudationem mulierum accipiunt. Nam admonendi cauſa dicta ſunt, ut viduae poſthac ex patientia et lenitate laudem ipſis propriam quaerant. Verba καὶ ἧς ἂν — κλέος ᾖ arcte cum praecedentibus τῆς τε ὑπαρχούσης φύσεως iungenda ſunt. Deſcribitur enim muliebris natura, et more Thucydidis interiecta ſunt, quae ad utramque deſcriptionis partem pertinent. Vid. ad 1, 22.

χούσης φύσεως μὴ χείροσι γενέσθαι, ὑμῖν μεγάλη ἡ δόξα, καὶ ἧς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ.

46. „Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον, ὅσα εἶχον πρόσφορα· καὶ ἔργῳ οἱ θαπτόμενοι, τὰ μέν, ἤδη κεκόσμηνται, τὰ δέ, αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. Ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖσδε καὶ ἄνδρες ἄριστοι πολιτεύουσι. Νῦν δέ, ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ, ἄπιτε."

47. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ· καὶ διελθόντος αὐτοῦ, πρῶτον ἔτος τοῦ πολέμου τοῦδε ἐτελεύτα. Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τὰ δύο μέρη, ὥσπερ καὶ τὸ πρῶτον, ἐσέβαλον ἐς τὴν Ἀττικήν, ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς· καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. Καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον καὶ ἐν

47. Sequenti aeſtate altera fit Peloponneſiorum in Atticam invaſio, eodem Archidamo duce, qui proximo anno eos rexerat. Sed paullo poſt eorum adventum peſtis illa Athenis graſſari coepit, qua nulla umquam terribilior fuit. 48. Dicitur autem morbus ex Aethiopia veniſſe

46. *τοῖσδέ τε καὶ τοῖς λειπομένοις*, *et his* occiſorum liberis, *et reliquis*. *οἱ λειπόμενοι* pro *οἱ λοιποί*, ut c. 41 extr.

47. *τὰ δύο μέρη*. Vid. ſupra ad 1, 74. Sed h. l. duplex eſt nominativus ſubiecti, *Πελοποννήσιοι καὶ οἱ ξύμ.* et *τὰ δύο μέρη*; *ἐσέβαλον* enim neutraliter intelligendum, ſubaudito *ἑαυτούς*. Cf. 1, 2 extr. *οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες, παρ' Ἀθηναίους οἱ δυνατώτατοι — ἀνεχώρουν*.

λεγόμενον μέν. *Λεγόμενον* aut nominativus abſolutus eſt, et ſubaudiendum *αὐτήν*, (vid. Hermann. ad Viger. p. 713.) aut referendum ad *νόσημα*, quod loquendi genus, Noſtro imprimis familiare (cf. ad 1, 90), dicitur *σχῆμα πρὸς τὸ σημαινόμενον*. Hom. Od. π, 74. *Νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτε* — ubi int. *νέφος*.

ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς, οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. Οὔτε γὰρ ἰατροὶ ἤρκουν, τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ᾽ αὐτοὶ μάλιστα ἔθνησκον, ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν· τελευτῶντές τε αὐτῶν ἀπέστησαν, ὑπὸ τοῦ κακοῦ νικώμενοι.

48. Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. Ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε· καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ᾽ αὐτῶν, ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα. κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι. Ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. Λεγέτω μὲν οὖν περὶ αὐτοῦ, ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς, καὶ ἰδιώτης, ἀφ᾽ ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας, ἅστινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ, οἷόν τε ἐγίγνετο, λέξω, καὶ ἀφ᾽ ὧν ἄν τις σκοπῶν, εἴποτε καὶ αὖθις ἐπιπέσοι, μάλιστ᾽ ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

49. Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο

in Aegyptùm et Libyam, inde disperſus in Perſarum regis pleraſque provincias, et ex Piraeeo Athenas; quem qualis fuerit, Thucydides, ipſe expertus, 49 — 54. exponit.

θεραπεύοντες ἀγνοίᾳ. Conabantur ſanare malum, eius natura parum cognita; quapropter neque remedia ſatis apta miniſtrabant, et incautius appropinquantes mox ipſi morbo inficiebantur.

48. καὶ τὰς αἰτίας, ἅστινας — σχεῖν. Periſſologiam quandam, a Noſtro non prorſus

πάντα ἀπεκρίθη. Τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ, καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε· καὶ τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν, καὶ πνεῦμα ἄτοπον καὶ δυςῶδες ἠφίει· ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο. Καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος, μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπήεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. Λύγξ τε τοῖς πλείοσιν ἐνέπεσε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν, τοῖς μὲν μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ ὕστερον. Καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ ὑπέρυθρον, πελιτνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥςτε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς, μήτ' ἄλλο τι ἢ γυμνὸν ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. Καὶ πολλοὶ τοῦτο τῶν

alienam, hic deprehendas. cf. ad 1, 23. Iam monuere plerique interpretes. — μεταβολή h. l. eſt morbus repente coortus. μεταστῆσαι, μεταβαλεῖν.

49. ὁπότε εἰς τὴν καρδίαν στηρίξαι. Καρδία modo eſt os ventriculi ſuperius. Vid. Duck. ad h. l. στηρίξαι neutraliter, pro στηρίξαι ἑαυτόν.

ἐνέπεσε κενή. Pro ἐνέπιπτε recepi cum Bened. aoriſtum ex bonis libris. Aoriſtus, inter plura imperfecta collocatus, a librariis mutatus eſt in imperfectum, cuius notio ei ineſt. Ita mox: καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων (hoc enim verbum immerito uncis incluſum eſt vulgo) καὶ ἔδρασαν ἐς φρέατα. Et in fine capitis: καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους. c. 51. ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα. Utroque loco imperfecta anteceſſerant.

πελιτνόν. Ita dedi, quia Grammatici hanc ſcripturam Thucydidi vindicant, pro πελιδνόν. Vid. Duck. et Poppo p. 43.

μήτ ἄλλο τι ἢ γυμνὸν ἀνέχεσθαι. Ad γυμνόν alii εἶναι, alii σῶμα ſubaudiunt, ſine idonea utrique cauſa, cum verba γυμνόν et ἄλλο τι ἢ arcte cohaereant, atque haec duo ſibi invicem opponantur: μήτε ἐπιβολὰς ἀντινασοῖν ἀνέχεσθαι, μήτε τι ἄλλο ἢ γυμνόν, quod potius ad ſingulas corporis partes (μέλεα) referas. Ne leviſſimis quidem veſtibus ſe obtegi ſuſtinebant, nec niſi nuda patiebantur (membra).

ἠμελημένων ἀνθρώπων καὶ ἔδρασαν ἐς φρέατα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι· καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό, τε πλέον καὶ ἔλασσον ποτόν. Καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐπέκειτο διὰ παντός· καὶ τὸ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ, ὥςτε ἢ διεφθείροντο οἱ πλείους ἐνναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἤ, εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτυ ἐπιπιπτούσης, οἱ πολλοὶ ὕστερον δι' αὐτὴν ἀσθενείᾳ ἀπεφθείροντο. Διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν· καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινε. Κατέσκηπτε γὰρ ἐς αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν· τοὺς δέ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

50. Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου, τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προςέπιπτεν ἑκάστῳ, καὶ ἐν τῷδε ἐδήλωσε

τῇ δίψῃ ἀπαύστῳ. Hunc verborum ordinem restitui iubent codices. Vulgo ἀπαύστῳ τῇ δίψῃ. — Paullo inferius recepi *οἱ πλείους* ex Cl. Caff. Reg. Aug. pro vulgato *οἱ πλεῖστοι*, quod illius interpretamentum videtur esse. Neque aliter iudicandum est de lectione *ἀσθενείᾳ ἀπεφθείροντο*, cuius loco vulgatae editiones habent διεφθείροντο. Quare difficiliorem lectionem cum Benedicto reposuimus.

εἴ τις ἐκ τῶν μεγίστων, int. κινδύνων. Indicium salutis erat, si quis in extremis partibus laboraret, si tandem extremae partes morbo afficerentur. Aliter Wyttenbachius cum Foësio Oecon. Hipp. h. l. verbum ἐπεσήμαινε interpretatur: *se prodebat, se manifestam faciebat* (mali extremarum partium invasio).

κατέσκηπτε γὰρ ἐς αἰδοῖα. Vulgo legitur κατέσκηπτε γὰρ καὶ ἐς τὰ αἰδοῖα. Articulum damnant codices, et sequentia membra, et ipsa ratio. Particula *καί* supervacanea est, et a codicibus optimis abest.

50. *τά τε ἄλλα — ξυντρόφων τι.* „Genus morbi et aliis

μάλιστα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι. Τὰ γὰρ ὄρνεα καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο. Τεκμήριον δὲ, τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως, οὔτε περὶ τοιοῦτον οὐδέν. Οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος, διὰ τὸ ξυνδιαιτᾶσθαι. X

51. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπὶ πᾶν τὴν ἰδέαν. Καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. Ἔθνησκον δὲ, οἱ μὲν, ἀμελείᾳ, οἱ δὲ, καὶ πάνυ θεραπευόμενοι· ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα, ὡς εἰπεῖν, ὅ, τι χρῆν προσφέροντας ὠφελεῖν. Τὸ γὰρ τῳ ξυνενεγκὸν, ἄλλον τοῦτο ἔβλαπτε· σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ, ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. Δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία, ὁπότε τὶς αἴσθοιτο κάμνων, (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ, πολλῷ μᾶλ-

in rebus gravius ſingulos invadebat, quam pro humana natura, et hac, quam modo dicturus ſum, manifeſtum reddidit, ſe aliud eſſe, quam unum ex conſuetis."

ὅσα ἀνθρώπων ἅπτεται. Ἅπτεσθαι h. l. ut lat. *tangere*, comedere ſignificat. Ovid. Met. 7, 550. *Non cani tetigere lupi.* — περὶ τοιοῦτον, circum cadavera.

51. πολλὰ καὶ ἄλλα παραλιπόντι — γιγνόμενον. Haec verba vulgo parentheſeos ſignis ſeparantur, quorum in uſu parum ſibi conſtant editores. Neque h. l. cauſa eſt, cur haec verba a ceteris ſecludantur. Certe nemo cap. 49. in verbis: καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὐκ ἄγαν θερμὸν ἦν — participium ἁπτομένῳ pro parentheſi habuit, quod, ut h. l. παραλιπόντι, cum ἦν iungendum eſt. — Ceterum genitivus ἀτοπίας pendet a πολλὰ καὶ ἄλλα, eſtque pro ἀτόπων vel ἐξ ἀτόπων, vel denique ἄτοπα.

ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα. Ita ad fidem librorum exhibendum duxerunt Kiſtem. et Bened. pro ἕν τε οὐδέν. Secutus ſum, et verto: commune ne unum quidem remedium erat, quo miniſtrando iuvare debuiſſent. — πρὸς αὐτό, int. τὸ νόσημα. — πάντα ξυνῄρει, omnia corripiebat, et valida et invalida corpora. Hoc enim verbum et vim morbi, et *ambitum* notat.

λον προΐεντο σφᾶς αὐτοὺς, καὶ οὐκ ἀντεῖχον,) καὶ ὅτι ἕτερος ἀφ᾽ ἑτέρου θεραπείας ἀναπιμπλάμενοι, ὥςπερ τὰ πρόβατα, ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. εἴτε γὰρ μὴ θέλοιεν, δεδιότες, ἀλλήλοις προςιέναι, ἀπώλλυντο ἔρημοι· καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προςίοιεν, διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. Αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐςιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. Ἐπὶ πλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε, καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· (δὶς γὰρ τὸν αὐτὸν, ὥςτε καὶ κτείνειν, οὐκ ἐπελάμβανε·) καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ, τῷ παραχρῆμα περιχαρεῖ, καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τὶ εἶχον κούφης, μηδ᾽ ἂν ὑπ᾽ ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

52. Ἐπίεσε δ᾽ αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ

ὥςπερ τὰ πρόβατα. Ad ἀναπιμπλάμενοι (int. τῆς νόσου) haec verba pertinent, non ad ἔθνησκον. Oves enim maxime malo contagio vicini pecoris laeduntur. Schol. τὰ πρόβατα μεταληπτικὰ καὶ μεταδοτικὰ τῆς νόσου.

οἱ ἀρετῆς τι μεταποιούμενοι. Scholiaſtes interpretatur φιλανθρωπίας καὶ ἀγάπης. Sed potius *fortitudo animi* et *conſtantia* non horrentium morbum et amicis, quos familia deſerebat, ſuccurrentium intelligenda videtur, quo pertinet etiam αἰσχύνη, *pudor*. — μεταποιούμενοι i. e. ἀντιποιούμενοι. — Paullo ante διεφθείροντο, cum opponatur ἀπώλλυντο ἔρημοι, vertam *inficiebantur*, ut in fine cap. διαφθαρῆναι.

διὰ τὸ προειδέναι τε, καὶ — εἶναι. Duplicem affert eorum miſerationis cauſam, τό τε προειδέναι, (nempe τὸν τοῦ νοσήματος δύναμιν καὶ κίνδυνον) καὶ τὸ αὐτοὺς ἤδη ἐν θαρσαλέῳ εἶναι. Nam qui ſibi metuit, in eum minus cadit alienae miſeriae miſeratio.

τῷ παραχρῆμα περιχαρεῖ. Schol. τῇ ἐνεστώσῃ περιχαρείᾳ. Saepiſſime neutro adiectivi pro ſubſtantivo utitur Thucydides, e. c. ſupra h. c. πρὸς γὰρ τὸ ἀνέλπιστον τραπόμενοι. c. 53. πρὸς τὸ τερπνόν. c. 59. τὸ ὀργιζόμενον τῆς γνώμης. c. 61. ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης. cf. c. 63 init. — ἐλπίδα κούφην, non *fallacem*, ſed *ſuavem*, *lenem* interpretor, et διαφθαρῆναι, corripi, infici morbo. cf. ſupra.

οὐχ ἧσσον τοὺς ἐπελθόντας. Οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων, ὁ φθόρος ἐγίγνετο, οὐδενὶ κόσμῳ· ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο· καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας, ἡμιθνῆτες, τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ. τά τε ἱερὰ, ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων. Ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι, οὐκ ἔχοντες ὅ, τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως· νόμοι τε πάντες συνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς, ἔθαπτον δέ, ὡς ἕκαστος ἐδύνατο. Καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο, σπάνει τῶν ἐπιτηδείων, διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν. Ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας, φθάσαντες τοὺς νήσαντας, οἱ μέν, ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν, ὑφῆπτον, οἱ δέ, καιομένου ἄλλου, ἄνωθεν ἐπιβαλόντες, ὃν φέροιεν, ἀπῄεσαν.

53. Πρῶτόν τε ἦρξε καὶ ἐς τἄλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα. Ῥᾷον γὰρ ἐτόλμα τὶς, ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχί-

52. *ὥρᾳ ἔτους*, pro *ὥρᾳ θέρους*, quemadmodum etiam Galenus hunc locum accepit. *ὥρα* enim per ſe modo *ver*, modo *aeſtatem* indicat. — *οὐδενὶ κόσμῳ* cum *διαιτωμένων* iungendum.

καὶ ἱερῶν καὶ ὁσίων. Timaeus in Gloſſ. Plat. *Ὅσια, τὰ ἰδιωτικὰ καὶ μὴ ἱερά;* veluti ſepulcra, quae etiam Latinis dicuntur *religioſa.* Cic. Lael. 4.

ἐδύνατο. Ita h. l. hoc verbum exhibent codd. Ar. C. Baſ. Reg. Gr. Caſſ. Aug. quorum auctoritatem ſecutus ſum, cum multorum locorum comparatione (vid. ſupra ad cap. 2.) conſtet, hanc formam Thucydidem frequentius adhibuiſſe. Ita cap. 42. Benedictus legi volebat *ἐβουλήθησαν*, quam formam et ibi, et 1, 34. boni codices tuentur. Saepe codicum ſcriptura non diligenter notata eſt, ut videtur.

ἐς ἀναισχύντους θήκας. Schol. explicat: *ἀλλοτρίας, ξένας*, haud dubie ex contextu, quia ſequitur *ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας* —. Sed *θήκη ἀναίσχυντος* in univerſum denotat modum et locum ſepeliendi inhoneſtum et turpem. Eo autem ſenſu, quo Scholiaſta, hoc vocabulum intelligere, vix in poëta feram, nedum in proſaico auctore et hiſtorico. Licet enim impudens fuerit Athenienſium legibus, mortuum inferre in alienum ſepulcrum, tamen poëtica hypallage eſt impudentiam eiusmodi ſepulturae ab hominibus, vel certe a re et facto transferre ad ſepulcrum.

53. *ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν.* Non opus eſt,

στροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων. Ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. Καὶ τὸ μὲν, προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ, οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων, εἰ, πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθαρήσεται· ὅ, τι δὲ ἤδη τε ἡδὺ, καὶ πανταχόθεν τὸ ἐς αὐτὸ κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. Θεῶν δὲ φόβος, ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε· τὸ μὲν, κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν

intelligi ὥστε, ne particula μή prorſus ſupervacanea eſſe videatur. Supra c. 49 med. καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν —. 1, 16. κωλύματα μὴ αὐξηθῆναι. Vid. Hermann. ad Viger. p. 810 ſq.

καὶ τὸ μὲν, προσταλαιπωρεῖν — Verba οὐδεὶς πρόθυμος ἦν nequeunt coniungi cum τὸ μὲν προσταλαιπωρεῖν. Itaque poſt μέν comma poſui, ut τὸ μέν non ad ſolum infinitivum, ſed ad totum membrum referatur, cui reſpondeat alterum: ὅ, τι ἤδη τε ἡδὺ — κατέστη. Ita enim variavit ſtructuram pro τὸ δὲ, ὅ τι ἤδη — Cuius rei exemplum paullo inferius hoc ipſo capite habemus in verbis: τὸ μὲν, κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ, ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους· τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων — ἀντιδοῦναι. Ubi Poppo τῶν defendit quidem contra Benedictum, τό coniicientem, ſed vera non utitur ratione, contendens, ſuperius τὸ μέν ad infinitivum σέβειν referendum eſſe. Illud enim ad totum colon pertinere, ordo verborum docet. — προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ, i. e. propter hoc, quod honeſtum videbatur, miſeriam tolerare.

ὅ, τι δὲ ἤδη τε ἡδύ. Vulgo legitur ἤδει τε ἡδύ, cui lectioni obſtat locus particulae τέ, quae potius poſt ἡδύ collocari debebat. Quare recepi lectionem codd. Caſſ. Aug. Moſq. ἤδη, *iam*, *in praeſentia*, quae aptiſſimam h. l. fundit ſententiam. Facile enim verbum ſubſtantivum ἦν, quod proxime anteceſſit, ſubauditur. cf. c. 60. ὅ, τε γὰρ γνοὺς, καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη. cap. 61. init. Cf. ad 2, 13. — Pro ἐς αὐτὸν κερδαλέον cum Kiſtem. et aliis ex codicibus recepi ἐς αὐτὸ κερδαλέον, et intelligo id, quod *per ſe*, non aliam ob rem, iuvat, ergo ſtatim fructum et oblectamentum praebet.

κρίνοντες ἐν ὁμοίῳ. Alii loco κρινόντων, alii pro κρίνοντας dictum eſſe volunt nominativum κρίνοντες. Sed neutra harum rationum vera eſt. Nominativus ſubiectus eſt propter mutatam ſtructuram; qui recte ſe haberet, ſi pro θεῶν — νόμος οὐδεὶς ἀπεῖργε anteceſſiſſet: θεῶν δὲ φόβῳ, ἢ ἀνθρώπων νόμῳ οὐδενὶ ἀπείργοντο. Cuius generis exempla plura contulit Duckerus ad 7, 70. (Cf. Poppo p. 255 ſeq.), ex quibus unum, rei illuſtrandae cauſa, huc opponere libet. 3, 36. καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μιτυλη-

καὶ μή, ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους· τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι· πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου τὶ ἀπολαῦσαι.

54. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς ἔξω δῃουμένης. Ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι,

Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις, μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν· ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος, εἰκότως, λοιμὸν εἰρῆσθαι. Οἱ γὰρ ἄνθρωποι, πρὸς ἃ ἔπασχον, τὴν μνήμην ἐποιοῦντο. Ἦν δέ γε, οἶμαι, ποτὲ ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος, καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν, εἰ χρὴ πολεμεῖν, ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. περὶ μὲν οὖν τοῦ χρηστηρίου, τὰ γιγνόμενα εἴκαζον ὅμοια εἶναι. ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων, ἡ νόσος ἤρξατο εὐθύς. καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ, τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλ-

ναίους —, ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν κ. τ. λ. Ubi ἐπικαλοῦντες ſubiicitur dativo, quaſi praeceſſiſſet ἐψηφίσαντο.

τῶν δὲ ἁμαρτημάτων —. Etiam hic abit ab inchoata periodi forma, ex qua hic verborum ordo conſtituendus fuerit: τὸ δὲ, ἐλπίζοντες οὐκ ἂν βιόντες μέχρι τοῦ δίκην γενέσθαι τὴν τιμωρίαν τῶν ἁμαρτημάτων ἀντιδοῦναι. — κατεψηφισμένην, int. δίκην, nempe letiferum morbum, mortem.

54. τοῦδε τοῦ ἔπους. Ἔπος h. l. eſt *oraculum*, πυθόχρηστον στίχος Schol. Eiusmodi rebus Thucydides nullam fidem tribuit.

ὅ, τι ἄξιον καὶ εἰπεῖν. Hunc verborum ordinem, iam Stephano probatum, pro vulgato καὶ ἄξιον εἰπεῖν, decem codices praebent.

λων χωρίων τὰ πολυανθρωπότατα. ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

55. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ ἔτεμον τὸ πεδίον, παρῆλθον ἐς τὴν Πάραλον γῆν καλουμένην, μέχρι Λαυρίου, οὗ τὰ ἀργύρεια μέταλλα ἐστὶν Ἀθηναίοις. Καὶ πρῶτον μὲν ἔτεμον ταύτην, ἣ πρὸς Πελοπόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην. Περικλῆς δὲ, στρατηγὸς ὢν καὶ τότε, περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς Ἀθηναίους, τὴν αὐτὴν γνώμην εἶχεν, ὥςπερ καὶ ἐν τῇ προτέρᾳ ἐςβολῇ.

56. Ἔτι δ' αὐτῶν ἐν τῷ πεδίῳ ὄντων, πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν, ἑκατὸν νεῶν ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο. καὶ ἐπειδὴ ἕτοιμα ἦν, ἀνήγετο. Ἦγε δ' ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων τετρακισχιλίους, καὶ ἱππέας τριακοσίους, ἐν ναυσὶν ἱππαγωγοῖς, πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις. Ξυνεστρατεύοντο δὲ καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. Ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη Ἀθηναίων, Πελοποννησίους κατέλιπον τῆς Ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. Ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου, ἔτεμον τῆς γῆς τὴν πολλήν· καὶ πρὸς τὴν πόλιν προςβαλόντες, ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προεχώρησέ γε. Ἀναγαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου, ἔτεμον τήν τε Τροιζηνίδα γῆν καὶ τὴν Ἁλιάδα, καὶ τὴν Ἑρμιονίδα· ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. Ἄραντες δὲ ἀπ' αὐτῶν, ἀφίκοντο ἐς Πρασιὰς, τῆς Λακωνικῆς πό-

55. Peloponnesii, vastato citeriore agro, etiam maritima devastant usque ad Laurium. 56. Interim Pericles, classe centum navium exstructa, cui se adiungunt quin-

56. *ἐκ τῶν παλαιῶν νεῶν.* Vulgo vox *νεῶν* uncis inclusa est, cuius rei rationem nemo e codicibus probavit. Idem factum est cap. 58 init. in vocabulo *εὐθύς.* Utrumque vocabulum suo loco aptum, minimeque superfluum est.

Ἁλιάδα. Urbs Argolidis in Peloponneso est *Ἁλιεῖς*, cuius ager hic designatur. Huic vicina est *Ἑρμιόνη*. Vid. 1, 27.

λισμα ἐπιθαλάσσιον, καὶ τῆς τε γῆς ἔτεμον, καὶ αὐτὸ τὸ πόλισμα εἷλον, καὶ ἐπόρθησαν. Ταῦτα δὲ ποιήσαντες, ἐπ' οἴκου ἀνεχώρησαν· τοὺς δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας, ἀλλ' ἀνακεχωρηκότας.

57. Ὅσον δὲ χρόνον οἵ τε Πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῶν Ἀθηναίων, καὶ οἱ Ἀθηναίοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους ἔφθειρε καὶ ἐν τῇ πόλει· ὥστε καὶ ἐλέχθη, τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων, ὅτι ἐν τῇ πόλει εἴη, καὶ θάπτοντας ἅμα ᾐσθάνοντο, θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν. Τῇ δὲ ἐσβολῇ ταύτῃ πλεῖστόν τε χρόνον ἐνέμειναν, καὶ τὴν γῆν πᾶσαν ἔτεμον. Ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ Ἀττικῇ ἐγένοντο.

58. Τοῦ δ' αὐτοῦ θέρους, Ἅγνων ὁ Νικίου καὶ Κλεόπομπος ὁ Κλεινίου, ξυστράτηγοι ὄντες Περικλέους, λαβόντες τὴν στρατιὰν, ᾗπερ ἐκεῖνος ἐχρήσατο, ἐστράτευσαν εὐθὺς ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, καὶ Ποτίδαιαν, ἔτι πολιορκουμένην. Ἀφικόμενοι δὲ, μηχανάς τε τῇ Ποτιδαίᾳ προσέφερον, καὶ παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. προὐχώρει δὲ αὐτοῖς οὔτε ἡ αἵρεσις τῆς πόλεως, οὔτε τἄλλα τῆς παρασκευῆς ἀξίως. Ἐπιγενομένη γὰρ ἡ νόσος, ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιὰν, ὥστε καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων ἀπὸ τῆς ξὺν Ἅγνωνι στρατιᾶς, ἐν τῷ προτοῦ χρόνῳ ὑγιαίνοντας. Φορμίων δὲ, καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι οὐκέτι

quaginta Chiorum et Leſbiorum naves, Peloponneſi nonnullas regiones vaſtat. 57. Peloponneſii autem, ſive morbi contagionem veriti, ſive alia de cauſa, poſt quadraginta ferme dies in Peloponneſum disceſſerunt, 58. et Athenienſium claſſis, ex Peloponneſo reverſa, cum in

τῆς τε γῆς ἔτεμον, non τὴν πολλὴν, ut vult. Gottleb., ſed μέρος τι intell. cum Schol.

58. Φορμίων δὲ. Vid. ſupra 1, 65. 2, 29.

ἦσαν περὶ Χαλκιδέας. Ὁ μὲν οὖν Ἅγνων ταῖς ναυσὶν ἀνεχώρησεν ἐς τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας, ἐν τεσσαράκοντα μάλιστα ἡμέραις. οἱ δὲ πρότεροι στρατιῶται, κατὰ χώραν μένοντες, ἐπολιόρκουν τὴν Ποτίδαιαν.

59. Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων, οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον, καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας. Καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον, ὡς πείσαντα σφᾶς πολεμεῖν, καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες· πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν. Καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτοὺς, ἄπρακτοι ἐγένοντο. Πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες, ἐνέκειντο τῷ Περικλεῖ. Ὁ δὲ, ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας, ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας (ἔτι δ' ἐστρατήγει) ἐβούλετο θαρσῦναί τε, καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης, πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι. Παρελθὼν δὲ ἔλεξε τοιάδε.

60. „ΚΑΙ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγένηται· (αἰσθάνομαι γὰρ τὰς αἰτίας) καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω,

Macedoniam, duce Agnone, contendiſſet, malo morbi etiam illuc diſſipato, infecta re, domum rediit. 59. His malis urgentibus, Athenienſes Pericli, tamquam eorum auctori, vehementer irati, legatos mittunt ad Peloponneſios de pace; ſed fruſtra. Pericles autem, qui hanc populi inconſtantiam providerat, concione advocata, 60 — 64. animos civium ſibi reconciliare, a periculis

οἱ δὲ πρότεροι στρατιῶται, nempe οἱ μετὰ Ἀρχεστράτου (1, 57), καὶ οἱ μετὰ Καλλίου. Cf. 1, 61 ſeqq.

59. ἠλλοίωντο τὰς γνώμας. Schol: μετεβλήθησαν.

παρελθὼν δὲ ἔλεξε τοιάδε. Haec eſt octo codicum lectio pro καὶ παρελθὼν ἔλεξε τοιάδε. cf. Benedict.

60. ἐς ἐμὲ γεγένηται. Hanc lectionem non ſolum codicum C. Cl. Reg. Caſſ. auctoritas, ſed etiam grammatica ratio firmat. Vulgo legitur ἐς με.

καὶ μέμψωμαι, εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε, ἢ ταῖς ξυμφοραῖς εἴκετε. Ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας, ἢ καθ᾽ ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. Καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ᾽ ἑαυτὸν, διαφθειρομένης τῆς πατρίδος, οὐδὲν ἧσσον ξυναπόλλυται· κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ, πολλῷ μᾶλλον διασώζεται. Ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἵα τε φέρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς δρᾶτε, ταῖς κατ᾽ οἶκον κακοπραγίαις ἐκπεπληγμένοι, τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε, καὶ ἐμέ τε, τὸν παραινέσαντα πολεμεῖν, καὶ ὑμᾶς αὐτοὺς, οἳ ξυνέγνωτε, δι᾽ αἰτίας ἔχετε. Καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς οἴομαι ἥσσων εἶναι γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα· φιλόπολίς τε καὶ χρημάτων κρείσσων. Ὅ, τε γὰρ γνοὺς, καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη· ὅ, τ᾽ ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τὶ οἰκείως

praeſentibus avertere, et in malis ingraveſcentibus ſirmare

τὰς ἰδίας ξυμφοράς, int. τὰς τῶν καθ᾽ ἕκαστον ἀνθρώπων. Cum respublica ſingulorum fortunas civium ſuſtineat, ſinguli autem cives in reipublicae calamitate ſalvi et incolumes eſſe non poſſint, aequum eſt, omnes reipublicae opitulari.

καὶ μὴ — ἀφίεσθε. Ita libri plurimi, praeter codd. Reg. Bar. Gr. (cui ἀφίεσθαι tamquam emendatio inter verſus adiecta eſt) et Caſſ. qui haud dubie eandem lectionem habuit, vulgato ἀφίεσθε obliteratam. Sed primus hunc locum recte interpunxit et illuſtravit *Hermannus* ad Vigerum p. 761. Sublatis enim parentheſeos notis, quibus vulgo circumſcribuntur verba ὃ νῦν ὑμεῖς — ἐκπεπληγμένοι, ad verba καὶ μὴ ſubaudit δρᾷν. Tranſitus enim eſt ab infinitivo ad verbum finitum, inde natus, quod verbum δρᾶτε intercedebat, cui ſingula membra ſequentia aſſimilabantur. Et fortaſſe mutata ſtructura apte h. l. indicetur, lineola poſt ἐκπεπληγμένοι poſita. Mox poſt ἐμέ e codd. addenda particula τέ.

οὐδενὸς οἴομαι ἥσσων. Hunc verborum ordinem reſtitui iubent codices. Vulgo ἥσσων οἴομαι. Mox iisdem iubentibus pro εἰ καὶ μὴ ἐνεθυμήθη reponendum καὶ εἰ μὴ ἐνεθ. (cf. ad 8, 76); et in fine capitis νῦν τοῦ γε ἀδικεῖν pro νῦν γε τοῦ ἀδ.

οὐκ ἂν ὁμοίως — φράζοι, nempe τῷ φιλοπόλει. — οἰκείως φράζειν, utile et amicum dare conſilium.

φράζοι· προςόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. ὥςτ', εἴ μοι, καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων προςεῖναι αὐτὰ, πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν τοῦ γε ἀδικεῖν αἰτίαν φεροίμην.

61. „Καὶ γὰρ, οἷς μὲν αἵρεσις γεγένηται τἄλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν, ἢ εἴξαντας, εὐθὺς τοῖς πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. Καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι, καὶ οὐκ ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι· διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, τῆς δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι· καὶ μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσούσης, ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν, ἃ ἔγνωτε. Δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροςδόκητον, καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον. ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. Ὅμως δὲ, πόλιν μεγάλην οἰκοῦντας, καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους, χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι, καὶ

conatus est.

προςόντος δὲ καὶ τοῦδε, i. e. *τοῦ φιλόπολιν εἶναι*. In sequentibus *μέσως* est *μετρίως*, einigermaſsen.

61. *ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν, ἃ ἔγνωτε.* Poſitivus *ταπεινή* non eſt pro comparativo *ταπεινότερα* (*μᾶλλον ταπεινή*) *ἢ ὥςτε ἐγκαρτερεῖν*. Nam Graeci, ut *nimis* ſignificent, non minus poſitivo, quam comparativo, utuntur. Sic 1. 50 extr. *ὀλίγαι (νῆες) ἀμύνειν*. Vid. Hermann. ad Viger. p. 885.

Pro *ἃ ἔγνωτε* etiam *οἷς ἔγνωτε* dicere poterat. Utrumque enim, *ἐγκαρτερεῖν τι* et *τινί* uſu venit.

δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον. Hoc loco recte ſubiectum articulo diſtinguitur a praedicato vel obiecto; quod nonnunquam contra evenit, ut cap. 60. *πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας.* Saepius etiam articulus utrique, et ſubiecto et praedicato additur. Cf. ad cap. 45. — *πρὸς τοῖς ἄλλοις*, praeter cetera.

τὴν ἀξίωσιν μὴ ἀφανίζειν· (ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι ὅςτις μαλακίᾳ ἐλλείπει, καὶ τῆς μὴ προςηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον·) ἀπαλγήσαντας δὲ τὰ ἴδια, τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι.

62. „Τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμον, μὴ γένηταί τε πολὺς, καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα, ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα, οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον· δηλώσω δὲ καὶ τόδε, ὅ μοι δοκεῖτε οὔτ᾽ αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχὴν, οὔτ᾽ ἐγὼ ἐν τοῖς πρὶν λόγοις. Οὐδ᾽ ἂν νῦν ἐχρησάμην, κομπωδεστέραν ἔχοντι τὴν προςποίησιν, εἰ μὴ καταπεπληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. Οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν· ἐγὼ δὲ ἀποφαίνω, δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ᾽ ὅσον τε νῦν νέμεσθε, καὶ ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅςτις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει, οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι. Ὥςτε οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν (ὧν μεγάλων νομίζετε ἐστερῆσθαι) αὕτη ἡ δύναμις φαίνεται·

ἐν ἴσῳ γὰρ — ὀρεγόμενον. Homines pariter eum incuſant, qui ob mollitiem partam gloriam relinquit, atque illum oderunt, qui inſolenter ſibi aſſumit alienam.

ἀπαλγήσαντας, *πανσαμένους ἀλγεῖν*, ut *ἀπολοφυράμενοι* c. 46.

62. *τὸν δὲ πόνον — ὑποπτευόμενον.* Accuſativum *τὸν πόλεμον* explicare volunt ſubaudito *κατά*. At patet, anacoluthon huic loco ineſſe, quod facillime tollatur, ſi Auctorem in animo habuiſſe putes *δεδιόσι* vel *ὑποπτεύουσι*, quod ad *ὑμῖν* referatur et unde pendeat *τὸν πόνον*. Certe tale quid eius animo obverſatum eſſe, docent verba *οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον*. Verbum *δείδω* ſaepiſſime omitti, conſtat.

ὑπάρχον ὑμῖν. Verto: quod vobis reſpectu magnitudinis ad imperium prodeſſe, neque vos umquam reputaſſe videmini, neque ego in prioribus orationibus.

ὥςτε οὐ κατὰ τὴν τῶν οἰκιῶν — χρείαν. Praepoſitio *κατά* h. l., ut alibi *πρός* (e. c. ſtatim *πρὸς ταύτην νομίσαντας*) in comparatione uſurpatur. Vid. exempla ad Viger. p. 637. Herm.

οὐδ' εἰκὸς, χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ κήπιον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας, ὀλιγωρῆσαι· καὶ γνῶναι, ἐλευθερίαν μὲν, ἣν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥαδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι, καὶ τὰ προςκεκτημένα φιλεῖν ἐλασσοῦσθαι· τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων, καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον τε καὶ προςέτι διασώσαντες παρέδοσαν ἡμῖν αὐτά· (αἴσχιον δὲ, ἔχοντας ἀφαιρεθῆναι, ἢ κτωμένους ἀτυχῆσαι·) ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε, μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. Αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίγνεται· καταφρόνησις δὲ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. Καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.

63. „Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, ᾧπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι, περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας,

χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ — νομίσαντας, ὀλιγωρῆσαι. Ad αὐτῶν intelligo τί, cum Kiſtem. Spectat autem ad τὰς οἰκίας καὶ τὴν γῆν, quae mox ludicra vocat, ſi cum illa rei publicae potentia comparentur. De voculis ἢ οὐ, quarum altera ſufficiebat, vid. ad 5, 36.

καὶ τὰ προςκεκτημένα, nempe praeter domos et agros. — Infinitivi γνῶναι, φανῆναι, ἰέναι pendent ab εἰκός ἐστι, quod ex οὐδ' εἰκός ſubaudiendum. Negatio enim tollitur particula affirmativa ſequente.

κατ' ἀμφότερα, i. e. κατὰ τὸ κατέχειν τε καὶ (διασώσαντες) παραδιδόναι.

καὶ τὴν τόλμαν —. Audaciam eam, quae in pari fortuna exſiſtit, certiorem efficit intelligentia hoſtium contemptione (nempe cum illis nos multo ſuperiores eſſe tum conſilio, tum viribus, intelligimus); et ſpei minus confidit (ἡ τόλμη), quippe quae in adverſa potius fortuna vim ſuam exſerit, ſed conſilio, praeſenti rerum copiae accommodato, fidem habet, quia (timoris expers) certius providet.

63. τῷ τιμωμένῳ. τῆς πόλεως τὸ τιμώμενον i. e. τιμήν, intellige τὴν ἡγεμονίαν. Ita enim ipſe deſcribit verbis ἀπὸ τοῦ ἄρχειν. Eodem redit in proximis vocabulum αἱ τιμαί.

ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως, καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. Ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἐστιν· εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται. Ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν· ἣν λαβεῖν μὲν, ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ, ἐπικίνδυνον. Τάχιστ' ἄν τε πόλιν οἱ τοιοῦτοι ἑτέρους τε πείσαντες ἀπολέσειαν, καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν. Τὸ γὰρ ἄπραγμον οὐ σώζεται, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον· οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει, ἀλλ' ἐν ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν.

64. „Ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε, μήτε ἐμὲ δι' ὀργῆς ἔχετε, (ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν,) εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν, ἅπερ εἰκὸς ἦν, μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν· ἐπιγεγένηταί τε, πέρα ὧν προσεδεχόμεθα, ἡ νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον· καὶ δι' αὐτὴν, οἶδ', ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦμαι· οὐ δικαίως, εἰ μὴ καὶ, ὅταν παρὰ

καὶ κινδύνου ὧν — ἀπήχθεσθε, pro *ἐκείνων οἷς ἀπήχθεσθε*. Ex hoc adiecto intelligi poteſt, triſtiorem etiam Athenienſium, quam aliorum, fore fortunam, quippe quibus ſuperatis non ſolum ſervitus, ut ceteris, ſed etiam iactura imperii et ultio ab iis, quorum odium imperio ſuo ſibi contraxerant, ſit metuenda. Plus certe amittere poſſunt, qui plus, quod amittant, habent; iidemque moleſtius ferunt damnum, quam ceteri, qui commodis quibusdam non adſueverunt.

εἴ τις καὶ — ἀνδραγαθίζεται. *Τόδε* refer ad *ἐκστῆναι*, et iunge cum *ἀνδραγαθίζεται*, i. e. *ἀνδραγαθίαν ἀσκεῖ ἐν τούτῳ*. — *δεδιώς*, ob timorem, pro *δέει*, quod *ἀπραγμοσύνῃ* magis reſponderet.

τάχιστ' ἄν τε πόλιν — οἰκήσειαν. Iunge *πόλιν ἀπολέσειαν, πείσαντες ἑτέρους τε, καὶ εἴ που — αὐτόνομοι οἰκήσειαν.* — *Οἱ τοιοῦτοι* ſunt *οἱ ἀπράγμονες* illi, quos modo deſcripſit. Paullo poſt *τὸ ἄπραγμον* eos dicit, iisque opponit *τὸ δραστήριον*, agendi ſtudioſos. — *ἑτέρους* intelligo *cives*, a rebus gerendis nondum abhorrentes. Verba autem *εἴ που ἐπὶ σφῶν αὐτῶν αὐτόνομοι οἰκήσειαν* ad ſocios refero, libertate utentes, velut Leſbios, Chios. Hi enim, ſi ita illis perſuaſum eſſet, imperium non amplius eſſe retinendum, Athenienſes armis, navibus, tributis iuvare recuſarent.

64. *εἰ καὶ ἐπελθόντες — ἔδρασαν.*, *Εἰ καὶ* non eſt idem quod *καὶ εἰ*. *Καὶ* h. l. ad verbum *ἔδρασαν* pertinet, hoc ſenſu: ſi ingreſſi hoſtes *re vera* hoc fecerunt, quod eos facturos eſſe conſentaneum erat.

μέρος τι μᾶλλον ἔτι μισοῦμαι. Cf. ad 2, 43.

λόγον τὶ εὖ πράξητε, ἐμοὶ ἀναθήσετε. Φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως. Ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν, νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. Γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις, διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν· πλεῖστα δὲ σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ, καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς αΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε (πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι) μνήμη καταλελείψεται· Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν, πρός τε ξύμπαντας, καὶ καθ' ἑκάστους· πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν. Καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν· ὁ δὲ δρᾶν τι βουλόμενος, καὶ αὐτὸς ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. Τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι, πᾶσι μὲν ὑπῆρξε δὴ, ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. Μῖσος μὲν γὰρ οὐκ ἐπὶ πολὺ ἀντέχει· ἡ δὲ παραυτίκα τε λαμπρότης, καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. Ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγνόντες, ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν, τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε· καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε, μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι. Ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσι."

65. Τοιαῦτα ὁ Περικλῆς λέγων, ἐπειρᾶτο τοὺς

65. Publice quidem Athenienſes Pericli obſequuntur, ſed

φέρειν τε. Servo τέ, cuius loco perperam codd. Ar. C. exhibent δέ. Nam continuat Auctor admonitionem ab initio huius capitis inchoatam.

ἐπὶ μεγίστοις, ob ſummas res et utiliſſimas actiones. — *μὴ αἰσχρόν*, intell. γνόντες ex antecedenti προγνόντες. — *ἀμφότερα*, τὴν παραυτίκα τε λαμπρότητα, καὶ τὴν ἐς τὸ ἔπειτα δόξαν ἀείμνηστον.

Ἀθηναίους τῆς τε ἐπ' αὐτὸν ὀργῆς παραλύειν, καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. Οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον, ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο· ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο· ὁ μὲν δῆμος, ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος, ἐστέρητο καὶ τούτων· οἱ δὲ δυνατοὶ, καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες· τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. Οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασιν. Ὕστερον δ' αὖθις οὐ πολλῷ (ὅπερ φιλεῖ ὅμιλος ποιεῖν) στρατηγὸν εἵλοντο, καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν· ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ξύμπασα ἡ πόλις προςεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. Ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο, καὶ ἀσφαλῶς διεφύλαξεν αὐτὴν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. Ἐπεβίω δὲ δύο ἔτη καὶ ἓξ

privatim eum odio habent, multaque afficiunt, ſed im-

65. *τῆς τε ἐπ' αὐτὸν ὀργῆς.* Revocavi veterem lectionem, a Gottlebero temere repudiatam ἐπ' αὐτόν, cuius loco e corruptis libris Ar. C. Dan. recepit ἐς αὐτόν. Saepe hae praepoſitiones in Mſſ. permutantur, ut ſtatim infra cap. 70.

ἀπ' ἐλασσόνων ὁρμώμενος. Kiſtem. explicat: „propenſus ad bellum propter minores facultates." Non bene. Sententia eſt: a minore facultate profectus, i. e. pauca poſſidens, atque ita bellum ingreſſus. — ὁ δῆμος h. l. de plebe intelligendum, ut apud Hom. Il. β, 198.

ἐζημίωσαν χρήμασιν. Ὀγδοήκοντα ταλάντοις, auctore Diodoro XII, 45. Contra Plutarch. in Pericle tradit, eos, qui minimum, quindecim, qui maximum numerum ſcripſerint, quinquaginta ſcripſiſſe.

ὧν μὲν — ἤλγει. Ἀλγέω et cum genitivo et cum accuſativo iungit Thucydides, pariter ac κρατέω, ἐγκαρτερέω (cap. 61.) alia.

ξύμπασα ἡ πόλις. Vulgo ἡ ξύμπασα πόλις. Exquiſitiorem illum ordinem praebent meliores libri. — *πλείστου ἄξιον*, refer ad Periclem.

ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται. Pro ἐπεί in vulgatis libris eſt ἐπειδή, quod mox iterum legitur, tam brevi ſpatio, ut alterum ex altero corrumpi a librariis potuerit. — ὁ δὲ non ὅδε h. l. ſcribo. Vide

μῆνας· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ [ἡ] ἐς τὸν πόλεμον. Ὁ μὲν γὰρ, ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας, καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ, μηδὲ τῇ πόλει κινδυνεύοντας, ἔφη, περιέσεσθαι. Οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν, καὶ ἄλλα ἔξω τοῦ πολέμου, δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη, κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν· ἃ κατορθούμενα μὲν, τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν· σφαλέντα δὲ, τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. Αἴτιον δ' ἦν, ὅτι ἐκεῖνος μὲν, δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ, ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν, πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει, καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. Ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι· καὶ δεδιότας αὖ ἀλόγως, ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν, δημοκρατία, ἔργῳ δὲ, ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. Οἱ δὲ ὕστερον, ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλή-

perium ſummum denuo ei tradunt. Belli annos duo et

dicta ad 1, 37. coll. 1, 11. *ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, φαίνονται δ' οὐδ' ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι.*

ἡ ἐς τὸν πόλεμον. Articulum ἡ Cl. Gr. Reg. Caſſ. Aug. omittunt. neque eo opus eſt. Quare deleverim. — *κινδυνεύοντας.* Cogitandum de longinquioribus expeditionibus, quibus Athenienſes vel distracti, vel fracti, impares eſſent hoſtibus ad urbem defendendam.

αἴτιον δ' ἦν, int. τούτου i. e. *τοῦ μετρίως ἐξηγεῖσθαι αὐτὸν, καὶ ἀσφαλῶς διαφυλάξαι τὴν πόλιν.* — *κατεῖχε τὸ πλῆθος ἐλευθέρως,* multitudinem liberaliter continebat, quippe quae cum neque addictum ſibi, neque muneribus ſuis devinctum habebat.

διὰ τὸ μὴ — ἀντειπεῖν. Commate poſt *μή* ſublato, quod ad participium *κτώμενος* non minus quam ad infinitivum *λέγειν* negatio *μή* pertinet, fixi comma poſt *ἐπ' ἀξιώσει,* quae verba recte Bauerus cepit: *propter auctoritatem.* Nam opponuntur *τὰ οὐ προσήκοντα,* inhoneſtae et vetitae potentiae comparandae rationes.

-ντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. Ἐξ ὧν ἄλλα τε πολλὰ, ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη, καὶ ὁ ἐς Σικελίαν πλοῦς· ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες, οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας, τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν, καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. Σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ, καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις, καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν, ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς πε-

ſex menſes vixit. Thucydidis de eo iudicium honorifi-

ἐτράποντο καθ' ἡδονὰς — ἐνδιδόναι. Verba καθ' ἡδονάς refero ad ἐνδιδόναι, quod ipſum pendet ab ἐτράποντο. Subaudiendum ex τῷ δήμῳ, αὐτοῦ.

γνώμης ἁμάρτημα — πρὸς οὓς ἐπῄεσαν. Haec vulgo intelliguntur de Leontinis, a quibus ſubſidio vocati Athenienſes, expeditionem in Siciliam ſuſcipiebant, neque itineris longitudinem, neque hoſtium copias ita, ut par erat, conſiderantes. Verum non Leontinorum error cum Athenienſium pravis conſiliis comparatur, ſed ipſorum Athenienſium error in ſuſcipiendo contra Syracuſanos bello cum ea ratione contenditur, qua poſthac ſusceptum bellum adminiſtrabant. Quapropter verba πρὸς οὓς ἐπῄεσαν ad Syracuſanos refero, *contra quos ibant:* et quod ſubaudiendum fuerit ἐκείνων, paſſive accipiendum eſt *reſpectu eorum* i. e. Syracuſanorum. — Pro διαφοράς dedi διαβολάς ex undecim codd., quam lectionem iure defendit Benedict., quem vide. Denique ἐταράχθησαν non habet activam vim, ut Bredovius cum aliis opinabatur, ſed paſſivam. Spectat enim eosdem, de quibus ſermo erat per totam periodum; et τὰ περὶ τὴν πόλιν non eſt nominativus, ſed accuſativus.

πλείοσιν ἀφεστηκόσι. Edidi ſic e codd. pro πλέοσιν, et paullo ante πλείονι. Sic ſupra cap. 60. meliores libri πλείω exhibent. Vid. ad 1, 77. — βασιλέως, Darii Nothi.

ριπεσόντες ἐσφάλησαν. Τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε, ἀφ' ὧν αὐτὸς προέγνω, καὶ πάνυ ἂν ῥαδίως περιγενέσθαι τὴν πόλιν τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

66. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Ἀθηναίοις ξυνεμάχουν. Ἐπέπλεον δὲ Λακεδαιμονίων χίλιοι ὁπλῖται, καὶ Κνῆμος Σπαρτιάτης ναύαρχος. Ἀποβάντες δὲ ἐς τὴν γῆν, ἐδῄωσαν τὰ πολλά. καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἐπ' οἴκου.

67. Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος, Ἀριστεὺς Κορίνθιος, καὶ Λακεδαιμονίων πρέσβεις, Ἀνήριστος, καὶ Νικόλαος, καὶ Στρατόδημος, καὶ Τεγεάτης Τιμαγόρας, καὶ Ἀργεῖος ἰδίᾳ Πόλλις, πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θρᾴκην, βουλόμενοι πεῖσαί τε αὐτὸν, εἰ δύναιντο, μεταστάντα τῆς Ἀθηναίων ξυμ-

cum, et cum fucceſſoribus eius comparatio. 66. Lacedaemoniorum expeditio adverſus Zacynthum. 67. Legati Peloponneſiorum, ad regem Perſarum miſſi, per Thraciam iter facientes et ad Sitalcen devertentes, ut eum a ſocietate Athenienſium avertant, ſuadentibus Athenien-

τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε — „Tantum tum Pericles ceteros ſuperabat ob id, quod ipſe praevidebat, facile civitatem Peloponneſiis ſolis ſuperiorem bello fore.“ Verba τὴν πόλιν ignorant Reg. Caſſ. Aug. Par. H. et Valla; quare ſuſpecta viſa ſunt Popponi, a me tamen ſervata, quod ſententiae tam apta ſunt, ut abeſſe vix poſſint. Nam ſi ea expungeres, aut αὐτὸς cum infinitivo iungendum, aut ex praecedenti αὐτοὶ ſubaudiendum eſſet αὐτοῖς, i. e. Ἀθηναίοις, quorum alterum altero difficilius eſt. — Etiam αὐτῶν verum eſt. Bredovius praeferebat αὐτῷ, *hoc ipſo bello*. Sed Auctor hoc vult: Cum Athenienſes tot hoſtibus, qui ad Peloponneſios acceſſerant, pares fuiſſent, priusquam inter ſe controverſiis diſſiderent: apparet, Periclem verum vidiſſe, cum ſolis Peloponneſiis Athenienſes facile ſuperiores fore contenderet.

67. ἰδίᾳ, privatim, ſuo nomine. Civitas enim Athenienſibus inimica non erat. Vid. 2, 9.

μαχίας, στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν· καί, ᾗπερ ὥρμηντο, δι᾽ ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. Παρατυχόντες δὲ Ἀθηναίων πρέσβεις, Λέαρχος [ὁ] Καλλιμάχου, καὶ Ἀμεινιάδης [ὁ] Φιλήμονος παρὰ τῷ Σιτάλκῃ, πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μή, διαβάντες ὡς βασιλέα, τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. Ὁ δέ, πεισθεὶς, πορευομένους αὐτοὺς διὰ τῆς Θρᾴκης ἐπὶ τὸ πλοῖον, ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν, πρὶν ἐσβαίνειν, ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου· καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι. Οἱ δέ, λαβόντες, ἐκόμισαν ἐς τὰς Ἀθήνας. Ἀφικομένων δὲ αὐτῶν, δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα, μὴ αὖθις σφᾶς ἔτι πλείω κακουργῇ διαφυγών, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντ᾽ ἐφαίνετο πράξας, ἀκρίτους καὶ βου-

ſium legatis, qui tum forte aderant in Thracia, a Sadoco, Sitalcae filio, in itinere comprehenduntur et Athenienſibus

καί, ᾗπερ ὥρμηντο. Ante haec verba vulgo leguntur *καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς*, quae auctoritate codd. Cl. Baſ. Aug. Reg. Par. H., quibus verſio Vallae accedit, expungenda ſunt. Primum enim ſuperflua ſunt, cum nihil iis afferatur, quod non inſit vérbis praecedentibus *μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας*; deinde inepta ſunt, quia iam dictum erat, legatos Sitalcae perſuadere voluiſſe, ut Potidaeatis ſubſidio veniret, quod plus ſane valet, quam *παῦσαι βοηθεῖν*; denique particula *τέ* totius loci et ſtructuram et ſententiam perdit. Quare Popponem ſecutus, totum pannum delevi.

Λέαρχος ὁ Καλλιμάχου. Mſſ. plerique omittunt hic et paullo poſt ante *Φιλήμονος* articulum, qui Thucydidi quidem in hac formula familiaris eſt. Abeſt tamen etiam 2, 99 extr. Quid ad ſententiam interſit, utrum ponatur, an omittatur articulus, docet Hermannus ad Viger. p. 701. *τὴν ἐκείνου πόλιν*, Athenas, cum civis Athenienſis factus eſſet Sadocus. Cf. c. 29. — *τὸ μέρος*, quantum in ipſis eſſet. — *ἐκείνοις παραδοῦναι*, Learcho et Aminiadi. *τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντα.* Verba *τῶν ἐπὶ Θρᾴκης* (int. *χωρίων*) ita pendent ab articulo *τά*, ut *τῆς Ποτιδαίας*.

λομένους ἔστιν ἃ εἰπεῖν, αὐθημερὸν ἀπέκτειναν πάντας, καὶ ἐς φάραγγας ἐσέβαλον· δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι, οἷσπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους, οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας, ἀποκτείναντες, καὶ ἐς φάραγγας ἐσβαλόντες. Πάντας γὰρ δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι, ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ, ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας, καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.

68. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, καὶ Ἀμπρακιῶται, αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες, ἐστράτευσαν ἐπ' Ἄργος τὸ Ἀμφιλοχικὸν, καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. Ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε, μετὰ τὰ Τρωϊκὰ οἴκαδε ἀναχωρήσας, καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει, Ἀμφίλοχος ὁ Ἀμφιάρεω, ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. Καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας, καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. Ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι, Ἀμπρακιώτας, ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ, ξυνοίκους ἐπηγάγοντο· καὶ ἑλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι Ἀμφί-

traduntur. Athenienſes eos indicta cauſa necant, in ultionem eorum, quos circa Peloponneſum correptos Lacedaemonii trucidaverant. 68. Ambraciotarum expeditio contra Argos Amphilochicum, eiusque cauſae. Erat enim Argos Amphilochicum ab Amphilocho conditum ſtatim poſt Troica. Argivi multo tempore poſt, adverſa fortuna afflicti, Ambraciotas recipiunt in urbem, a quibus ipſi

ἐν ὁλκάσι περὶ Πελ. πλέοντας. Herodotus 7, 137., ubi hanc rem attingit, de Aneriſto ſcribit: ὃς εἷλε ἁλιέας τοὺς ἐκ Τίρυνθος, ὁλκάδι καταπλώσας πλήρεϊ ἀνδρῶν.

λοχοι βάρβαροί εἰσιν. Ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ, καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. Οἱ δ᾽ Ἀμφίλοχοι, γενομένου τούτου, διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προςπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἱ αὐτοῖς Φορμίωνά τε στρατηγὸν ἔπεμψαν, καὶ ναῦς τριάκοντα. Ἀφικομένου δὲ τοῦ Φορμίωνος, αἱροῦσι κατὰ κράτος Ἄργος, καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν· κοινῇ τε ᾤκησαν αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. Μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. Οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ Χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε πρὸς τὸ Ἄργος, τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προςβαλόντες, ἀπεχώρησαν ἐπ᾽ οἴκου, καὶ διελύθησαν κατὰ ἔθνη. Τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο. /

poſtea eiiciuntur. Amphilochi autem Acarnanibus ſe tradunt, et ope Athenienſium Argos capiunt, Ambraciotas vendunt. Inde et ſocietas Acarnanum cum Athenienſibus, et inimicitia Ambraciotarum, qui Argos fruſtra adorti.

68. *καὶ προςπαρακαλέσαντες.* Ita plurimi codices iubent legi. Vulgo *προςεκαλέσαντο*. Scholion: *ἀναπόδοτον, μᾶλλον δὲ καταπόδοτον τοῦτο*, docet, etiam Scholiaſtam participium in ſuo codice inveniſſe. Benedictus quidem hanc lectionem recipiendam cenſet, ſed *καί* explicat *etiam*, quod recte refellit Poppo, quia ita Amphilochi et Acarnanes prius Athenienſes in auxilium vocaſſe dicerentur, quam Amphilochi Acarnanibus ſe dedidiſſent. Participia pro verbo finito habes 1, 25. cf. 4, 40. 7, 79. 8, 86. 89. 91. Herodoti locum 1, 8. huic noſtro ſimillimum, attulit Poppo: *Τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιότερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης, καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων.*

τήνδε τὴν στρατείαν, de qua initio capitis dicere inſtituerat. — *ἐν τῷ πολέμῳ*, tempore huius belli, huius belli ſpatio. Neque opus eſt cum Stephano et Kiſtemak. legere *τῷδε* pro *τήνδε*, cum *ὁ πόλεμος* Thucydidi *κατ᾽ ἐξοχήν* dicatur *ὁ Πελοποννησιακός*. Phormionis in Acarnaniam expeditio non ita multo ante huius belli initium videtur facta eſſe: itaque, quae inde ab Ambraciotis concepta erat in Argivos inimicitja, ea nunc (belli Pelop. tempore) erupit.

69. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον, καὶ Φορμίωνα στρατηγόν· ὃς, ὁρμώμενος ἐκ Ναυπάκτου, φυλακὴν εἶχε, μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα, μήτ' ἐςπλεῖν· ἑτέρας δὲ ἓξ ἐπὶ Καρίας καὶ Λυκίας, καὶ Μελήσανδρον στρατηγὸν, ὅπως ταῦτά τε ἀργυρολογῶσι, καὶ τὸ ληστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν, αὐτόθεν ὁρμώμενον, βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης, καὶ τῆς ἐκεῖθεν ἠπείρου. Ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν Λυκίαν ὁ Μελήσανδρος, ἀποθνήσκει, καὶ τῆς στρατιᾶς μέρος τὶ διέφθειρε, νικηθεὶς μάχῃ.

70. Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται, ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττικὴν ἐςβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπανίστασαν τοὺς Ἀθηναίους, ὅ, τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας, καί τινες καὶ ἀλλήλων ἐγέγευντο, οὕτω δὴ λόγους προςφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου, καὶ Ἑστιοδώρῳ τῷ Ἀριστοκλείδου, καὶ Φανομάχῳ τῷ Καλλιμάχου. Οἱ δὲ προςεδέξαντο,

69. Per hiemem Phormio ad cuſtodiam ſinus Criſſaei, Meleſander in Cariam et Lyciam proficiſcitur contra praedones Peloponneſios, navigia inde venientia vexantes. 70. Secundum annum belli conficit narratio de Potidaeae expugnatione, quae pactione interpoſita fiebat. Incolis conceſſum, ut cum uno pallio, et viatico de opibus ſuis

69. *Φασήλιδος.* Phaſelis urbs Pamphyliae.

70. *καί τινες καὶ ἀλλήλων ἐγέγευντο.* Plusquamperfectum per ſe aptius videtur, quam imperfectum *ἐγεύοντο*, quod vulgatur; quamquam ideo hoc non damnaverim. Indicat enim, eos tum demum, cum cetera eſſent conſumpta, et extrema neceſſitas cogeret, iſtis alimentis veſci incepiſſe. Sed plusquamperfectum plerique codices praebent. Ergo recepi. Verba *καὶ — ἐγέγευντο* tamquam exemplum inſigne eorum, quae proxime anteceſſerunt, accipienda ſunt.

ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς τὴν πολιορκίαν. Ἐπὶ τοῖσδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς, καὶ παῖδας καὶ γυναῖκας, καὶ τοὺς ἐπικούρους, ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν, καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον. Καὶ οἱ μὲν, ὑπόσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλκιδικὴν, καὶ ἕκαστος ᾗ ἐδύνατο. Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς ἐπῃτιάσαντο, ὅτι ἄνευ αὐτῶν ξυνέβησαν (ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως, ᾗ ἐβούλοντο) καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν, καὶ κατῴκισαν. Ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

71. Τοῦ δ' ἐπιγιγνομένου θέρους, οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν. Ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεὺς, καὶ καθίσας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν. Οἱ δὲ Πλαταιεῖς, εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν, ἔλεγον τοιάδε. „Ἀρχίδαμε, καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὐδ' ἄξια οὔτε ὑμῶν, οὔτε πατέρων ὧν ἐστε, ἐς γῆν τὴν Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου, Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων, μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης, ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διῒ ἐλευθερίῳ ἱερὰ, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους, ἀπεδίδου Πλα-

desumpto, in Chalcidicem migrarent. 71. Tertio anno Lacedaemonii non in Atticam, sed adversus Plataeas exercitum ducunt, vastandi causa. Plataeenses legatos obviam mittunt, qui Archidamum admoneant maiorum suorum in liberanda a Medis patria meritorum, et quid sibi ideo

ἀναλωκυίας τε. Hoc *τέ* respondet antecedenti *μὲν* post *ὁρῶντες*. Vid. ad 1, 144. *ἐπὶ τὴν Χαλκιδικήν.* Ita cum Benedicto rescripsi pro *ἐς τε τὴν Χαλκιδ.* optimorum librorum auctoritate. *Ἐπὶ* est *versus*.

ταιεῦσι, γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν· στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς, μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ μὴ, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν. Τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν, ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης· ὑμεῖς δὲ τἀναντία δρᾶτε. Μετὰ γὰρ Θηβαίων, τῶν ἡμῖν ἐχθίστων, ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ ἥκετε. Μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι, καὶ τοὺς ὑμετέρους πατρῴους, καὶ ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν, τὴν γῆν τὴν Πλαταιΐδα μὴ ἀδικεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾷν δὲ οἰκεῖν αὐτονόμους, καθάπερ Παυσανίας ἐδικαίωσε.“ ||

72. Τοσαῦτα εἰπόντων Πλαταιέων, Ἀρχίδαμος ὑπολαβὼν εἶπε· „Δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιεῖς, ἢν ποιῆτε ὅμοια τοῖς λόγοις. Καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε, καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετασχόντες τῶν τότε κινδύνων, ὑμῖν τε ξυνώμοσαν, καὶ εἰσὶ νῦν ὑπ' Ἀθηναίοις. Παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως· ἧς μάλιστα μὲν μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μὴ (ἅπερ καὶ τὸ πρότερον ἤδη προὐκαλεσάμεθα) ἡσυχίαν ἄγετε, νεμόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων· δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ

a Pausania promissum fuerit. 72. Quibus Archidamus respondit, promissis se staturum, si et ipsi Plataeenses aut ceteros Graecos una essent liberaturi, aut certe neutri parti auxilio futuri. Illi excusare necessitatem cum Atheniensibus consilia communicandi, in quorum potestate ipsorum liberi et uxores essent; tum a Thebanis metuere. Itaque Archidamus ab iis postulat, ut urbem usque ad

71. *στρατεῦσαί τε μηδένα.* Subaudi *ἐκέλευσε* ex *ἀπέδιδον*, quod est *concessit, permisit.* 72. *αὐτοί τε αὐτονομεῖσθε.* Male haec Interpres latinus iungit cum praecedentibus. *αὐτονομεῖσθε* est imperativus, sicut *ξυνελευθεροῦτε*, et cum hoc particulis *τέ — καί* coniunctus. — *αὐτῶν ἕνεκα*, int. *ὑμῶν*.

δέ, μηδ' ἑτέρους. Καὶ τάδε ἡμῖν ἀρέσκει." Ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιέων πρέσβεις ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν, καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες, ἀπεκρίναντο αὐτῷ, ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν, ἃ προκαλεῖται, ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἴησαν· δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει, μή, ἐκείνων ἀποχωρησάντων, Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ Θηβαῖοι, ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν. Ὁ δέ, θαρσύνων αὐτούς, πρὸς ταῦτα ἔφη· „Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν παράδοτε τοῖς Λακεδαιμονίοις, καὶ γῆς ὅρους ἀποδείξατε, καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν ὑμῖν, ἃ ἂν παραλάβωμεν. μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην, ἐργαζόμενοι, καὶ φορὰν φέροντες, ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι."

73. Οἱ δ' ἀκούσαντες, ἐσῆλθον αὖθις ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους, ἔλεξαν, ὅτι βού-

belli finem Lacedaemoniis servandam tradant. 73. Copia autem facta, per inducias cum Atheniensibus communicandi, quae ab Archidamo proposita essent, mox

καὶ τάδε ἡμῖν ἀρέσκει. Alii codices Marg. C. Dan. Vind. tres Parr. Valla et Dionys. Halic. habent *ἀρκέσει*, quod aptum quidem videtur iis, quae ultimo loco proposuerat Archidamus; correctionem tamen sapit.

ἡμῖν παράδοτε τοῖς Λακεδ. Hunc verborum ordinem praeter libros res ipsa commendat, ut maior vis vocis sit in *ἡμῖν*. Vulgo: *παράδοτε ἡμῖν*. — Paullo ante memorabilis est optativus *εἴησαν*, quasi non *γάρ*, sed *ὅτι* praecessisse, cum exspectes accusativum cum infinitivo, ad quam structuram a constructione per *ὅτι* saepissime fit transitus.

ἀποδώσομεν — παραλάβωμεν. Verba *ὑμῖν, ἃ ἂν παραλάβωμεν* in veteribus editionibus reperiuntur; sequiores autem editores ea emiserunt nescio qua codicum auctoritate. Sed eadem recte e codicibus plurimis restituenda esse censuerunt recentiores Critici. Similis terminatio verborum *ἀποδώσομεν* et *παραλάβωμεν* librarium unum et alterum fallere poterat, neque haec glossae speciem habent, cum vix deesse posse videantur.

λονται, ἃ προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον, καὶ, ἢν πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα· μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δῃοῦν. Ὁ δὲ ἡμέρας τε ἐσπείσατο, ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. Ἐλθόντες δὲ οἱ Πλαταιεῖς πρέσβεις ὡς τοὺς Ἀθηναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· „Οὔτ' ἐν τῷ προτοῦ χρόνῳ, ὦ ἄνδρες Πλαταιεῖς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν. Ἐπισκήπτουσί τε ὑμῖν, πρὸς τῶν ὅρκων, οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν."

74. Τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ Πλαταιεῖς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι καὶ γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας, καὶ ἄλλο πάσχοντας, ὅ, τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι, ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν, ἃ Λακεδαιμόνιοι προκαλοῦνται. Ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων ὧδε. „Θεοὶ, ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε, καὶ ἥρωες,

legati renuntiant, Athenienſes validiſſimum auxilium promittere; 74. quo permoti decernunt, Athenienſium ſocietatem non eſſe deſerendam. Archidami deorum indi-

73. ἡμᾶς προέσθαι. Benedictus praefert ὑμᾶς, quod praeter Cl. et ſex Parr. legit etiam Valla. Mihi vulgatum aptius videtur propter verba: ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα.

74. ὅ, τι ἂν ξυμβαίνῃ. Corrigit Poppo ξυμβαίνοι, praeter neceſſitatem, cum ſit oratio obliqua. Paullo ante pro ἀνέχεσθαι Cl. Reg. Caſſ. Par. H. praebent ἀντέχεσθαι, ut ſubaudiendum ſit αὐτῶν i. e. Ἀθηναίων, quod fortaſſis praeferendum. — Pro εἰ δεῖ Kiſtem. malebat δέοι. At 3, 112. in ſimili ſtructura, codicibus iubentibus, legendum eſt εἰ δεῖ pro ἤδη. Propter quam horum verborum confuſionem Gottleberus h. l. legendum cenſebat ἤδη. Qua coniectura nihil eſt infelicius. Si enim ita legeretur, pro ὁρῶντας, quod pendet a δεῖ, deberet eſſe ὁρῶντες et deinde πάσχοντες, propter ἐβουλεύσαντο.

ξυνίστορές ἐστε, ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων τῶνδε πρότερον τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν, εὐξάμενοι ὑμῖν, Μήδων ἐκράτησαν, καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν· οὔτε νῦν, ἤν τι ποιῶμεν, ἀδικήσομεν. Προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν. Ξυγγνώμονες δὲ ἔστε, τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως." ||

75. Τοσαῦτα ἐπιθειάσας, καθίστη ἐς πόλεμον τὸν στρατόν. Καὶ πρῶτον μὲν περιεσταύρωσεν αὐτοὺς τοῖς δένδρεσιν, ἃ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξιέναι. Ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν, στρατεύματος τοσούτου ἐργαζο-

getum imprecatio. 75 — 78. Quae Peloponneſii adver-

ξυνίστορες ἔστε. Ita ſcripſi cum Stephano pro *ξυνίστορές ἐστε*, quia haec melius imperativo modo pronuntiantur. Item infra: *ξυγγνώμονες δὲ ἔστε* exhibui. Recte Valla: *Itaque concedite.*

ἀδίκως. Kiſtemak. bene comma ponit *poſt ἀδίκως*, ut hoc adverbium ad *ἤλθομεν* referri poſſit, ubi neceſſarium eſt, cum in verbis *ἐκλιπόντων — ξυνώμοτον* notio *ἀδικίας*, etiam non adiecto illo vocabulo, contineatur.

καὶ παρέσχετε — Ἕλλησιν. Haec verba tamquam parentheſin accipienda eſſe, iam Kiſtemakerus monuit. Eſt autem transitus a pronomine relativo (*καὶ ἣν παρέσχετε εὐμενῆ ἐναγωνίσασθαι*) ad demonſtrativum. Cf. ad cap. 4. *εὐμενῆ*, benignam, proſperam.

τῆς μὲν ἀδικίας κολάζεσθαι, int. *ἀντί*, et ad *ὑπάρχουσι* ſubaudi *αὐτῆς* i. e. *ἀδικίας*, ſicut ad *τοῖς ἐπιφέρουσιν*, *αὐτὴν* (*τιμωρίαν*) Ὑπάρχουσι autem pendet a *ξυγγνώμονες ἔστε*, et *κολάζεσθαι* idem eſt quod *κολάσεως τυγχάνειν.*

75. *καὶ πρῶτον μὲν περιεσταύρωσεν.* Duplex contra Plataeenſes opus inſtituit Archidamus, alterum, ut totam urbem, ne quis exiret, vallis circumcluderet; alterum, ut contra unam, eamque exiguam haud dubie, muri partem aggerem duceret (*ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν*). Haec igitur et interpunctione diſtinguenda ſunt. Pro colis induxi puncta poſt *ἐξιέναι*, et ſuperius ante *καὶ πρῶτον.* De tota Plataearum obſidione melius ceteris et luculentius agit Bredovius ad h. l.

τοῖς δένδρεσιν, pro *δένδροις*, a *τὸ δένδρος*, cuius nominativum inuſitatum, obliquos autem caſus in uſu eſſe, docet Stephanus. — *ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν*, ad *δένδρων* male refert Kiſtem. Pertinet ad Plataeenſes, cum praecedat *τὴν πόλιν.* Cf. 1, 136. *φεύγει ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης.*

μένου. Ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος, παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα. Ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ, καὶ λίθους, καὶ γῆν, καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον. Ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διῃρημένοι κατ᾽ ἀναπαύλας, ὥςτε τοὺς μὲν, φέρειν, τοὺς δὲ, ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι. Λακεδαιμονίων τε οἱ ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. Οἱ δὲ Πλαταιεῖς, ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες, καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει, ᾗ προςεχοῦτο, ἐςῳκοδόμουν ἐς αὐτὸ πλίνθους, ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. Ξύνδεσμος δ᾽ ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ, ὑψηλὸν γιγνόμενον, ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα. Καὶ προκαλύμματα εἶχε δέῤῥεις, καὶ διφθέρας, ὥςτε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις οἰστοῖς βάλλεσθαι, ἐν ἀσφαλείᾳ τε εἶναι. Ἤιρετο δὲ τὸ ὕψος τοῦ τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανῄει αὐτῷ. Καὶ οἱ Πλαταιεῖς τοιόνδε τι ἐπινοοῦσι· διελόντες τοῦ τείχους, ᾗ προςέπιπτε τὸ χῶμα, ἐςεφόρουν τὴν γῆν.

76. Οἱ δὲ Πελοποννήσιοι, αἰσθόμενοι, ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐςέβαλον ἐς τὸ διῃρημένον, ὅπως μὴ διαχεόμενον, ὥςπερ ἡ γῆ, φοροῖτο. Οἱ δὲ,

ſus Plataeas conati ſint, et quid Plataeenſes contra conati.

παρῳκοδόμουν ἑκατέρωθεν, nempe *τοῦ χώματος*. De notione vocis *οἰκοδομεῖν* vid. dicta ad 1, 93.

φορμηδὸν, in formam ſtorearum, ita ut ligna alia recta in longitudinem, alia in obliquum ponantur. Cf. Schol. ad 4, 48. — *ἐπὶ πολὺ*, latius.

οἱ ξεναγοί. Erant duces militum ſociorum. Nam ſingularum civitatum ſociarum militibus praeter ipſorum praefectum Lacedaemonius dux praeerat, (*ξυνεφεστῶτες*).

ᾗ προςεχοῦτο, ea parte, qua Lacedaemoniorum agger ad urbem vel murum pertinebat.

προκαλύμματα εἶχε. Subiectum eſt *οἰκοδόμημα* ſ. *τεῖχος*. — *δέῤῥεις* ſunt plutei.

διελόντες τοῦ τείχους, int. *τὶ μέρος*.

76. *ὅπως μὴ διαχεόμενον*. Neutrum *διαχεόμενον* non convenit *τῷ πηλῷ*, ideoque contra co-

ταύτῃ ἀποκλειόμενοι, τοῦτο μὲν ἐπέσχον· ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες, καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα, ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας ἧσσον ἀνύτειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος, καὶ ἵζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. Δεδιότες δέ, μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προςεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ, ἀρξάμενοι ἀπὸ τοῦ βραχέος τείχους, ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν προςῳκοδόμουν, ὅπως, εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν· καὶ προχωροῦντας εἴσω, διπλάσιόν τε πόνον ἔχειν, καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. Ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προςῆγον τῇ πόλει οἱ Πελοποννήσιοι· μίαν μέν, ἣ τοῦ μεγάλου οἰκοδομήματος, κατὰ τὸ χῶμα

dices omnes legendum cenfet Poppo *διαχεόμενος*. Fortaffe et h. l. aliud fubiectum Auctoris animo obverfabatur, v. c. *τὸ ἐςβεβλημένον*, ut neutrum non folum ad *τὸν πηλόν*, fed etiam ad *ταρσοῦς* fpectet. *Ταρσοὶ καλάμου* i. e. *ἐκ καλάμου* funt crates, Schanzkörbe. —

τοῦτο μὲν ἐπέσχον, ut 5, 63. Ufitatior eft genitivus.

ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι. Αὐτοῦ, quod pendet ab *ἔνθεν*, referendum eft ad *οἰκοδόμημα*. Sed hoc adverfatur fequentibus verbis: *ἀπὸ τοῦ βραχέος τείχους*, quibus internum illum murum non a duabus altioris operis, fed inferioris, partibus inftitutum effe demonftratur. Quam difficultatem fenfiffe videtur Kiftemakerus, qui *βραχὺ τεῖχος* humiliorem illum lapidarem murum intelligit, cui fuperftructus erat ligneus. Sed ne fic quidem omnis difficultas fublata eft. Nam primum haec interpretatio nimis quaefita videri poffit; deinde novus ille murus admodum parvus exftitiffet, fi tam arctis finibus, quam altioris muri longitudo pateretur, contineretur. Quare poft pronomen *αὐτοῦ*, quod omittunt quidem codd. Reg. et Gr., interpretamentum tamen effe non arbitror, comma ponatur, ut *ἀρξάμενοι ἀπὸ τοῦ βραχέος τείχους* iungi poffint. Porro *μηνοειδὲς*, codicibus iubentibus ante verba *ἐς τὴν πόλιν* collocari debet. Totum locum ita intelligo: In circulo ampliore exterioris vel antiqui muri interiorem et novum ita exftruebant, ut is ab utroque fine tangeret quidem exteriorem, ita tamen verfus urbem fe reciperet, ut circuli quafi fegmentum, lunae falcatae non abfimile, oriretur.

ἐν ἀμφιβόλῳ — γίγνεσθαι. Schol. *ἑκατέρωθεν βάλλεσθαι*, nempe ab utroque latere, vel etiam a fronte et a tergo.

προςαχθεῖσα, ἐπὶ μέγα τε κατέσεισε, καὶ τοὺς Πλαταιέας ἐφόβησεν· ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς, βρόχους τε περιβάλλοντες, ἀνέκλων οἱ Πλαταιεῖς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἁλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν, ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους, ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προςπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανὴ, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι, καὶ οὐ διὰ χειρὸς ἔχοντες. Ἡ δὲ, ῥύμῃ ἐμπίπτουσα, ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

77. Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ τε μηχαναὶ οὐδὲν ὠφέλουν, καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. Πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειράσαι, εἰ δύναιντο, πνεύματος γενομένου, ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην. Πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προςαχθείη. Φοροῦντες δὲ ὕλης φακέλους, παρέβαλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προςχώσεως. Ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον

ἐπὶ μέγα pertinet ad *οἰκοδομήματος*; quare ante *κατά* diftingui debebat. — *Πλαταιέας* dedi pro *Πλαταιεῖς*, quae forma in nominativo tantum Atticis propria eft. Ita etiam proximo capite libri omnes exhibent, et hoc ipfo loco plures.

ἀνελκύσαντες ἐγκαρσίας. Alii *ἐγκαρσίως.* Vid. Benedict. Antennae duae muro inclinatae, eum fuperabant. Ab iis deiiciebantur trabes, quas obliquas furfum tulerant. — Paullo ante *ἀνακλᾷν* eft *reflectere*, *avertere*, (cf. 7, 25.) quae erat ufitata apud veteres ratio eludendi ictus arietis. — *ῥύμῃ ἐμπίπτουσα*, cum impetu delata.

77. *ἀπὸ τῶν παρόντων δεινῶν*, i. e. *διὰ τῶν π. δ.* cf. 6, 19.

ἐς τὸ μεταξὺ πρῶτον — προςχώσεως. Agger etfi murum attingebat, tamen declivis erat ad muri fundamenta. Itaque aliquid intervalli inter aggerem (*πρόςχωσιν*) et murum relictum erat. Hoc primum (*πρῶτον*) replebant, quo propius ad murum accedere poffent. Deinde etiam in ipfam urbem, quam longiffime poterant, aridae materiae fafciculos iniiciebant.

τῆς ἄλλης πόλεως, quafi etiam murus, quem iam antea attigerant, pars fit urbis.

ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν. Ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ, ἧψαν τὴν ὕλην, καὶ ἐγένετο φλὸξ τοσαύτη, ὅσην οὐδείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν. Ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὑτὴν, ἀπὸ ταυτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε. Τοῦτο δὲ μέγα τε ἦν, καὶ τοὺς Πλαταιέας, τἆλλα διαφυγόντας, ἐλαχίστου ἐδέησε διαφθεῖραι. Ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι· πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, (ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι) οὐκ ἂν διέφυγον. Νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα, καὶ οὕτω παυσθῆναι τὸν κίνδυνον.

78. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου, τὸ δὲ λοιπὸν ἀφέντες, περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον. Τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. Καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολὰς, καταλιπόντες φύλακας τοῦ ἡμίσεος τείχους (τὸ δὲ ἥμισυ Βοιωτοὶ

ὕλη τριφθεῖσα — cf. Lucretii locum 1, 896.

78. τοῦ στρατοπέδου. Hoc ex codd. recepi pro στρατοῦ, quod illius interpretamentum eſt. Στρατόπεδον pro exercitu Noſtro familiare. Cf. 1, 53. 2, 65. 89 med.

τὸ δὲ λοιπὸν ἀφέντες. Haec verba abſunt a codd. Ar. C. Cl. Dan. Aug. Moſq. et uno Par., nec ſolum Benedicto, qui plerumque ex numero codicum lectionum praeſtantiam expendit, ſed etiam a Poppone, ſubtilioris iudicii viro, damnantur. Sed neque externa, neque interna argumenta cogunt, ut haec verba pro interpretamento habeamus. Nam primum codices ſunt ii, quibus non multum fidei ſit tribuendum, exceptis Cl. et Aug. qui tamen haec verba adſcripta habent; deinde illud ipſum, quod cogitare nos vult Poppo, (nempe in Boeotiae urbes ceteros eſſe dimiſſos, ut facilius alerentur, vel etiam in locum idoneum ad reſiſtendum Athenienſibus, ſi forte accederent) haec verba ſignificant, et aliud eſt ἀφιέναι μέρος τι τοῦ στρατοπέδου, aliud διαλύεσθαι κατὰ πόλεις. Denique μὲν nihil haberet, quo referretur; nam quod Benedictus ad τάφρος δὲ refert, hoc nihili eſſe, nemo non, opinor, videt.

περὶ ἀρκτούρου ἐπιτολάς. Menſe Boedromione (Septembri exeunte) circa aequinoctium auctumnale, a quo etiam Graeci illius aetatis auctumni initium ducebant. Cf. Bredov. ad h. l.

ἐφύλασσον) ἀνεχώρησαν τῷ στρατῷ, καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιεῖς δὲ παῖδας μὲν καὶ γυναῖκας, καὶ τοὺς πρεσβυτάτους τε, καὶ πλῆθος τὸ ἄχρηστον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας· αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. Τοσοῦτοι ἦσαν οἱ ξύμπαντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο· καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος, οὔτε ἐλεύθερος. Τοιαύτη μὲν ἡ Πλαταιέων πολιορκία κατεσκευάσθη.

79. Τοῦ δ' αὐτοῦ θέρους, καὶ ἅμα τῇ τῶν Πλαταιέων ἐπιστρατείᾳ, Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, καὶ Βοττιαίους, ἀκμάζοντος τοῦ σίτου. Ἐστρατήγει δὲ Ξενοφῶν ὁ Εὐριπίδου τρίτος αὐτός. Ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν, τὸν σῖτον διέφθειραν. Ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. Προσπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων, ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν. Ἧς ἐπεξελθούσης ἐκ τῆς Σπαρτώλου, ἐς μάχην καθίστανται οἱ Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. Καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων,

79. Dum haec geruntur, Athenienſium in Thraciam ad-

καὶ πλῆθός τὸ ἄχρηστον. Vulgo ἀχρεῖον, quod illius interpretamentum eſt. Illud eſt in Cl. Gr. Reg. Caſſ. Aug. Moſq. et tribus Pariſſ.

79. *τῇ τῶν Πλαταιέων ἐπιστρατείᾳ.* Genitivus Πλαταιέων paſſivam vim habet, ut in noto illo Μεγαρέων ψήφισμα, *adverſus* Megarenſes.

προσπεμψάντων. Recepi hoc, conſenſu librorum motus. Nam per ſe προπεμψάντων huc neque quadrat, ac ſupra 1, 53. Sed etiam alibi ſaepe codices in his verbis variant, e. c. 4, 114. ubi meliores Reg. Aug. Caſſ. cum Ar. Dan. habent *προπέμψας;* contra 3, 52. tantum deteriores Ar. C. Dan. exhibent: *προπέμπει δὲ αὐτοῖς κήρυκα,* ceteri *προσπέμπει.* Si Duckeri ratio, ad 7, 3 propoſita, vera ſit, ut προπέμπειν nihil niſi *praemittere, prius mittere* ſignificet, omnibus his locis legendum fuerit *προσπέμπειν.* Cf. tamen ad 1, 53. Mox pro *μή*, iisdem libris iubentibus, dedi *οὐ;* ſed *ταῦτα* retinui, aliis ex Dan. reſcribentibus *ταὐτά.*

ἐς μάχην καθίστανται οἱ Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. Articulum *οἱ* libri ſatis

καὶ ἐπίκουροί τινες μετ' αὐτῶν, νικῶνται ὑπὸ τῶν Ἀθηναίων, καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον· οἱ δὲ ἱππεῖς τῶν Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων ἱππέας καὶ ψιλούς· (εἶχον δέ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης). Ἄρτι δὲ τῆς μάχης γεγενημένης, ἐπιβοηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς Ὀλύνθου. Καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοὶ, ὡς εἶδον, θαρσήσαντες τοῖς τε προςγιγνομένοις, καὶ ὅτι πρότερον οὐχ ἥσσηντο, ἐπιτίθενται αὖθις, μετὰ τῶν Χαλκιδέων ἱππέων καὶ τῶν προςβοηθησάντων, τοῖς Ἀθηναίοις. Καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. Καὶ ὁπότε μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι δὲ ἐνέκειντο, καὶ ἐςηκόντιζον· οἵ τε ἱππεῖς τῶν Χαλκιδέων, προςιππεύοντες ᾗ δοκοῖ, προςέβαλλον, καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Ἀθηναίους, καὶ ἐπεδίωξαν ἐπὶ πολύ. Καὶ οἱ μὲν Ἀθηναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύγουσι, καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι, ἐς τὰς Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ. Ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τε-

versus Chalcidenses fit expeditio, qua apud Spartolum

multi praebent, plures etiam πρὸς pro ὑπ' αὐτ. Quare utrumque cum Benedicto recepi. Valla vertit: *ante ipsam urbem.*

εἶχον δέ τινας οὐ πολλοὺς πελταστάς. Non uno loco Thucydidis narratio eo fit obscurior, quod subiectum non diserte enunciatur. Id etiam hoc capite passim obscurat orationem, et diversis interpretum explicationibus locum fecit. Vulgo εἶχον δὲ referunt ad Chalcidenses. Ego vero ad Athenienses refero, primum quod, ut initio capitis demonstratum est, Athenienses ὁπλίτας tantum et ἱππεῖς adduxerant, Chalcidensibus autem praeter ὁπλίτας etiam στρατιά Olyntho erat missa, qua πελτασταί latere possunt; deinde quod submissi postea Olyntho peltastae (ἐπιβοηθοῦσι ἄλλοι πελτασταὶ ἐκ τῆς Ὀλύνθου) non iis opponuntur, qui ex Cruside Mygdoniae venerant, sed illi praesidio, quod prius Olyntho missum erat. Ergo haec verba εἶχον δὲ — καλουμένης in parenthesi ponenda esse censeo.

καὶ ἀναχωροῦσι — τάξεις, int. Ἀθηναῖοι cum Schol. Vid. ad 1, 39. — Mox pro ἐςέβαλλον Gr. Reg. Cass. Aug. Mosq. cum sex Pariss. praebent, quod edidimus, προςέβαλλον; Cl. προςέβαλον. In fine capitis πάντες cum aliis reposuimus pro vulgato ἅπαντες, quod codicum fide destituitur.

τρακόσιοι, καὶ οἱ στρατηγοὶ πάντες. Οἱ δὲ Χαλκιδεῖς καὶ οἱ Βοττιαῖοι τροπαῖόν τε ἔστησαν, καὶ τοὺς νεκροὺς τοὺς αὐτῶν ἀνελόμενοι, διελύθησαν κατὰ πόλεις.//

80. Τοῦ δ' αὐτοῦ θέρους, οὐ πολλῷ ὕστερον τούτων, Ἀμπρακιῶται καὶ Χάονες, βουλόμενοι Ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Ἀθηναίων ἀποστῆσαι, πείθουσι Λακεδαιμονίους ναυτικὸν παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος, καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ἀκαρνανίαν· λέγοντες, ὅτι, ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων, ῥᾳδίως ἂν Ἀκαρνανίαν σχόντες, καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατήσουσι,

urbem ab Olynthiorum auxiliis victi et fugati, domum revertuntur. 80. Ambraciotis cum barbaris in Acarnaniam incurſionem facientibus, Lacedaemonii auxiliantur mille militibus gravis armaturae, et Peloponneſii, imprimis

80. τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων. Olim haec cum Aem. Porto de maritimis Acarnanibus accipiebantur. Bredovius contra de iis intelligebat, qui mediam terram colebant ab ora remoti, propter locum 1, 7. ἄπο θαλάσσης μᾶλλον ᾠκίσθησαν. Priorem interpretationem ego quondam tenendam eſſe putabam, intellecto participio ξυμβοηθούντων ad verba τῶν ἀπὸ θαλάσσης. Quo adducebar maxime verbis cap. 83. init. τὸ ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες, opinatus, non alio modo claſſem Cnemo auxilio eſſe potuiſſe, niſi *retinendis maritimis* Acarnanibus, quominus illi occurrerent. Nunc quidem intelligo, etiam abducendis ad oram maritimam interioribus Acarnanibus Cnemum ſublevari potuiſſe: quatenus, qui ad hoſtes a littore propellendos concurrere cogebantur, non poterant ſimul Cnemo reſiſtere. Ita ſcribendum ſit ἄπο, et ad ξυμβοηθεῖν, ſententia loci ſic poſcente, intelligendum ἐπὶ τὸν πεζόν. Sed haec ratio durior mihi et contortior videtur, quam altera illa, in qua nihil eſt difficultatis, modo verba ita accipias: τῶν παρὰ θαλάσσῃ Ἀκαρνάνων ἀπὸ θαλάσσης ξυμβοηθεῖν ἀδυνάτων ὄντων. Quod dicendi genus Thucydidi maxime familiare. Exempla vide ad 5, 65. Sophocles Elect. 137. ἀλλ' οὔ τοι τόν γ' ἐξ Ἀΐδα παγκοίνου λίμνας πατέρ' ἀνστάσεις, i. e. τὸν παρ' Ἀΐδᾳ πατέρα ἐξ Ἀΐδου ἀναστήσεις.

καὶ τῆς Ζακύνθου καὶ Κεφαλλ. κρατήσ. Zacynthii Athenienſium erant ſocii, ut ſupra cap. 66. demonſtravit. Cephalleniam autem paullo ante, nempe primo belli Pelopon. anno, Athenienſes ſibi ſubiecerant, Vid. c. 30. — ἐλπίδα δ' εἶναι, transitus ab ὅτι ad ſtructuram accuſativi cum infinitivo.

καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις ὅμοιος περὶ Πελοπόννησον· ἐλπίδα δ' εἶναι καὶ Ναύπακτον λαβεῖν. Οἱ δὲ Λακεδαιμόνιοι, πεισθέντες, Κνῆμον μὲν, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι· τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς τάχιστα πλεῖν ἐς Λευκάδα. Ἦσαν δὲ Κορίνθιοι ξυμπροθυμούμενοι μάλιστα τοῖς Ἀμπρακιώταις, ἀποίκοις οὖσι. Καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων ἐν παρασκευῇ ἦν· τὸ δ' ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρακίας πρότερον ἀφικόμενον ἐν Λευκάδι περιέμενε. Κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται, ἐπειδὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα, ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν, αἳ περὶ Ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν. Καὶ αὐτῷ παρῆσαν Ἑλλήνων μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι, καὶ, οὓς αὐτὸς ἔχων ἦλθε, χίλιοι Πελοποννησίων· βάρβαροι δὲ, Χάονες χίλιοι, ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ τοῦ ἀρχικοῦ γένους Φώτιος καὶ Νικάνωρ. Ἐστρατεύοντο δὲ μετὰ Χαόνων καὶ Θεσπρωτοὶ ἀβασίλευτοι. Μολοσσοὺς δὲ ἦγε καὶ Ἀτιντάνας Σαβύλινθος, ἐπίτροπος ὢν Θα-

Corinthii, XLVII navibus, ut maritimi Acarnanes impedirentur, quo minus interioribus fubvenirent. Sed Cnemus, Spartanorum dux, fatis validum exercitum fuum

ναύαρχον ἔτι ὄντα. Vid. fupra c. 66. Munus nauarchi igitur apud Lacedaemonios certo temporis fpatio circumfcriptum erat, fed haud dubie maiore quam annuo, fecundum probabilem Duckeri rationem.

ὡς τάχιστα malim referre ad παρασκευασαμένῳ, quam ad πλεῖν. Eft enim pro παρασκευάσασθαί τε ὡς τάχιστα καὶ πλεῖν.

ὃς ἦρχε τῶν εἴκοσι νεῶν τ. Ἀ. Vid. fupra cap. 69.

ἐπ' ἐτησίῳ προστασίᾳ. Hanc lectionem e codd. reftitui. Vulgo προστατείᾳ. Thucyd. 2, 65. κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας. Pro ἐπ' ἐτησίῳ iam Stephanus malebat ἐπετησίῳ, quod codd. Pariff. confirmant. — ἐκ τοῦ ἀρχικοῦ γένους. Cum voculam ἐκ codices tueantur, uncos fuftuli. Forma reipublicae his barbaris fimilis videtur fuiffe ei, quae erat Lariffae Theffalicae, ubi Aleuades imperium tenebant.

Ἀτιντάνας. Vulgo fcribi-

ρυπος τοῦ βασιλέως, ἔτι παιδὸς ὄντος· καὶ Παραυαίους Ὄροιδος, βασιλεὺς ὤν. Ὀρέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίοχος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ, Ἀντιόχου ἐπιτρέψαντος. Ἔπεμψε δὲ καὶ Περδίκκας, κρύφα τῶν Ἀθηναίων, χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον. Τούτῳ τῷ στρατῷ ἐπορεύετο Κνῆμος, οὐ περιμείνας τὸ ἀπὸ Κορίνθου ναυτικόν. Καὶ διὰ τῆς Ἀργείας ἰόντες, Λιμναίαν, κώμην ἀτείχιστον, ἐπόρθησαν. Ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας, νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἄλλα προσχωρήσειν.

81. Ἀκαρνᾶνες δὲ, αἰσθόμενοι κατά τε γῆν πολλὴν στρατιὰν ἐςβεβληκυῖαν, ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν, ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι· παρά τε Φορμίωνα ἔπεμπον, κελεύοντες ἀμύνειν. Ὁ δὲ ἀδύνατος ἔφη εἶναι, ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν, Ναύπακτον ἐρήμην ἀπολιπεῖν. Οἱ δὲ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, τρία τέλη ποιήσαντες σφῶν αὐτῶν, ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως, ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πείθοιεν, ἔργῳ πειρῷντο τοῦ

ratus, antequam ii, qui in Corinthiorum navibus erant, advenissent, processit ad Stratum, 81. ubi, cum Chaones

tur hoc nomen *Ἀτιτάνας*. In Mss. plerisque est *Ἀτιντᾶνας* et *Ἀτιντάνας*, accentu variante, etiam apud alios auctores. Erant Epirotae. *Orestas* inter Epirum et Illyriam ponit Danvillius. Cf. Liv. 42, 38. *Parauaeos* autem, quos aliunde non novimus, *Παρωραίους* esse putat Duckerus, quos cum Molossis, Atintanibus, Orestis et aliis quibusdam, aspera loca in eodem tractu colentibus, iungit Strabo lib. VII. p. 326. — Mox *Θάρυπος* revocavi pro *Θαρύπου*. Vid. Poppo p. 219.

διὰ τῆς Ἀργείας. Hanc lectionem omnes Thucydidis libri cum Scholiasta tuentur. *Ἀγραίας*, quod Gottleberus receperat, mera est Palmerii coniectura e Thucyd. 3, 106. Neque ex quo portu Peloponnesii profecti fuerint, nec quem ad locum appulerint, Thucydides diserte commemoravit. Sed dubitari non potest, quin a septemtrionali Acarnaniae parte, ubi Ambraciotas et barbaros receperant, Stratum versus profecti, per Amphilochos, ubi Limnaea sita (cf. 3, 106.), iter fecerint. — Paullo inferius vulgo *πρώτην ταύτην*.

81. *εἰ μὴ λόγοις πείθοιεν*. Vulgo *λόγῳ*, quod videtur a cor-

τείχους. Καὶ μέσον μὲν ἔχοντες προσῄεσαν Χάονες, καὶ οἱ ἄλλοι βάρβαροι· ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι καὶ Ἀνακτόριοι, καὶ οἱ μετὰ τούτων· ἐν ἀριστερᾷ δὲ Κνῆμος, καὶ οἱ Πελοποννήσιοι καὶ Ἀμπρακιῶται. Διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων, καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. Καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῄεσαν, καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ Χάονες, σφίσι τε αὐτοῖς πιστεύοντες, καὶ ἀξιούμενοι ὑπὸ τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι, οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν, χωρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων, ἐνόμισαν αὐτοβοεὶ ἂν τὴν πόλιν ἑλεῖν, καὶ αὐτῶν τὸ ἔργον γενέσθαι. γνόντες δ' αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας, καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις· καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν, προσπίπτουσι. Καὶ ἐς φόβον καταστάντων, διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων, καὶ οἱ ἄλλοι βάρβαροι, ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι ὑπέμειναν, ἀλλ' ἐς φυγὴν κατέστησαν. Τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ᾔσθετο τῆς μάχης, διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς,

cum ceteris barbaris imprudentius praecucurrissent, a Stra-

rectore. Cf. Benedict. — Mox ante *μέσον* articulum *τό*, qui necessarius non est, cum Cl. Gr. Reg. Cass. Aug. ejeci.

καὶ οἱ μετὰ τούτων. Quaeras, quinam illi fuerint, cum Ambraciotae postea seorsum nominentur, neque alios prius commemoraverit. Fortassis intelligendi Oeniadae, quos in parte Peloponnesiorum fuisse narrat cap. seq. Urbs erat Acarnaniae, in confinio Aetoliae sita, ad Acheloi ostium. Vid. cap. 102.

διὰ φυλακῆς ἔχοντες, int. ἑαυτούς, sicuti mox ad οὔτ' ἐπέσχον. Non enim ibi legendum est *ἐπέσχοντο στρατόπεδον* pro *ἐπέσχον τὸ στρατόπεδον*, teste etiam Scholiasta, qui *τό* abundare dicit. Quamquam hoc eius iudicium non verum est, cum praecesserit *ὅπως, ἐγγὺς στρατοπεδευσάμενοι — τοῦ τείχους.*

χωρήσαντές τε ῥύμῃ. Codd. plurimi exhibent *ῥώμῃ*. Vulgatum per se aptum est et Thucydideum. Vid. supra c. 76 extr. et 7, 70. — *ἔτι προσιόντας*, non „*ulterius quam ceteros procedentes*,“ sed *antequam cursum absolvissent.*

καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. Ἐπεὶ δὲ ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς, καὶ ξυναγαγόντες τὰ στρατόπεδα, ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν, ἐς χεῖρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων, διὰ τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων, καὶ ἐς ἀπορίαν καθιστάντων. Οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. Δοκοῦσι δ᾽ οἱ Ἀκαρνᾶνες κράτιστοι εἶναι τοῦτο ποιεῖν.

82. Ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ Κνῆμος τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἄναπον ποταμὸν, ὃς ἀπέχει σταδίους ὀγδοήκοντα Στράτου, τούς τε νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ ὑποσπόνδους, καὶ Οἰνιαδῶν ξυμπαραγενομένων κατὰ φιλίαν, ἀναχωρεῖ παρ᾽ αὐτοὺς, πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν. κἀκεῖθεν ἐπ᾽ οἴκου ἀπῆλθον ἕκαστοι. Οἱ δὲ Στράτιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

83. Τὸ δ᾽ ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν ἐκ τοῦ Κρισαίου κόλπου ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες, οὐ παραγίγνεται, ἀλλ᾽ ἠνα-

tiis excepti insidiis, magna clade afficiuntur. 82. Cnemus cum exercitu Oeniadas se recipit, priusquam Acarnanum auxilia Stratiis veniunt. 83. Interim classis Pelopon-

ἐνέκειντο φεύγοντες i. e. κατὰ κράτος ἔφευγον.

δοκοῦσι δ᾽ οἱ Ἀκαρνᾶνες. Pollux I, 150. Εὐδόκιμα δὲ — σφενδόνη Ἀκαρνάνων, ἀκόντιον Αἰτωλικόν.

82. πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν, nempe Acarnanum. Vid. cap. 81 extr. Statim post illam cladem se recepit, non ausus diutius in Strati vicinia commorari.

83. οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες. Kistemakerus ἄνω nectit cum ξυμβοηθῶσιν. Quod ne temere dictum videretur in hac verborum iunctura, quia ἄνω non commode divelli posse videatur a subiecto οἱ ἀπὸ θαλ. Ἀκαρνᾶνες, monendum erat, etiam huic loco inesse genus quoddam attractionis, ut pro ὅπως μὴ οἱ παρὰ θαλάσσῃ Ἀκαρνᾶνες ἀπὸ θαλάσσης ἄνω ξυμβοηθῶσιν brevius et quasi per compendium dictum sit οἱ ἀπὸ θαλάσσης Ἀκαρνᾶνες, ut per litteras nos monuit praestantissimus Hermannus. Vid. ad cap. 80. Ἄνω non solum est supra, sed etiam sursum. Si, ut vult Bredovius, interiores Acarnanes retinendi consilium

γκάσθησαν περὶ τὰς αὐτὰς ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα, καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων, αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ. Ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. Οἱ δὲ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν, οὐχ ὡς ἐπὶ ναυμαχίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι, ἐς τὴν Ἀκαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτοὺς, παρὰ γῆν σφῶν κομιζομένων, καὶ, ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ Ἀκαρνανίας, κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι, καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι· οὕτω δὴ ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον τὸν πορθμόν. Στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, οἳ παρεσκευάζοντο· Κορινθίων δὲ, Μαχάων, καὶ Ἰσοκράτης, καὶ Ἀγαθαρχίδας. Καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν, ὡς μέγιστον οἷοί τ' ἦσαν, μὴ διδόντες διέκπλουν, τὰς

nesiorum cum militibus Corintho proficiscitur, sed a Phormione, Atheniensium apud Naupactum duce, extra sinum

traderetur, quid classe opus erat, qua maritimi potius viderentur coërceri potuisse, ne Cnemo occurrerent? Ipsa res loquitur.

ἔξω τοῦ κόλπου ἐτήρει. Verba ἔξω τοῦ κόλπου iungo cum ἐτήρει, non cum παραπλέοντας, ut facit Kistem. Nam in sequentibus narratur, Athenienses inde a Chalcide et Eveno profectos esse ad pugnam cum Peloponnesiis. —

οὐχ ὡς ἐπὶ ναυμαχίαν. Sic e codd. dedi pro ὡς οὐκ ἐπὶ ναυμαχίᾳ, et sic legitur etiam c. 85 et 86.

οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμ. nempe Peloponnesii, qui Athenienses fallere et effugere clam conabantur. ὑφορμίζεσθαι est clam appellere ad littus.

ἐτάξαντο κύκλον τῶν νεῶν. Post νεῶν vulgo legitur ποιήσαντες, quam vocem ignorant optimi libri Cl. Gr. Cass. Aug. Pariss. G. G. H., atque in F. post μέγιστον legitur. Quare Poppo eam expungi iubebat. Suspecta iam erat Duckero, qui allegat 5, 78. κύκλον ταξαμένων αὐτῶν. In Cass. super πρῴρας scholion scriptum est ἐτάξαντο. Denique verba μὴ διδόντες διέκπλουν aegre copula carent, si participium antecesserit.

πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας· καὶ τά τε λεπτὰ πλοῖα, ἃ ξυνέπλει, ἐντὸς ποιοῦνται, καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διὰ βραχέος παραγιγνόμενοι, εἴ πῃ προςπλέοιεν οἱ ἐναντίοι.

84. Οἱ δ' Ἀθηναῖοι, κατὰ μίαν ναῦν τεταγμένοι, περιέπλεον αὐτοὺς κύκλῳ, καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες, καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν. Προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος, μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς σημήνῃ. Ἤλπιζε γὰρ, αὐτῶν οὐ μενεῖν τὴν τάξιν, ὥςπερ ἐν γῇ πεζὴν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς, καὶ τὰ πλοῖα ταραχὴν παρέξειν· εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε περιέπλει, καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς. Καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐνόμιζεν εἶναι, ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε καλλίστην γίγνεσθαι. Ὡς δὲ τό, τε πνεῦμα κατήει, καὶ αἱ νῆες, ἐν ὀλίγῳ ἤδη οὖσαι, ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου, τῶν τε πλοίων ἅμα προςκειμένων, ἐταράσσοντο, καὶ ναῦς τε νηῒ προςέπιπτε, καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι, καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ, οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων, οὔτε τῶν κελευστῶν· καὶ τὰς κώπας ἀδύνατοι

eam excipiente, ad pugnam coacta, 84. magna perturbatione in fugam vertitur; quo facto Cyllenen se reci-

παραγιγνόμενοι. In nonnullis codd. eſt παραγιγνόμεναι. Illud verum eſt, relatum non ad naves, ſed ad homines, qui in navibus erant. Cf. ad 1, 3 extr. — προςπλέοιεν legitur in Marg. Cl. Reg. Gr. Caſſ. Aug. Vulgo προςπίπτοιεν, quod defendi poſſit loco c. 84. ubi eſt προςπεσόντες, hoc autem loco e correctione natum videtur.

84. κατὰ μίαν ναῦν τεταγμένοι, i. e. ita, ut altera poſt alteram poſita alteram ſequeretur, una tantum a fronte eſſet. Cap. 90. ἐπὶ τεσσάρων. Ita recte Bauerus. ἐν χρῷ, πλησίον.

τῶν τε πλοίων ἅμα προςκειμένων. Τὰ πλοῖα ſunt navigia illa minora (λεπτά), quae in medium circulum receperant, cf. c. 83 extr. Etiam h. l. Reiskius, quid ingenio valeret, tentavit, coniiciens loco πλοίων fuiſſe πολεμίων, et pro ἀντιφυλακῇ legendum eſſe ἀνθυλακῇ, ſ. ἀντιφυλακῇ, *oblatratione mutua.*

ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι, τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον· τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει, καὶ οἱ Ἀθηναῖοι προςπεσόντες, πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας, ᾗ χωρήσειαν, διέφθειρον, καὶ κατέστησαν, ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας, καὶ Δύμην τῆς Ἀχαΐας. Οἱ δὲ Ἀθηναῖοι, καταδιώξαντες, καὶ ναῦς δώδεκα λαβόντες, τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι, ἐς Μολύκρειον ἀπέπλεον· καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ, καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι, ἀνεχώρησαν ἐς Ναύπακτον. Παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης καὶ Πατρῶν ἐς Κυλλήνην, τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος Κνῆμος, καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμμῖξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴν Κυλλήνην.

85. Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους ἐπὶ τὰς ναῦς, Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω κατασκευάζεσθαι, καὶ μὴ ὑπ' ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης. Ἐδόκει γὰρ αὐτοῖς, ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις, πολὺς ὁ παράλογος εἶναι· καὶ οὐ τοσούτῳ ᾤοντο σφῶν τὸ ναυτικὸν λείπεσθαι,

piunt omnes Peloponnesiorum naves. 85. Quam cladem aegre ferentes Lacedaemonii, classem refici augerique iubent. Phormioni subsidia petita ab Atheniensibus mittuntur sero, quia antea in Cretam navigare naves iuben-

καὶ πάσας. Ita codices optimi legi iubent, pro *καὶ τὰς ἄλλας.* Vid. Bened.

Μολύκρειον, Locridis oppidum, Rhio adversum. Cf. c. 86. ubi *Ῥίον τὸ Μολυκρικόν* appellatur, quod alias dicebatur *Ἀντίῤῥιον*.

ναῦν ἀναθέντες τῷ Ποσ. Veteres diis interdum naves integras post victoriam partam consecrabant. V. Herodot. 8, 121.

85. *ἄλλως τε καὶ πρῶτον ναυμ. πειρ.* De bello Peloponnesiaco accipit Scholiastes. Nam bellis Persicis etiam Spartani navibus dimicabant; quam militiam inde ab illo tempore dereliquerant, itaque nunc longo intervallo eam denuo tentabant.

γεγενῆσθαι δέ τινα μαλακίαν· οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι᾽ ὀλίγου μελέτης. Ὀργῇ οὖν ἀπέστελλον. Οἱ δὲ, ἀφικόμενοι, μετὰ Κνήμου ναῦς τε περιήγγελλον κατὰ πόλεις, καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. Πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας, καὶ περὶ τῆς ναυμαχίας, ἣν ἐνίκησαν, φράσοντας· καὶ κελεύων αὐτῷ ναῦς ὅτι πλείστας διὰ τάχους ἀποστεῖλαι, ὡς καθ᾽ ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν. Οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ· τῷ δὲ κομίζοντι αὐτὰς προσεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς Γορτύνιος, πρόξενος ὢν, πείθει αὐτοὺς ἐπὶ Κυδωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτὴν, οὖσαν πολεμίαν. Ἐπῆγε δὲ, Πολιχνίταις χαριζόμενος, ὁμόροις τῶν Κυδωνιατῶν. Καὶ ὁ μὲν, λαβὼν τὰς ναῦς, ᾤχετο ἐς Κρήτην, καὶ μετὰ τῶν Πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν Κυδωνιατῶν· καὶ ὑπὸ ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον.

86. Οἱ δ᾽ ἐν τῇ Κυλλήνῃ Πελοποννήσιοι ἐν τούτῳ, ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρήτην κατείχοντο, παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν, παρέπλευσαν ἐς Πάνορμον τὸν Ἀχαϊκόν· οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσεβεβοηθήκει. Παρέπλευσε δὲ καὶ ὁ Φορμίων ἐπὶ τὸ Ῥίον τὸ Μολυκρικὸν, καὶ ὡρμίσατο

tur, ibique diutius morantur. 86. Interim altera claſſis alteri in utroque Rhio ex adverſo conſtiterat. Athenienſium XX, Peloponneſiorum LXXV naves erant, atque hi

οὐκ ἀντιτιθέντες — μελέτης, pro μελέτῃ τῇ σφετέρᾳ, propter praepoſitionem ἀντί, quae nonnunquam etiam in verbis compoſitis genitivum aſſumit. Locum huic geminum 3, 56. excitavit Gottleberus: τῆς νῦν ἁμαρτίας ἀντιθεῖναι τὴν τότε ἁμαρτίαν.

τήν τε παρασκευὴν αὐτῶν, nempe Lacedaemoniorum. Paullo poſt pro αὐτῷ legendum fortaſſe αὑτῷ.

86. περὶ Κρήτην. Articulum τὴν ante Κρήτην omittunt codd. hic et bis cap. 85 extr. Error, ſi quis eſt, naſci potuit ex ultima vocis Κρήτην, quam dictatam bis audire ſibi videbatur librarius.

ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν, αἷςπερ καὶ ἐναυμάχησεν. Ἦν δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας, τὸ ἐν τῇ Πελοποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς θαλάσσης. Τοῦ δὲ Κρισαίου κόλπου στόμα τοῦτό ἐστιν. Ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ Πελοποννήσιοι, ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου, ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. Καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέρας ἀνθώρμουν ἀλλήλοις, μελετῶντές τε καὶ παρασκευαζόμενοι τὴν ναυμαχίαν· γνώμην ἔχοντες, οἱ μὲν, μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος· οἱ δὲ, μὴ ἐςπλεῖν ἐς τὰ στενὰ, νομίζοντες πρὸς ἐκείνων εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. Ἔπειτα ὁ Κνῆμος καὶ ὁ Βρασίδας, καὶ οἱ ἄλλοι τῶν Πελοποννησίων στρατηγοὶ, βουλόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι, πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων ἐπιβοηθῆσαι, ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶτον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προτέραν ἧσσαν φοβουμένους, καὶ οὐ προθύμους ὄντας, παρεκελεύσαντο, καὶ ἔλεξαν τοιάδε. //

87. „Ἡ ΜΕΝ γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. Τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥςπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν. Ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι· καὶ πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦν-

pugnam parabant, antequam auxilia Athenis ad Phormionem venirent. 87. Cnemus milites suos, ob prio-

διέχετον. Cum codd. omnibus Schol. habet *διείχετον*, quod Gottleberus mutabat in *διειχέτην*, Benedictus rectius in praesens *διέχετον*, propter statns perdurántis descriptionem.

87. *ἢ ἐπὶ στρατείαν*, nempe ad terrestrem expeditionem in Acarnaniam, quo tendebant. Cf. c. 83. *στρατιωτικώτερον παρεσκευασμένοι.*

τας ἔσφηλεν· ὥςτε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προςεγένετο. Οὐδὲ δίκαιον, τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθὲν, ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλογίαν, τῆς γε ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι· νομίσαι δὲ, ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ, ἀπειρίαν, τοῦ ἀνδρείου παρόντος, προβαλλομένους, εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. Ὑμῶν δὲ οὐδ' ἡ ἀπειρία τοσοῦτον λείπεται, ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρείαν μὲν ἔχουσα, καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. Φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. Πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε· πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι, τὸ ἀπαράσκευοι τότε τυχεῖν. Περιγίγνεται δὲ ὑμῖν πλῆθός τε νεῶν, καὶ πρὸς τῇ γῇ οἰκείᾳ οὔσῃ, ὁπλιτῶν παρόντων, ναυμαχεῖν· τὰ δὲ πολλὰ, τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. Ὥςτε οὐδὲ καθ' ἓν εὑρίσκομεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρότερον, νῦν αὐτὰ ταῦτα προςγενόμενα διδασκαλίαν παρέξει. Θαρσοῦντες οὖν καὶ κυβερνῆται, καὶ ναῦται, τὸ καθ' ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ προλείποντες, ᾗ ἄν τις προςταχθῇ. Τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν, καὶ οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέ-

rem cladem adhuc timidos, cohortatur et forti animo eſſe

ἀντιλογίαν (Rechtfertigungsgründe), nempe fortem animum ipſis ineſſe, nec ſua culpa ſe inferiores fuiſſe. Mox γέ recepi e duobus codd., ſicuti olim quoque legebatur. Eodem ſpectat depravata Caſſ. Reg. aliorumque quinque Pariſſ. lectio τέ.

ὀρθῶς, merito, iure, reſpondet τῷ εἰκότως in ſeqq. προβάλλεσθαι eſt praetexere, praetendere.

χώραν μὴ προλείποντες. Non eſt negligenda codd. Cl. Reg. Caſſ. Aug. Moſq. lectio προλείποντες pro ſimplici λείποντες. Non ſolent illi codices compoſita ſimplicibus ſubſtituere, ut alii.

σθαι. Ἢν δέ τις ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς.“

88. Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύσαντο. Ὁ δὲ Φορμίων, δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀῤῥωδίαν, καὶ αἰσθόμενος, ὅτι τὸ πλῆθος τῶν νεῶν, κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι, ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί τε, καὶ παραίνεσιν ἐν τῷ παρόντι ποιήσασθαι. Πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε, καὶ προπαρεσκεύαζε τὰς γνώμας, ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ, ὅ, τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστι. Καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν, μηδένα ὄχλον Ἀθηναῖοι ὄντες Πελοποννησίων νεῶν ὑποχωρεῖν. Τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας, ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν· καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους, ἔλεξε τοιάδε.

89. „ὉΡΩΝ ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων, ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀῤῥωδίᾳ ἔχειν. Οὗτοι γὰρ πρῶτον μέν, διὰ τὸ προνενικῆσθαι, καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὅμοιοι ἡμῖν εἶναι, τὸ πλῆθος τῶν νεῶν, καὶ οὐκ ἀπὸ τοῦ ἴσου, παρεσκευάσαντο· ἔπειτα, (ᾧ μάλιστα πιστεύοντες

iubet. 88. Item Phormio, timore ſuorum animadverſo, 89. cohortandi cauſa eos alloquitur.

τιμήσονται, pro *τιμηθήσονται*. Sic medii futurum cum paſſivo commutatur 1, 142. *κωλύσονται*. 1, 81. *βλαψόμεθα τὰ πλείω*. Cf. 1, 68. et Duck. ad 7, 25.

88. *κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι*. Supra 2, 21. *κατὰ ξυστάσεις γιγνόμενοι*.

ἢν ἐπιπλέῃ. Kiſtemakerus, qui praefert coniecturam Anonymi, legeatis *ἄν*, non vidit, hoc non pati totius loci ſtructuram, quae *ἐπιπλέοι* et deinde *εἴη* flagitaret, ſi *ἂν* legeretur. Optime interpoſita ſunt verba *ἢν ἐπιπλέῃ*. Nam ſententia eſt: Nullum tantum eſſe navium numerum, qui, *ſi quidem in ipſos irruat*, non ſit ipſis ſuſtinendus. — Paullo poſt *ὑποχωρεῖν* cum accuſativo iunctum inſolentius.

89. *οὐκ ἀπὸ τοῦ ἴσου*, non ad parem numerum.

προςέρχονται, ὡς προςῆκον σφίσιν ἀνδρείοις εἶναι,) οὐ δι᾽ ἄλλο τι θαρσοῦσιν, ἤ, διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν, τὰ πλείω κατορθοῦντες· καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. Τὸ δ᾽, ἐκ τοῦ δικαίου, ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ. Ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι· τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν ξυμμάχων, διὰ τὴν σφετέραν δόξαν, ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον· ἐπεὶ οὐκ ἄν ποτε ἐπεχείρησαν, ἡσσηθέντες παρὰ πολὺ, αὖθις ναυμαχεῖν. Μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. Πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον, κατά τε τὸ προνενικηκέναι, καὶ ὅτι οὐκ ἂν ἡγοῦνται, μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν, ἀνθίστασθαι ἡμᾶς. Ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥςπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ

καὶ οἴονται σφίσι καὶ — τὸ αὐτό. Lectioni cod. Reg. *οἴοντε*, quam Kiſtem. defendit, primum obſtat infinitivus futuri *ποιήσειν*, cum eſſe deberet *ποιεῖν*; deinde praecedens *καί* quamquam facilius feram; ceterum *ἔσεσθαι* ſupplendum eſſet, quod a *θαρσοῦσι* penderet. Equidem poſt *κατορθοῦντες* colon pono, ut hoc participium reſpondeat verbis *δι᾽ ἄλλο τε.* Ita omnia bene cohaerent. *Σφίσι* referas ad *τὸ αὐτὸ ποιεῖν.* Ita dicimus ſimiliter *ſibi conſtare*, *ſibi deeſſe*, *ſo ipſum ſuperare.*

τὸ δ᾽ ἐκ τοῦ δικαίου, ἡμῖν —. Verba *ἐκ τοῦ δικαίου* diſtinctione a ceteris erant ſegreganda, ut *τὸ δ᾽* referri poſſet ad *τὸ ναυτικόν*, neu cum illis verbis iungeretur, quae h. l., ut alibi *εἰκός*, *ὡς ἔοικε*, interiecta ſunt. Innuit, ideo validiores re navali Athenienſes eſſe, quod huic ſtudio dudum operam dederint. — Mox *ἑκάτεροι* ad utrumque verbum, et finitum *ἐσμεν*, et infinitum *εἶναι* pertinet.

ἐπεὶ οὐκ ἄν ποτε ἐπεχείρησαν. Haec verba rationem reddunt eius, quod antea dixit: *ἄκοντας προσάγουσι*, et ſubiectum ex praecedentibus intelligendum eſt *οἱ ξύμμαχοι τῶν Λακεδαιμονίων.* — *Ἐπεχείρησαν* e bonis libris recepimus pro *ἐνεχείρησαν.* Nondum enim pugnam navalem commiſerant, ſed parabant tantum.

ἀνθίστασθαι ἡμᾶς. Et codicum optimorum auctoritate, et quod per ſe aptius eſt, non ſolum milites, ſed etiam imperatorem h. l. cogitari, *ἡμᾶς* repoſui pro *ὑμᾶς.* Vid. Benedict. — *τὶ ἄξιον τοῦ παρὰ πολύ*, eximium vel ſingulare facinus, quod facere operae pretium ſit.

ἀντίπαλοι μὲν γὰρ οἱ πλείους. Subiectum eſt *οἱ πλείους*, cui adhaeret *ἀντίπαλοι* tamquam adiectivum (*ἀντίπαλοι ὄντες*) *pares potentia*, *copiis*, ut recte monuit Kiſtem. in Appendice. Nam opponitur vocabulo *ἀντίπαλοι* in ſeqq. *οἱ ἐκ πολλῷ ὑποδεεστέρων.*

ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων, καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τὶ τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. Ἃ λογιζόμενοι οὗτοι, τῷ οὐκ εἰκότι πλέον πεφόβηνται ἡμᾶς, ἢ τῇ κατὰ λόγον παρασκευῇ. Πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. Τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι ποιήσομαι, οὐδὲ ἐσπλεύσομαι ἐς αὐτόν. Ὁρῶ γὰρ, ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. Οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις, ὡς χρὴ, ἐς ἐμβολὴν, μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι, πιεζόμενος· διέκπλοι τε οὐκ εἰσὶν, οὐδὲ ἀναστροφαὶ, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν· ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι· καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. Τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν. Ὑμεῖς δὲ, εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες, τά τε παραγγελλόμενα ὀξέως δέχεσθε, ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε, ὃ ἔς τε τὰ πολλὰ τῶν πολεμικῶν, καὶ ξυμφέρει καὶ

τῷ οὐκ εἰκότι. Haec verba ex iis, quae tamquam eorum contrarium ſequuntur, explicanda ſunt. *Ἡ κατὰ λόγον παρασκευή* cum ſit apparatus bellicus, rationi conſentaneus, qui aeſtimari, cenſeri poteſt: *τὸ οὐκ εἰκός* videtur eſſe illud diſſimile, quod non cadit in eorum aeſtimationem, veluti *διάνοια*, *ἐμπειρία*, *εὐψυχία* et vires quae dicuntur *morales*. Sententia igitur eſt: Magis nos metuunt propter id, quo ab iis diſcrepamus, quam ob apparatum aeſtimationi ſubiectum.

ἐμπείροις e melioribus libris, praeeuntibus Kiſtem. et Benedicto, recepi pro vulgato *ἐμπείρως*. Paullo ante *ἑκὼν εἶναι* notus Atticorum pleonaſmus. Vid. Viger. p. 239. et Hermann. p. 888.

ἐκ πολλοῦ, int. *διαστήματος*.

ὃ ἔς τε τὰ πολλὰ τῶν πολεμικῶν, καὶ ξυμφέρει. Vulgata lectio, a qua nonnullis in rebus recedendum eſſe duximus, haec eſt: *ὥστε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει, καὶ ναυμαχίᾳ οὐχ ἥκιστα.* Primum quid valeat h. l. *ὥστε*, dubium eſt. Abreſchius ſeparat in *ὥς τε*, quas voculas intelligit *καὶ γὰρ εἰς*, ut *τέ* ſit *καὶ γάρ*, *ὡς* autem pertineat ad *τὰ πολλά*. Kiſtemakerus et Bauerus *ὥστε* exponunt *itaque*, *et ita*. Stephanus malebat ſcribere *ὃ ἔς τε τὰ πολλά*, ad ſenſum bene, ad librorum lectionem

ναυμαχίᾳ οὐχ ἥκιστα· ἀμύνασθέ τε τούςδε ἀξίως τῶν προειργασμένων. Ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ, ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. Ἀναμιμνήσκω δ' αὖ ὑμᾶς, ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι εἶναι."

90. Τοιαῦτα μὲν καὶ ὁ Φορμίων παρεκελεύσατο. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον ἐς τὸν κόλπον καὶ τὰ στενὰ, βουλόμενοι ἄκοντας ἔσω προαγαγεῖν αὐτοὺς, ἀναγόμενοι ἅμα ἕῳ, ἔπλεον, ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς, ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλπου, δεξιῷ κέρᾳ ἡγούμενοι, ὥςπερ καὶ ὥρμουν· ἐπὶ δ' αὐτῷ εἴκοσιν [ναῦς] ἔταξαν

90 — 92. Deſcriptio navalis proelii e regione Naupacti

ſatis convenienter. Certe hoc melius videtur, quam reliquae noviſſimorum Criticorum coniecturae, ὡς τά τε πολλά, aut ὥς τε τὰ πολλά ut hoc ſit pro ὡς τά τε πολλά. Neque enim ſine ambiguitate Scriptor poſt ὡς admiſerit eiusmodi particulae τέ transpoſitionem, quae alias non raro reperitur. Cf. 7, 18 init. ὥςπερ τε προεδέδοκτο αὐτοῖς. 4, 24. τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν, καὶ τοῦ πορθμοῦ κρατεῖν. Ab initio enim membri poſita particula τέ etiam ei verbo, ad quod proprie pertinet, vim ſuam tribuit. Ceterum in Reg. Caſſ. Aug. Baſ. Par. H. I. καί legitur ante ξυμφέρει. Quare totum locum ſic exhibemus, parentheſeos ſignis ſublatis: ὅ ἐς τε τὰ πολλὰ τῶν πολεμικῶν, καὶ ξυμφέρει καὶ ναυμαχία οὐχ ἥκιστα. — Pro ἀμύνεσθε, codd. optimis iubentibus, reſcripſi ἀμύνασθε.

ἐγγυτέρω καταστῆσαι Ἀθην. τὸν φόβον — Propius admovere timorem Athenienſibus de maris imperio nihil aliud eſt, quam efficere, ut timeant magis quam antea, ne maris imperium amittant.

90. οὐκ ἐπέπλεον ἐς τὸν κόλπον. Extra ſinum enim apud Rhium Molycricum ſtationem habebant. Vid. cap. 86. Lacedaemonii ad Panormum naves appulſas tenebant. Cf. c. 92 init.

ἐπὶ τεσσάρων, ut frontem agminis quatuor efficerent naves. Cf. ad cap. 84. Infra h. c. κατὰ μίαν ἐπὶ κέρως, cui contrarium eſt μετωπηδόν, adverſis frontibus. Frons enim navigii prora eſt. — δεξιῷ κέρᾳ ἡγούμενοι, ut dextrum cornu frons totius eſſet claſſis.

ἐπὶ δ' αὐτῷ εἴκοσιν [ναῦς] ἔταξαν. Vocabulum ναῦς eiiciendum puto. Nam de eadem Peloponneſiorum poſitione adhuc ſermo eſt, de qua paullo ante dixerat ταξάμενοι τὰς ναῦς; quare minus plene poſt ὥρμουν interpunxi. Facile igitur vocabulum ναῦς ſubaudiri poteſt, quod ignorant optimi libri Cl. Reg. Caſſ. Aug.

τὰς ἄριστα πλεούσας, ὅπως, εἰ ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων, καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὗται αἱ νῆες περικλείσειαν. Ὁ δὲ (ὅπερ ἐκεῖνοι προσεδέχοντο) φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι, ὡς ἑώρα ἀναγομένους αὐτοὺς, ἄκων καὶ κατὰ σπουδὴν ἐμβιβάσας, ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει. Ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας, καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, (ὅπερ ἐβούλοντο μάλιστα,) ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς, μετωπηδὸν ἔπλεον, ὡς εἶχε τάχους ἕκαστος, ἐπὶ τοὺς Ἀθηναίους· καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. Τῶν δὲ ἕνδεκα μέν τινες, αἵπερ ἡγοῦντο, ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ τὴν ἐπιστροφὴν, ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες, ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας, καὶ διέφθειραν· ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν· καὶ τῶν νεῶν τινας ἀναδούμενοι εἷλκον κενὰς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη. Τὰς δέ τινας οἱ Μεσσήνιοι, παραβοηθήσαντες, καὶ ἐπεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν, καὶ ἐπιβάντες, ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο ἑλκομένας ἤδη.

in ſinu Criſaeo, ſive Corinthiaco. Primum novem Athenienſium naves vel corrumpuntur, vel capiuntur a Pelo-

ταύτῃ παραπλέοι, int. *αὐτοὺς* i. e. Peloponneſios. Recte Kiſtemakerus haec de conatu accipit, vertens: „praevertere vellet." Optimas ibi collocabant naves, quae facillime aſſequerentur praetervehentes Naupactum Atticas naves. — Pro *αὐταί* reſcripſi *αὗται*, ſententia poſtulante. Praeter codd. Ar. C. etiam Gr. hanc correctionem confirmat. — *ταύτῃ*, *Ναυπάκτῳ*.

ἐμβιβάσας, int. *τοὺς στρατιώτας*. — *τῶν Μεσσηνίων*, *τῶν ἐν Ναυπάκτῳ*.

καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχ. Comma, quod eſt ante *καί*, migret poſt *ἐπιστροφὴν*, quia verba *ἐς τὴν εὐρυχωρίαν* pertinent ad *ὑπεκφεύγουσι*, *ἐπιστροφὴν* autem ad *Πελοποννησίων*.

91. *Ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε καὶ ἔφθειρον τὰς Ἀττικὰς ναῦς. Αἱ δὲ εἴκοσι νῆες αὐτῶν, αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως, ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν Ἀθηναίων, αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. Καὶ φθάνουσιν αὐτοὺς, πλὴν μιᾶς νεὼς, προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον, καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον, παρεσκευάζοντο ἀμυνούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. Οἱ δὲ, παραγιγνόμενοι ὕστερον, ἐπαιώνιζόν τε ἅμα πλέοντες, ὡς νενικηκότες, καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων, τὴν ὑπόλοιπον, ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. Ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα καὶ περιπλεύσασα, τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει μέσῃ, καὶ καταδύει. Τοῖς μὲν οὖν Πελοποννησίοις, γενομένου τούτου τοῦ ἀπροσδοκήτου τε καὶ παραλόγου, φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες, διὰ τὸ κρατεῖν, αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας, ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι· αἱ δὲ καὶ ἐς βραχέα, χωρίων ἀπειρίᾳ, ὤκειλαν.*

92. *Τοὺς δ' Ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρσος τε ἔλαβε, καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοή-*

ponnefiis, reliquae Naupactum fugiunt, ubi, proelio iterato, totam Peloponnefiorum claffem, perturbatam ac

91. *ἔφθειρον*. Ita e codd. Gr. Caff. Baf. dedi. Vulgo *ἔφθειραν*. Benedictus cum Kiftemakero praeferebat *διέφθειρον*. Imperfectum certe aptius eft propter *ἐκράτουν*. Saepiffime autem in corruptis codicibus compofita loco fimplicium ponuntur, ut paullo inferius *ἐπιπλέωσιν*. Cf. 1, 76. 110. 129. 2, 99. Rarius fimplicia compofitis fubftituuntur, ut 2, 87. *λείποντες* pro *προλείποντες*, 1, 23. *ἔγραψα* pro *προέγραψα*.

πλέωσιν. Vulgo *ἐπιπλέωσιν* contra plerosque codd.

ὁρμοῦσα μετέωρος, in alto ad anchoras ftabat.

τῇ Λευκαδίᾳ διωκούσῃ. Hoc ordine legi iubent codices haec verba, vulgo fic pofita *τῇ διωκ. Λευκ.*

ἐπέστησαν τοῦ πλοῦ, int. *ἑαυτάς*, fi ad *νῆες* referas verbum *ἐπέστησαν*; fin ad *ἐρέτας*, fubaudieris *αὐτάς*, i. e. *τὰς ναῦς*, *inhibuerunt navium curfum.*

χωρίων ἀπειρίᾳ. Vocabu-

σαντες, ἐπ' αὐτοὺς ὥρμησαν. Οἱ δὲ, διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα, καὶ τὴν παροῦσαν ἀταξίαν, ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον, ὅθεν περ ἀνηγάγοντο. Ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἓξ, καὶ τὰς ἑαυτῶν ἀφείλοντο, ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες, τὸ πρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. Ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς, ἣ περὶ τὴν ὁλκάδα κατέδυ, Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτὸν, καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων λιμένα. Ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι, τροπαῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκράτησαν· καὶ τοὺς νεκροὺς, καὶ τὰ ναυάγια, ὅσα πρὸς τῇ ἑαυτῶν ἦν, ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. Ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον, ὡς νενικηκότες, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἥνπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. Μετὰ δὲ ταῦτα, φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν, ὑπὸ νύκτα ἐσέπλευσαν ἐς [τὸν] κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον, πάντες πλὴν Λευκαδίων. Καὶ οἱ ἐκ τῆς Κρήτης

trepidantem, in fugam convertunt, ſex naves capiunt, ſuasque recipiunt. Tropaea utrimque erecta. Peloponneſii

lum *χωρίων* poſſit cuipiam ſuſpectum videri. Non ſolum, ſi abſit, nihil deſit, ſed etiam locum ita mutat in Mſſ., ut in aliis ante *ἀπειρίᾳ*, in aliis poſt hanc vocem, in Moſq. autem ante *βραχέα* ſcriptum ſit. Hoc fieri ſolet, ſi interpretamentum a margine in textum immigrat. Si praeſtantioribus exemplaribus fides habenda, *ἀπειρίᾳ χωρίων* reſcribendum eſt.

92. *ἡ περὶ τὴν ὁλκ. κατ.* Vid. c. 91.

καὶ ἥνπερ ἔλαβον ναῦν. Cf. c. 90 extr. *μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη.* — *τῆς τροπῆς* cum pendeat a *τροπαῖον*, patet, hoc vocabulum primitivam vim iam exuiſſe. Ceterum intell. *τῶν νεῶν*, quo referatur *ἅς*.

ἐς τὸν κόλπον — καὶ Κόρινθον. Articulum *τὸν* ante *κόλπον* novem codices non agnoſcunt, et certe non neceſſarius eſt. Ante *Κόρινθον* ne praepoſitionem deſideres, monet locus ſimillimus cap. 93. init. *ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον.*

Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν, αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον· καὶ τὸ θέρος ἐτελεύτα.

93. Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικὸν, ὁ Κνῆμος καὶ ὁ Βρασίδας, καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων, ἀρχομένου τοῦ χειμῶνος, ἐβούλοντο, διδαξάντων [τῶν] Μεγαρέων, ἀποπειράσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων. Ἦν δὲ ἀφύλακτος καὶ ἄκλειστος, εἰκότως, διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ. Ἐδόκει δέ, λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην, καὶ τὸ ὑπηρέσιον, καὶ τὸν τροπωτῆρα, πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν· καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα, καθελκύσαντας ἐκ Νισαίας, τοῦ νεωρίου αὐτῶν, τεσσαράκοντα ναῦς, αἳ ἔτυχον αὐτόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ. Οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν, οὔτε προσδοκία οὐδεμία, μή ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν· ἐπεὶ οὐδ᾽ ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ᾽ ἡσυχίαν, οὐδέ, εἰ διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. Ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς, καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς, ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥςπερ διενοοῦντο, καταδείσαντες τὸν

Corinthum abeunt. 93. Spartanorum duces, a Megarenſibus inducti, ut, priusquam exercitum navalem dimittant, Corintho Megara et Niſaeam proficiſcantur pedeſtri itinere, navibusque ibi conſcenſis, Piraeeum aggrediantur, hunc quidem non tangunt, ſed Salaminem va-

93. *τῶν Μεγαρέων.* Etiam hic articulum abiiciunt meliores libri. Cf. 1, 110. 111.

τοῦ νεωρίου αὐτῶν i. e. *Μεγαρέων*, quod ſubaudiendum ex *ἐς Μέγαρα*. Vid. ad 1, 2 extr.

ἐπεὶ οὐδ᾽ ἀπὸ τοῦ προφανοῦς — προαισθέσθαι. Infinitivus *τολμῆσαι* pendet a *προσδοκία*, unde ſubaudias *προσεδόκων, προσεδέχοντο*. *Καθ᾽ ἡσυχίαν* non eſt tacite, clam, ſed *per otium*, cum bellum non eſſet, neque hoſtis in ea regione.

κίνδυνον, (καί τις καὶ ἄνεμος αὐτοὺς λέγεται κωλῦσαι) ἐπὶ δὲ τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· (καὶ φρούριον ἐπ' αὐτοῦ ἦν, καὶ νεῶν τριῶν φυλακὴ, τοῦ μὴ ἐςπλεῖν Μεγαρεῦσι μηδ' ἐκπλεῖν μηδέν) τῷ τε φρουρίῳ προςέβαλον, καὶ τὰς τριήρεις ἀφείλκυσαν κενάς· τήν τε ἄλλην Σαλαμῖνα, ἀπροςδοκήτοις ἐπιπεσόντες, ἐπόρθουν.

94. Ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι, καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. Οἱ μὲν γὰρ ἐν τῷ ἄστει, ἐς τὸν Πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐςπεπλευκέναι ἤδη· οἱ δ' ἐν τῷ Πειραιεῖ, τήν τε Σαλαμῖνα ᾑρῆσθαι ἐνόμιζον, καὶ παρὰ σφᾶς ὅσονοὐκ ἐςπλεῖν αὐτούς· ὅπερ ἂν, εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο, καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε. Βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ, ναῦς τε καθεῖλκον, καὶ ἐςβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ, ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. Οἱ δὲ Πελοποννήσιοι, ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ, καὶ ἀνθρώπους καὶ λείαν λαβόντες, καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου, κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον. Ἔστι γὰρ

ſiant et Athenienſium naves tres, quae ibi in ſtatione erant, capiunt. 94. Ubi autem Athenis, maximo tumultu orto, omnes navibus conſcenſis ſuccurrunt, Niſaeam revertuntur Peloponneſii cum captis navibus et

καὶ φρούριον, nomine *Βούδορον*. Vid. c. 94.

94. *Φρυκτοί τε ἤροντο πολέμιοι*. Vid. ad 3, 22 extr. et Schol. ad h. l.

τήν τε Σαλαμῖνα ᾑρῆσθαι ἐνόμιζον. Vulgata lectio eſt: *τήν τε τῶν Σαλαμινίων πόλιν ᾑρῆσθαι, καὶ παρά* — omiſſo verbo *ἐνόμιζον*, quod exhibent optimi codd. Cam. Cl. Gr. Reg. Caſſ. Aug. Moſq., qui iidem cum aliquot Pariſſ. habent *τήν τε Σαλαμῖνα*, omiſſo *πόλιν*. Haec omnis varietas correctori debetur, cuius manum praebent deteriores codices ſcripti et editi omnes libri. Lectionem *ἑαλωκέναι* Benedicto placuiſſe miror, cum hoc exſtet ſcholion: *ᾑρῆσθαι, ἑαλωκέναι*. Mox duplex *ἂν* non debebat a Kiſtem. tentari.

ὅτε καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι, καὶ οὐδὲν στέγουσαι, ἐφόβουν. Ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα, πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζοί. Οἱ δ' Ἀθηναῖοι, οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι, ἀπέπλευσαν καὶ αὐτοί. Καὶ μετὰ τοῦτο φυλακὴν ἅμα τοῦ Πειραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο, λιμένων τε κλείσει, καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

95. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος τούτου ἀρχομένου, Σιτάλκης ὁ Τήρεω Ὀδρύσης, Θρᾳκῶν βασιλεὺς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης· [διὰ] δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. Ὅ, τε γὰρ Περδίκκας, αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ, πολέμιον ὄντα, μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς

varia praeda. 95. Initio hiemis Sitalces magnum exercitum movet adverſus Perdiccam, Macedoniae regem, et Chalcidenſes, partim quod ille promiſſis non ſteterat, par-

καὶ οὐδὲν στέγουσαι, aquam non defendentes, ſed per rimas recipientes, quae propria huius verbi ſignificatio eſt. — αὐτούς, Peloponneſios.

φυλακὴν ἅμα τοῦ Πειραιῶς. Cum temporis notio inſit verbis μετὰ ταῦτα et τὸ λοιπόν, non opus erat particula ἤδη, quae in vulgatis editionibus legitur, et cuius loco praeſtantiſſimi codices praebent ἅμα, quod cum Benedicto recepimus.

95. [διὰ] δύο ὑποσχέσεις. In codd. Cl. Gr. Caſſ. Aug. et tribus Pariſſ. omittitur praepoſitio διά, quam non immerito interpretamentum eſſe ſuſpiceris. Cf. Poppo p. 228., qui etiam ſub fin. cap. πρέσβεις, quia abeſt a Cl. Caſſ. Aug., ex interpretamento ortum cenſet. Sed cum cap. 101. item πρέσβεις miſſi memorentur, qui iidem haud dubie hic intelligendi ſunt, et praeterea verba τῶν Ἀθηναίων, οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, ut non alios quam legatos ſignificarent, ita nimis nude poſita viderentur et praeter morem Thucydidis: πρέσβεις quidem ſanum putamus, διά autem, quae praepoſitio correctoris manum prodit, (cum accuſativus δύο ὑποσχέσεις, ſubaudito generalioris notionis verbo, ſit pro δύο ὑποσχέσεων τὴν μὲν βουλ. ἀναπρᾶξαι — ἀποδοῦναι) uncis incluſimus.

αὐτῷ ὑποσχόμενος. Non dicit, quid Perdiccas promiſerit, vel quod ipſe neſciebat, vel negligens, ut rem parvi momenti.

τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν. Ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον ἐποιεῖτο, καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε, καὶ τῶν Ἀθηναίων πρέσβεις, οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἅγνωνα. Ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι.

96. Ἀνίστησιν οὖν, ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος, πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας, ὅσων ἦρχε μέχρι θαλάσσης, ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον· ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας, καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τῆς τοῦ Εὐξείνου πόντου κατῴκητο. Εἰσὶ δ' οἱ Γέται, καὶ οἱ ταύτῃ, ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται. Παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων, καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες. Καὶ

tim quod ipſe Athenienſibus hanc expeditionem promiſerat. 96. Quos populos ad hoc bellum Sitalces excitaverit.

ὅτε τὴν ξυμμαχ. ἐποιεῖτο. Vid. ſupra c. 29.

Φιλίππου υἱόν. Philippus erat Perdiccae frater, et in ſeptemtrionali Macedoniae parte regnaverat. Infra cap. 100. *ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχήν.*

96. *μέχρι θαλάσσης, ἐς τὸν Εὔξεινόν τε — Ἑλλήσποντον.* Duodecim codices omittunt articulum *τῆς* ante *ἐς*. Fortaſſe ortus eſt ex loco proxime ſequenti: *πρὸς θάλασσαν μᾶλλον τῆς τοῦ Εὐξείνου πόντου κατῴκητο.* Hoc autem loco verbis *Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον* explicantur praecedentia *μέχρι θαλάσσης*, ut recte monet Benedict.

τοὺς ὑπερβάντι Αἷμον Γέτας. Arrian. Exped. Alex. 1, 1, 9. *ἀνιοῦσιν ᾗ ἀποτομώτατον τοῦ ὄρους.* Idem 1, 2, 1. *ἀπέχει δὲ οὗτος ἀπὸ τοῦ Ἴστρου ὡς ἐπὶ τὸν Αἷμον ἰόντι, σταθμοὺς τρεῖς.* Cf. 2, 26, 2. 3, 18, 9. Ceterum in hac tota regionum populorumque deſcriptione conferendus eſt Arrianus, qui idem fere, ſed copioſius refert Lib. 1, cap. 2. 3.

ἐντὸς τοῦ Ἴστρου, ad dextram nempe eius ripam. Ita paullo ante *τοὺς ἐντὸς τοῦ Αἵμου* de iis, qui Thraciam accolebant, accipiendum erat.

τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων, intellige *ἐξ ὀρεινῶν, αὐτονόμων ὄντων.*

τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυνηκολούθουν. Ἀνίστη δὲ καὶ Ἀγριᾶνας, καὶ Λαιαίους, καὶ ἄλλα ὅσα ἔθνη Παιονικὰ, ὧν ἦρχε. Καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν, μέχρι Γρααίων [καὶ Λαιαίων] Παιόνων, καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκομίου ὄρους διὰ Γρααίων καὶ Λαιαίων ῥεῖ· οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη. Τὰ δὲ πρὸς Τριβαλλοὺς, καὶ τούτους αὐτονόμους, Τρῆρες ὥριζον, καὶ Τιλαταῖοι. Οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ Σκομίου ὄρους, καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ Ὀσκίου ποταμοῦ. Ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους, ὅθενπερ καὶ ὁ Νέστος καὶ ὁ Ἕβρος. Ἔστι δὲ ἐρῆμον τὸ ὄρος καὶ μέγα, ἐχόμενον τῆς Ῥοδόπης.

97. Ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν, μέγεθος, ἐπὶ μὲν θάλασσαν καθήκουσα, ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον, τὸν μέχρι Ἴστρου ποταμοῦ. Αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἢν αἰεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηῒ στρογγύλῃ, τεσσάρων ἡμερῶν, καὶ ἴσων νυκτῶν. Ὁδῷ δὲ τὰ ξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκα-

97. Magnitudo et reditus regni Odryſarum, omnes gentes inter Ionium mare et Euxinum pontum ſuperantium di-

μέχρι Γρααίων καὶ Λαιαίων Παιόνων. Cum Laeaeos ſupra in iis populis recenſuiſſet Thucydides, qui Sitalcae parerent (ἀνίστη δὲ καὶ Ἀγριᾶνας, καὶ Λαιαίους — ὧν ἦρχε) non poterat dicere, hos (nempe Agrianes et *Laeaeos*) in finibus Sitalcae imperii, usque ad Graaeos et *Laeaeos* inccluiſſe. Itaque verba καὶ Λαιαίων ſuſpecta ſunt, fortaſſe ex proximis (διὰ Γρααίων καὶ Λαιαίων ῥεῖ) huc transſcripta. Cf. Poppo.

τὰ πρὸς Παίονας, int. κατά. — τὰ δὲ πρὸς Τριβαλλοὺς, i. e. verſus ſeptemtrionem, ut ſtatim et ipſe docet Thucydides, et confirmat Arrianus Exped. Al. 1, 2 init.

ἐκ τοῦ ὄρους, ὅθενπερ — Ἕβρος. Intelligendus *Scomius* mons, qui contingit Rhodopen.

97. ἐπὶ μὲν θάλασσαν καθήκουσα, ad mare pertingens, längs dem Meere. Paullo infra eandem rem his verbis eloquitur: τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν. — περίπλους h. l. quae circumnavigari poteſt. παραθαλάττιος vocatur Diodoro XII, 50. in loco parallelo. Ceterum hic numeros et redituum et militum auctiores perhibet, quam Thucydides.

ταῖος τελεῖ. Τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν. Ἐς ἤπειρον δέ, ἀπὸ Βυζαντίου ἐς Λαιαίους, καὶ ἐπὶ τὸν Στρυμόνα (ταύτῃ γὰρ διὰ πλείστου ἄπο θαλάσσης ἄνω) ἐγίγνετο ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. Φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προσῆξαν ἐπὶ Σεύθου, ὃς, ὕστερον Σιτάλκου βασιλεύσας, πλεῖστον δὴ ἐποίησε, τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη· καὶ δῶρα οὐκ ἐλάσσω τούτων χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο· χωρὶς δέ, ὅσα ὑφαντά τε καὶ λεῖα, καὶ ἡ ἄλλη κατασκευή· καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις Ὀδρυσῶν. Κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξὶ, λαμβάνειν μᾶλλον ἢ διδόναι, καὶ αἴσχιον ἦν, αἰτηθέντα μὴ δοῦναι, ἢ αἰτήσαντα μὴ τυχεῖν· ὅμως δέ, κατὰ τὸ δύνασθαι, ἐπὶ πλέον αὐτῷ ἐχρήσαντο. Οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. Ὥστε ἐπὶ μέγα ἡ βασιλεία ἦλθεν ἰσχύος. Τῶν γὰρ ἐν τῇ Εὐρώπῃ

vitiis, militum autem copiis cum Scythis non comparan-

ὅσα ὑφαντά τε καὶ λεῖα. Schol. *ὑφαντά* explicat *πεποικιλμένα*. Ergo *λεῖα* ſunt levia, veſtes non acu pictae.

τῆς Περσῶν βασιλείας. Expunxi *τῶν* ante *Περσῶν*, cum non ſolum alibi ſaepiſſime abſit, ut ante *Ὀδρυσῶν* paullo ante, et *Σκυθῶν* infra, ſed etiam h. l. a pluribus libris non agnoſcatur. — Ceterum ne Perſae quidem nobiles ignorabant morem illum, Thracibus maxime uſitatum. Sed fortaſſe reſpexit Auctor ad Perſarum et quarundam aliarum gentium immunitatem, de qua Herodot. 3, 97. *Ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. Οἵδε δὲ φόρον μὲν οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον· Αἰθίοπες — Κόλχοι δέ — Ἀράβιοι δέ —* Hi enim populi minus ſevero imperio tenebantur, ut ſervire ne viderentur. Sed etiam ceteros, qui Perſarum imperio ſubiecti eſſent, notum eſt, regi eorum fines transeunti varias res *muneris loco* de more et quaſi ſponte attuliſſe; et omnino Perſarum reges ſponte oblata accipere videri malebant, quam iuſſa impetrare.

ὅμως δὲ — αὐτῷ ἐχρήσαντο. Verto: quamquam hoc inſtituto, quandoquidem pollebant, plus ceteris Thracibus utebantur. Schol. *κατὰ τὸ δύνασθαι*] *διὰ τὴν δύναμιν.* Sermo autem eſt de nobilibus tantum et rege ipſo, de quibus paullo ante. Confirmant ſequentia: *οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα.*

ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου, μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ· ἰσχύϊ δὲ μάχης, καὶ στρατοῦ πλήθει, πολὺ δευτέρα μετὰ τὴν Σκυθῶν. Ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ, ἀλλ᾽ οὐδ᾽ ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ, τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. Οὐ μὴν οὐδ᾽ ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται.

98. Σιτάλκης μὲν οὖν, χώρας τοσαύτης βασιλεύων, παρεσκευάζετο τὸν στρατόν. Καὶ ἐπειδὴ αὐτῷ ἕτοιμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ τὴν Μακεδονίαν, πρῶτον μὲν διὰ τῆς αὑτοῦ ἀρχῆς, ἔπειτα διὰ Κερκίνης, ἐρήμου ὄρους, ὅ ἐστι μεθόριον Σίντων καὶ Παιόνων. Ἐπορεύετο δὲ δι᾽ αὐτοῦ τῇ ὁδῷ, ἣν πρότερον αὐτὸς ἐποιήσατο, τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ Παίονας ἐστράτευσε. Τὸ δὲ ὄρος ἐξ Ὀδρυσῶν διϊόντες, ἐν δεξιᾷ μὲν εἶχον Παίονας, ἐν ἀριστερᾷ δὲ Σίντους καὶ Μαίδους. Διελθόντες δὲ αὐτὸ, ἀφίκοντο ἐς Δόβηρον τὴν Παιονικήν. Πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ, εἰ μή τι νόσῳ· προσεγίγνετο δέ. Πολλοὶ γὰρ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ᾽ ἁρπαγὴν ἠκολούθουν· ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι. Καὶ τούτου τὸ μὲν πλέον πεζὸν ἦν· τριτημόριον δὲ μάλιστα, ἱππικόν. Τοῦ δ᾽ ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο, καὶ μετ᾽ αὐτοὺς Γέται. Τοῦ δὲ πεζοῦ, οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν, οἱ ἐκ τῆς Ῥοδόπης αὐτόνομοι

dorum. 98. Iter exercitus Odryſarum; copiarum numerus, multis Thraciae populis, qui liberi erant, ſponte

ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι — Herodot. 5, 3. *Thraces* maximum terrarum vocat populum poſt Indos. Thucydides utrisque Scythas antepoнere videtur. — **οὐ μὴν οὐδ᾽** — **ὁμοιοῦνται**, nempe praeter bellicam artem et ſcientiam, qua ſola excellunt Scythae, ceterum conſilio et prudentia aliis inferiores.

καταβάντες· ὁ δὲ ἄλλος ὅμιλος, ξύμμικτος, πλήθει φοβερώτατος ἠκολούθει.

99. Ξυνηθροίζοντο οὖν ἐν τῇ Δοβήρῳ καὶ παρεσκευάζοντο, ὅπως κατὰ κορυφὴν ἐςβαλοῦσιν ἐς τὴν κάτω Μακεδονίαν, ἧς ὁ Περδίκκας ἦρχε. Τῶν γὰρ Μακεδόνων εἰσὶ καὶ Λυγκησταὶ, καὶ Ἐλειμιῶται, καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὑτά. Τὴν δὲ παρὰ θάλασσαν νῦν Μακεδονίαν Ἀλέξανδρος ὁ Περδίκκου πατὴρ, καὶ οἱ πρόγονοι αὐτοῦ Τημενίδαι, τὸ ἀρχαῖον ὄντες ἐξ Ἄργους, πρῶτοι ἐκτήσαντο, καὶ ἐβασίλευσαν, ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας, οἳ ὕστερον ὑπὸ τὸ Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα, καὶ ἄλλα χωρία· (καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ) ἐκ δὲ τῆς Βοττίας καλουμένης, Βοττιαίους, οἳ νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσι· τῆς δὲ Παιονίας παρὰ τὸν Ἄξιον ποταμὸν στενήν τινα, καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης, ἐκτήσαντο. Καὶ πέραν Ἀξίου, μέχρι Στρυμόνος, τὴν Μυγδονίαν καλουμένην, Ἤδωνας ἐξελάσαντες, νέμονται. Ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης Ἐόρδους, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται· καὶ ἐξ Ἀλμωπίας, Ἀλμῶπας. Ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι, ἃ καὶ νῦν ἔτι ἔχουσι,

accurrentibus auctus ad CL millia hominum, quorum tertia pars equites erant. 99. Macedoniae regnum quomodo a Temenidis, Argis oriundis, primum conditum,

99. *κατὰ κορυφήν*, desuper, ex superiore parte, inde a iugis montium.

τὴν δὲ παρὰ θάλασσαν νῦν Μακεδονίαν. Vulgo *περί*. Illud et sedecim codicum auctoritate, et per se defenditur. Non enim mare a Macedonia erat circumclusum, veluti mare Caspium; sed Macedonia mari adiacebat, ad mare pertingebat.

πρῶτοι ἐκτήσαντο. Vid. Herodot. 8, 137—139.

ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν. Ita codices plerique legi iubent pro *διεφθάρησαν*. Vide ad 2, 90 extr.

ἃ καὶ νῦν ἔτι ἔχουσι. Un-

τόν τε Ἀνθεμοῦντα καὶ Κρηστωνίαν καὶ Βισαλτίαν, καὶ Μακεδόνων αὐτῶν πολλήν. Τὸ δὲ ξύμπαν, Μακεδονία καλεῖται, καὶ Περδίκκας Ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν, ὅτε Σιτάλκης ἐπῄει.

100. Καὶ οἱ μὲν Μακεδόνες οὗτοι, ἐπιόντος πολλοῦ στρατοῦ ἀδύνατοι ὄντες ἀμύνεσθαι, ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη, ὅσα ἦν ἐν τῇ χώρᾳ, ἐσεκομίσθησαν. Ἦν δὲ οὐ πολλά· ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς, βασιλεὺς γενόμενος, τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε, καὶ ὁδοὺς εὐθείας ἔτεμε, καὶ τἄλλα διεκόσμησε τά [τε] κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις, καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι, ἢ ξύμπαντες οἱ ἄλλοι βασιλεῖς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι. Ὁ δὲ στρατὸς

ac deinceps auctum fuerit. 100. Thraces progreſſi, multas Macedoniae urbes capiunt. Macedones tantum equites contra mittuntur, multitudini hoſtium impares.

eos, quibus vulgo ἔτι includitur, ſuſtuli. Nullum enim corruptionis veſtigium in libris compareret; et ſupra quoque legebatur: καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται —. Κρηστωνία, ab urbe Κρήστων appellata, cum Anthemunte et Biſaltio agro, verſus orientem ſita erat. Lynceſtae, Eordi, Elimiotae verſus occidentem colebant.

καὶ Μακεδόνων αὐτῶν πολλήν. Supra init. cap. diſtinxerat Macedoniam inferiorem a ſuperiore. Illa tantum ſubiecta erat Temenidis; huic nonnullae gentes erant, ſi non liberae, certe non pertinentes ad illorum regnum.

100. καὶ ὁδοὺς εὐθείας ἔτεμε. Ὁδὸν τέμνειν eſt Latinum *viam munire*, dictione a materia vel ὕλῃ, quae ſuccidenda eſt, ad viam faciendam translata. Ita ſupra c. 98. ἐπορεύετο τῇ ὁδῷ, ἣν πρότερον αὐτὸς ἐποιήσατο, τεμὼν τὴν ὕλην. Praeivit Herodotus 4, 136. οὐ τετμημένων τῶν ὁδῶν.

τά τε κατὰ τὸν πόλεμον. Abiiciendum eſt τέ, quod quo referatur non habet. Nam καὶ τῇ ἄλλῃ παρασκευῇ item ſpectat ad bellum; et τἄλλα quoque adverſatur ſeparationi horum verborum a verbis ἵπποις καὶ ὅπλοις, ſive coniungas cum τὰ κατὰ τὸν πόλεμον, ſive per ſe accipias pro ἐς τὰ ἄλλα, ſeu denique poſt διεκόσμησε interpungas, ut τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις, et verba καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι tamquam duo membra, mutata ſtructura, ad τἄλλα referantur. Quis enim ſic loquitur: τὰ ἄλλα διεκόσμησε, τά τε κατὰ τὸν πόλεμον, καὶ τῇ ἄλλῃ παρασκευῇ? Saepiſſime τέ a librariis inepte additum eſt. cf. ad 1, 43. 58. 67. 109. 118. 133. 137.

οἱ ἄλλοι βασιλεῖς ὀκτώ. Hi erant Perdiccas, Argaeus, Philippus, Aëropus, Alcetas, Amyntas, Alexander, Perdiccas, huius Archelai pater; cf. Herodot. 8, 139.

τῶν Θρακῶν ἐκ τῆς Δοβήρου ἐςέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχὴν, καὶ εἷλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυνίαν δὲ, καὶ Ἀταλάντην, καὶ ἄλλα ἄττα χωρία, ὁμολογίᾳ, διὰ τὴν Ἀμύντου φιλίαν προςχωροῦντα, τοῦ Φιλίππου υἱέος παρόντος. Εὔρωπον δὲ ἐπολιόρκησαν μὲν, ἑλεῖν δὲ οὐκ ἠδύναντο. Ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προὐχώρει τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύῤῥου. Ἔσω δὲ τούτων ἐς τὴν Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τήν τε Μυγδονίαν καὶ Κρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδῄουν. Οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προςμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων, ὅπῃ δοκοῖ, ὀλίγοι πρὸς πολλοὺς ἐςέβαλλον ἐς τὸ στράτευμα τῶν Θρακῶν. Καὶ ᾗ μὲν προςπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους· ὑπὸ δὲ πλήθους περικλειόμενοι, αὑτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν. Ὥςτε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν.

101. Ὁ δὲ Σιτάλκης πρός τε τὸν Περδίκκαν λόγους ἐποιεῖτο, ὧν ἕνεκα ἐστράτευσε, καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι

101. Cum autem Atheniensium naves non adessent, Sital-

ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχήν. Vid. ad cap. 95. Fratrem Philippum et Derdam consobrinum (cf. ad 1, 57) hostes sibi fecerat Perdiccas regnandi cupiditate. Illi autem, modo Sitalcis, modo Atheniensium auxilio adiuti, desuper ipsius regnum invadebant, ad sua repetenda. v. 1, 57. 59. Philippus certe partem Macedoniae antea habuerat, quam nunc Amyntas, eius filius, reparare et sibi vindicare, opera Sitalcis, conabatur.

Κύῤῥου. Hoc Macedoniae oppidum Pellae erat versus septemtrionem. — *ἔσω δὲ τούτων*, int. *πόλεων*. *Βοττιαίαν*, quam Macedones tenebant, expulsis Bottiaeis, qui tum temporis Chalcidensibus confines erant, (cf. cap. 99 med. 101 init.) et ab Atheniensium societate defecerant. Vid. 1, 58 med. cf. 2, 79 init. Horum agrum Sitalces postea vastasse traditur infra c. 101. quia hostes Atheniensium erant, una cum Chalcidensibus.

ἀπὸ τῶν ἄνω ξυμμάχων, int. liberos illos Macedones, de quibus c. 99 init. *Τῶν γὰρ Μακεδόνων εἰσὶ — καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὑτά.*

οὐ παρῆσαν ταῖς ναυσὶν, ἀπιστοῦντες, αὐτὸν μὴ ἥξειν, δῶρα δὲ καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἐς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τι τοῦ στρατοῦ πέμπει· καὶ τειχήρεις ποιήσας, ἐδῄου τὴν γῆν. Καθημένου δ' αὐτοῦ περὶ τοὺς χώρους τούτους, οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες, καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν, καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν, μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. Ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾶκες, ὅσοι πεδία εἶχον, Παναῖοι, καὶ Ὀδόμαντοι, καὶ Δρῶοι, καὶ Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. Παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθηναίων πολεμίους Ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν, καὶ ἐπὶ σφᾶς χωρήσωσιν. Ὁ δὲ, τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων, ἔφθειρε, καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐσέβαλε, καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ, καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδόκου, ἀδελφιδοῦ ὄντος, καὶ μέγιστον

ces, vaſtata Chalcidice et Macedonia, inductus a Seutha fratre patrueli, quem Perdiccas ſibi conciliaverat, celeri-

101. *δῶρα δὲ καὶ πρέσβεις ἔπεμψαν.* Repoſui δέ pro τέ, ut ſit quod ad οὐ commode referatur. Eandem correctionem propoſuit Poppo, quem vide. Sitalces, cum Athenienſes non adeſſent in tempore, quemadmodum promiſerant, legatos autem cum donis miſiſſent, (c. 95 extr.) qui de hac expeditione cum eo agerent, quam prius, quam ipſi putabant, ſusceperat, in Chalcidenſes et Bottiaeos partem exercitus miſit, ut horum certe fines vaſtando Athenienſibus gratum facere.

Ἕλληνες ἐφοβήθησαν. Cave putes, Hellenes a Theſſalis ita hic ſeiungi, ut eos non liceat cenſeri inter Hellenes. Diod. 12, 51. Θετταλοὶ καὶ Ἀχαιοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι πάντες Ἕλληνες, ὅσοι κατῴκουν μεταξὺ Μακεδονίας καὶ Θερμοπυλῶν. Ipſe Thucydides 4, 78., poſtquam de Theſſalis dixerat, addit: καὶ τοῖς πᾶσί γε ὁμοίως Ἕλλησιν ὕποπτον καθεστήκει, κ. τ. λ. cf. ad 1, 116. ἐπὶ Καύνου καὶ Καρίας.

μὴ ὑπ' αὐτῶν ἀγόμενοι. Ante ὑπ' αὐτῶν Gottleberus ſine codicum auctoritate et praeter neceſſitatem adiecerat οἱ, quod ideo deievimus. Nemo dubitare poteſt, quin ὑπ' αὐτῶν ἀγόμενοι ſint, ab Athenienſibus ducti Thraces, et ſubaudiendum ſit οἱ Θρᾶκες, ad quos oratio transit a Sitalce, de quo toto in loco ſermo eſt.

Σπαρδόκου. Ita e codicibus recte emendavit Benedictus vul-

μετ' αὐτὸν δυναμένου, ὥστ' ἐν τάχει ἀπελθεῖν. Τὸν δὲ Σεύθην κρύφα Περδίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν, καὶ χρήματα ἐπ' αὐτῇ, προςποιεῖται. Καὶ ὁ μὲν, πεισθεὶς, καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἴκου. Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥςπερ ὑπέσχετο. Τὰ μὲν [οὖν] κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

102. Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι, τοῦδε τοῦ αὐτοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου, ἐστράτευσαν παραπλεύσαντες ἐπ' Ἀστακοῦ. Καὶ ἀποβάντες ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας, τετρακοσίοις μὲν ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίων, καὶ ἔκ τε Στράτου, καὶ Κορόντων, καὶ ἄλλων χωρίων, ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν, καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες, ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς. Ἐς γὰρ Οἰνιάδας, ἀεί ποτε πολεμίους ὄντας μόνους Ἀκαρνάνων, οὐκ ἐδόκει δυνατὸν εἶναι, χειμῶνος ὄντος, στρατεύειν. Ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας, καὶ Ἀγραίων καὶ Ἀμφιλόχων, καὶ διὰ τοῦ

ter domum redit. 102. Phormio navigat in Acarnaniam, ibique res ordinat, ut erat commodum. Sed Oe-

gatum Σπαραδόκου, licet infra 4, 101. nulla lectionis varietas in hoc nomine enotata ſit. — Mox codices fluctuant inter μεθ' ἑαυτόν, μεθ' αὑτόν, et μετ' αὐτόν. Vulgatam veram puto. In fine cap. uncis incluſimus οὖν. Vide ad c. 102 extr.

102. τοῦδε τοῦ αὐτοῦ χειμῶνος. Ex codd. Cl. Reg. Caſſ. Aug. adieci τοῦδε. Thucydides accurate et diſtincte temporum rationes ſubiicere ſolet. Cf. 3, 7 init.

ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτ. διελύθη. Poſt expeditionem Salaminiam. Vid. ſupra c. 93.

καὶ Ἀγραίων. Ita cum Poppone reſcripſimus pro Ἀγραῶν, qua forma (eſt enim ab Ἀγραεῖς, quo nomine idem populus ab Eratoſthene dictus eſſe perhibetur) Thucydides certe non utitur. Cf. 4, 77. ubi pauci codd. habent Ἀγράους pro Ἀγραίους. Rem conficit Strabonis locus, noſtro parallelus, Tom. I. p. 690 Alm.

Ἀκαρνανικοῦ πεδίου ἄνωθεν μὲν παρὰ Στράτον πόλιν ἐς θάλασσαν διεξιεὶς παρ' Οἰνιάδας, καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν. Κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι, ὥςτε μέγας ὢν ὁ ποταμὸς προςχοῖ ἀεὶ, καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται· ἐλπὶς δὲ, καὶ πάσας οὐκ ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν. Τό, τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολὺ καὶ θολερὸν, αἵ τε νῆσοι, πυκναὶ, καὶ ἀλλήλαις τῆς προςχώσεως, τῷ μὴ σκεδάννυσθαι, σύνδεσμοι γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. Ἔρημοι δ' εἰσὶ, καὶ οὐ μεγάλαι. Λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμφιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ

niadas adoriri non audet per hiemem. Situs illius urbis, Acheloi curſus, Echinades inſulae, et quid de Alcmaeone

Τὸν Ἀχελῷον πόταμον ῥέοντα ἀπὸ τῶν ἄρκτων καὶ τῆς Πίνδου πρὸς νότον διά τε Ἀγραίων καὶ Ἀμφιλόχων. — Paullo poſt pro διεξιεὶς Poppo coniecit δὲ ἐξιεὶς. Vulgata defendi poteſt, ſi, ſublatis commatibus ante ἄνωθεν et poſt πόλιν, verbis ἄνωθεν μὲν — Οἰνιάδας reſpondere putes verba καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, pro τὴν δὲ πόλιν —. Exempla bene multa huius ſtructurae dedi ad 4, 73. Et vel ipſum μέν, non ſequente δέ, ferendum eſſet, ut ad 1, 10. docuimus. Itaque ſic diſtinctionem correxi. Achelous non ſolum *totam Acarnaniam deſuper usque ad mare perfluit*, ſed etiam circa Oeniadas ſtagnat.

ὅτε δὲ ἀλᾶσθαι αὐτόν. Infinitivus in oratione obliqua nonnumquam verbi finiti vice fungitur. Sic unus Bauerus hunc locum cepit, cum ceteri interpretes, alii συνέβη, alii λέγεται ſupplerent, nonnulli adeo ad coniecturam confugerent; ſcilicet pro ὅτε δή legendum eſſe ὅτ' ἔδει. Rarius ſane apud Thucydidem hoc loquendi genus invenitur. Non tamen ſine exemplo eſt. Nam 4, 98. pro εἰ μὲν ἐπὶ πλέον δυνηθεῖεν e codd. cum Poppone recipiendum eſt δυνηθῆναι. 1, 91. ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. Quem Bauerus attulit locum 3, 46. τίνα οἴεσθε, ἥντινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσασθαι, non aptior eſt, quam 3, 39. Τίνα οἴεσθε ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι. Verum adde 5, 62 extr. ἄνευ ὧν μὴ κύριον εἶναι. 6, 64 extr. ἀφ' ὧν αὐτὸς ἥκειν. 6, 72. ὅσον εἰκὸς εἶναι. 7, 47. ἅπερ διακινδυνεῦσαι. Diodor. 12, 39 init. ἔφασαν ὅτι πολλὰ τῶν ἱερῶν χρημάτων ἔχοντα Φειδίαν δείξειν. Apollodor. II, 5, 9. § 4. ἐπιπρεσβευσάμενοι παρεκάλουν ἀντὶ τῶν ἀναιρεθέντων δύο λαβεῖν, οὓς ἂν αὐτὸς θελήσειν.

τὸν φόνον τῆς μητρὸς, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν· ὑπειπόντα, οὐκ εἶναι λύσιν τῶν δειμάτων, πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται, ἥτις, ὅτε ἔκτεινε τὴν μητέρα, μήπω ὑπὸ ἡλίου ἑωρᾶτο, μηδὲ γῆ ἦν· ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. Ὁ δ' ἀπορῶν, ὥς φασι, μόλις κατενόησε τὴν πρόςχωσιν ταύτην τοῦ Ἀχελῴου· καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι, ἀφ' οὗπερ κτείνας τὴν μητέρα, οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. Καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους, ἐδυνάστευσέ τε, καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. Τὰ μὲν [οὖν] περὶ Ἀλκμαίωνα τοιαῦτα λεγόμενα παρελάβομεν.

103. Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων, ἄραντες ἐκ τῆς Ἀκαρνανίας, καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον, ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας· τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ τὰς ναῦς, ἃς εἷλον. Καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

atque illis infulis fabulae ferunt. 103. Naupactum reverfus Phormio, primo vere Athenas proficifcitur cum captivis navibusque captis. Illi viritim redempti totidem Athenienfium civibus. Finis tertii anni.

Arrian. Exp. Al. IV, 17, 6. εἴ πῃ Σπιταμένην περιφερόμενον κατὰ τὸν χειμῶνα ἐνεδρεύσαντας ξυλλαβεῖν. Ibid. cap. 30, 12. εἴ που τινὰς τῶν βαρβάρων ξυλλαβεῖν. Cic. in Verr. Act. I, 9. „Siculos fane in eo liberos fuiffe, qui, quamobrem arcefferentur, cum intelligerent, non *veniffe*." Liv. 4, 51. „quum interim de fanguine et fupplicio fuo latam legem confeftim *exerceri*, et tantam vim habere." — Ceterum Eriphyles caedes, ab Alcmaeone filio iuffu patris Amphiarai perpetrata, nota ex fabulis, quas copiofius enarrat Apollodorus III, 6, 2. 7, 2 et 5.

δίαιτα τῷ σώματι, h. e. τόπος εἰς ἐνδιαίτημα τοῦ σώματος. Cur ἂν κεχῶσθαι tentatum fit a Stephano contra libros, non intelligo.

τὰ μὲν [οὖν] περὶ Ἀλκμαίωνα Et hic, et c. 101 extr. codices non pauci omittunt particulam οὖν, quae a librariis adiecta videtur. Etiam alibi a Thucydide omittitur. Vid. 2, 9 extr. 20 extr. 54 init. et extr. 68. 78.

ΘΟΥΚΥΔΙΔΟΥ

ΌΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΤΡΙΤΟΝ.

ΤΟΥ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, ἅμα τῷ σίτῳ ἀκμάζοντι, ἐστράτευσαν ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς· καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαί, ὥσπερ εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων, ὅπῃ παρείκοι· καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον, τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. Ἐμμείναντες δὲ χρόνον, οὗ εἶχον τὰ σιτία, ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις.

2. Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων, εὐθὺς Λέσβος, πλὴν Μηθύμνης, ἀπέστη ἀπ' Ἀθηναίων· βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου, (ἀλλ' οἱ Λακε-

1. Tertia Lacedaemoniorum in Atticam incurſio bre-

1. Ὅπῃ παρείκοι, qua liceret, occaſio ſe offerret. Schol. ὅπου ἐνεδέχετο, ἐνεχώρει. Sed optativus recte ſe habet. Cf. Il. β, 183. 198. Ceterum Caſſ. Aug. conſtanter ὅπῃ cum ι ſubſcr., quos ubique ſecutus ſum.

τὸ μὴ προεξιόντας τῶν ὅπλων. Τὰ ὅπλα ſunt caſtra, praeſidia. Cf. 1, 111. 6, 64. Negatio μή rectiſſime ponitur poſt vocabula negantia aut impedimenti aliquid ſignificantia. Cf. Duck. ad 7, 29. Brunck. ad Eurip. Hippol. 49. Phoen. V. 1185 ſeqq. καὶ τοσόνδ' ἐκόμπασε, μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργάθειν Διός, τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν. Etiam participium loco infinitivi reperitur 6, 1. διείργεται, τὸ μὴ ἤπειρος οὖσα.

2. βουληθέντες, nempe Λέσβιοι, de quo transitu vid. ad 1, 3 extr. cf. 2, 4 extr., ubi αὐτοῖς

δαιμόνιοι οὐ προςεδέξαντο,) ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον, ἢ διενοοῦντο, ποιήσασθαι. Τῶν τε γὰρ λιμένων τὴν χῶσιν, καὶ τειχῶν οἰκοδόμησιν, καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε, καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. Τενέδιοι γὰρ, ὄντες αὐτοῖς διάφοροι, καὶ Μηθυμναῖοι, καὶ αὐτῶν Μιτυληναίων ἰδίᾳ ἄνδρες, κατὰ στάσιν πρόξενοι Ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις, ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μιτυλήνην βίᾳ, καὶ τὴν παρασκευὴν ἅπασαν, μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυγγενῶν ὄντων, ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ, εἰ μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐτοὺς Λέσβου.

3. Οἱ δ' Ἀθηναῖοι (ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς νόσου, καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ ἀκμάζοντος,) μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προςπολεμώσασθαι, ναυτικὸν ἔχουσαν, καὶ δύναμιν

viter narratur. 2. Lefbii ab Athenienfibus clam deficiunt, 3. qui rem a delatoribus nuntiatam primo credere

referendum eft ad τὴν Λακεδαίμονα. Sic infra c. 5 init. πλὴν Μηθύμνης. Οὗτοι δὲ —. Καὶ ταύτην τὴν ἀπόστασιν noli ita accipere, quafi iam antea defeciffent Lefbii, fed fimpliciter tempus indicatum puta. Nam quam dudum meditati erant defectionem, Lacedaemonii, eos non recipientes, prohibuerant. Etiam tum citius quam ftatuerant, necdum fatis parati, bellum fuscipere cogebantur.

οὐ προςεδέξαντο, haud dubie propter foedus in triginta annos pactum, de quo vid. ad 1, 23.

τῶν τε γὰρ λιμένων τὴν χῶσιν. Obftruebant portus, qui a validioribus fe defendere, iisque aditum intercludere ftudebant. vid. Schol. — μεταπεμπόμενοι ἦσαν pro μετεπέμποντο.

κατὰ στάσιν, propter factionem. — τὴν Λέσβον, i. e. τοὺς Λεσβίους.

στερήσεσθαι αὐτούς. Mutata ftructura, ab ὅτι ad infinitivum transit, ut cap. 3 med. ἐσηγγέλθη γὰρ αὐτοῖς, ὡς εἴη Ἀπόλλωνος ἑορτὴ, — καὶ ἐλπίδα εἶναι. Medium στερήσεσθαι h. l. pro paffivo στερηθήσεσθαι. — ξυγγενῶν ὄντων, ad folos Boeotos fpectare, monet Schol. Hi enim erant eiusdem Aeolicae ftirpis, cuius et Lefbii. cf. 7, 57. Hortati autem erant Lefbios ad defectionem. Cap. 13. Νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν.

3. προςπολεμώσασθαι, insuper Lefbios hoftes fibi facere. Gravius videbatur Athenienfibus, quam pro ipforum viribus, etiam Lefbios hoc ipfo temporis momento hoftibus fuis adiungere. —

ἀκέραιον· καὶ οὐκ ἀπεδέχοντο τὸ πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μιτυληναίους τήν τε ξυνοίκησιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες, προκαταλαβεῖν ἐβούλοντο. Καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς, αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν. Κλεϊππίδης δὲ ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει. Ἐσηγγέλθη γὰρ αὐτοῖς, ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτὴ, ἐν ᾗ πανδημεὶ Μιτυληναῖοι ἑορτάζουσι· καὶ ἐλπίδα εἶναι, ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω. Καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα — εἰ δὲ μὴ, Μιτυληναίοις εἰπεῖν, ναῦς τε παραδοῦναι, καὶ τείχη καθελεῖν· μὴ πειθομένων δὲ, πολεμεῖν. Καὶ αἱ μὲν νῆες ᾤχοντο. Τὰς δὲ τῶν Μιτυληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι, καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. Τοῖς δὲ Μιτυληναίοις ἀνὴρ,

nolentes, legatis frustra missis, celeritate antevertere statuunt. Classis quadraginta navium Lesbum mittitur, cuius tamen adventum praenuntiat Mitylenen ignotus qui-

μεῖζον μέρος νέμοντες, plus tribuentes suae voluntati, qua has criminationes veras non esse mallent. Ad ἀληθῆ ex κατηγορίας subaudiendum est τὰ κατηγορήματα. Vid. ad 1, 90.

ἐσηγγέλθη γὰρ αὐτοῖς. Ne cum Kistem. intelligas praetores, quibus indicatum fuerit ab Atheniensibus, sed hos ipsos Athenienses, a proditoribus et delatoribus, quos cap. 2. nominat, edoctos, sequentia docent, quae mandata Atheniensium, strategis data, continent; quamquam etiam Kistem. ad sequentia provocat. *Ἐπειχθέντας* nihilominus referri potest ad classis duces. Tacite enim transitus fit ad Athenienses deliberantes et praetoribus mandantes, quid his faciendum sit. Etiam γάρ, quod respicit ad ἐξαπιναίως, demonstrat, rem sacram ipsis Atheniensibus esse significatam, qui ob eam ipsam caussam tam subito classem miserunt. — Ceterum praetoris nomen Κλεϊππίδης apud Diod. 12, 55. legitur Κλεινιππίδης.

καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα, int. καλῶς ἔχειν ἔφασαν, sicut sequentes infinitivi pendent ab omisso ἐκέλευον. Eiusmodi ellipses frequentes sunt in deliberationibus, ubi brevitate opus est. Cf. ad c. 31. καὶ τὴν πρόσοδον ταύτην — δαπάνη γίγνηται. — *ξυμβαίνειν* h. l. est succedere, feliciter evenire.

ἐκ τῶν Ἀθηνῶν διαβὰς ἐς Εὔβοιαν, καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν, ὁλκάδος ἀναγομένης ἐπιτυχὼν, πλῷ χρησάμενος, καὶ τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μιτυλήνην ἀφικόμενος, ἀγγέλλει τὸν ἐπίπλουν. Οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον.

4. Καὶ οἱ Ἀθηναῖοι, οὐ πολὺ ὕστερον καταπλεύσαντες, ὡς ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων δὲ τῶν Μιτυληναίων, ἐς πόλεμον καθίσταντο. Ἀπαράσκευοι δὲ οἱ Μιτυληναῖοι, καὶ ἐξαίφνης ἀναγκασθέντες πολεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ, ὀλίγον πρὸ τοῦ λιμένος· ἔπειτα, καταδιωχθέντες ὑπὸ τῶν Ἀττικῶν νεῶν, λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα, εἰ δύναιντο, ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι. Καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο, καὶ αὐτοὶ φοβούμενοι, μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ πάσῃ πολεμεῖν. Καὶ ἀνακ[ωχ]ὴν ποιησάμενοι, πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μιτυληναῖοι,

dam homo. 4. Itaque Lefbum delati Athenienfes, cum nihil a Lefbiis impetrarent, navale proelium committunt; quo facto Lefbii ex pacto in fidem Athenienfium redeunt,

ἐκ τῶν Ἀθηνῶν. Cum haec verba melius iungantur cum διαβάς, quam cum ἀνήρ, comma transpofui poft hoc vocabulum, cum antea effet poft Ἀθηνῶν. Geraeftus promontorium eft Euboeae, verfus meridiem. — πλῷ pro εὐπλοίᾳ cum emphafi dictum.

τά τε ἄλλα — ἐφύλασσον. Τὰ ἄλλα per fe accipe pro ἐς τὰ ἄλλα, ficut infra cap. 10. καὶ τἄλλα ὁμοιότροποι εἶεν, et apud Horatium Epift. I, 10, 5. *cetera laetus*, et v. 50. *cetera paene gemelli*; ut genitivus τῶν τειχῶν καὶ λιμένων pendeat a verbis τὰ ἡμιτέλεστα. Φυλάσσειν eft φυλακὰς ποιεῖσθαι, propter περί. Τὸν Μαλόεντα intellige campum Maloëntem, ita dictum a Malea, promontorio Lefbi meridionali (vid. c. 4. cf. Strabo lib. 13.) ubi Apollini feriae agebantur. Itaque totum locum fic verto: „Illi vero neque in Maloëntem exierunt, et praeterea etiam imperfecta murorum portuumque opera obftruxerunt et excubias apud ea egerunt.

4. οὐ πολλῷ ὕστερον. Codd. optimi Reg. Gr. Caff. Aug. exhibent πολὺ ὕστερον, quod non fpernendum, cum et alibi apud Thucydidem faepiffime legatur. Cf. ad 2, 43.

ἔπειτα. pro ἔπειτα δέ. Exempla vide ad 1, 98.

τῶν τε διαβαλλόντων ἕνα, ᾧ μετέμελεν ἤδη, καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν, ὡς σφῶν οὐδὲν νεωτεριούντων. Ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικὸν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ, πρὸς βορέαν τῆς πόλεως. οὐ γὰρ ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. Καὶ οἱ μὲν, ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες, αὐτοῖς ἔπρασσον, ὅπως τὶς βοήθεια ἥξει.

5. Οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μιτυληναῖοι, καὶ ἡ ἄλλη Λέσβος, πλὴν Μηθύμνης. Οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ Ἴμβριοι, καὶ Λήμνιοι, καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων. Καὶ ἔξοδον μὲν

et per inducias legati de pace Athenas mittuntur, ſed clanculum etiam ad Lacedaemonios alii, qui auxilium petant. 5. Re non impetrata, legati Athenis redeunt, et Leſbii omnes, praeter Methymnenſes, Athenienſium caſtra, eruptione facta, aggrediuntur. Pugna commiſſa, aequo Marte dimicant Leſbii, ſed victos ſe eſſe rati, nec

τῶν διαβαλλόντων, accuſatorum, delatorum. Nam participium praeſentis cum articulo ſubſtantivi vim habet. Eurip. Hec. 402. τοῖς κρατοῦσι μὴ μάχου. — ναῦς ἀπελθεῖν, metonymice effectus pro cauſa, pro ναῦς ἀποπέμψαι, ἀπαγαγεῖν.

λαθόντες — ναυτικόν. Cap. 22. λαθόντες τοὺς φύλακας. Cf. de hoc verbi λανθάνειν uſu Erneſt. ad Xen. Mem. 1, 2, 34.

τοῖς ἀπὸ τῶν Ἀθηναίων, non ad legatos pertinet, qui Athenos miſſi erant, ſed ad ea ipſa, quae ab Athenienſibus *petebant* Mitylenaei, quod ſubintelligendum ex praecedente εἴπως πείσειαν. Itaque ad προχωρήσειν ſubaudias licet ὥστε αὐτά; melius tamen infinitivum pro ſubſtantivo acceperis, quod pendeat ab ἐπίστευον. Valla cum vertit: *quae ab Athenienſibus offerebantur*, non aliam lectionem ſecutus videtur, ſed Athenienſes intellexit, claſſis duces, qui cum Leſbiis inducias fecerant.

5. Οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις — πράξαντες. Verba ἐκ τῶν Ἀθηνῶν loco eo, quem occupant, cum οἱ πρέσβεις iuncta, commodius aptiusque necterentur aut cum ἦλθον, aut cum πράξαντες. Cf. 5, 46 extr. ὡς ἤκουσαν οἱ Ἀθηναῖοι οὐδὲν ἐκ τῆς Λακεδαίμονος πεπραγμένον. Sed utraque haec verborum ſtructura ad Thucydidis breviloquentiam pertinet, et attractionis quoddam genus eſt, de quo dixi ad 2, 80 et 83. H. I. ſic accipe: Οἱ δ' ἐν ταῖς Ἀθήναις πρέσβεις ὡς ἐκεῖθεν, vel ἐκ τῶν Ἀθηνῶν, ἦλθον οὐδὲν πράξ.

τινα πανδημεὶ ἐποιήσαντο οἱ Μιτυληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον· καὶ μάχη ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μιτυληναῖοι, οὔτε ἐπηυλίσαντο, οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου, καὶ μετ' ἄλλης παρασκευῆς βουλόμενοι, εἰ προςγένοιτό τι, κινδυνεύειν. Καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται, καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν, κρύφα μετὰ τὴν μάχην ὕστερον ἐςπλέουσι τριήρει. Καὶ παρῄνουν πέμπειν τριήρη ἄλλην, καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν.

6. Οἱ δὲ Ἀθηναῖοι, πολὺ ἐπιῤῥωσθέντες διὰ τὴν τῶν Μιτυληναίων ἡσυχίαν, ξυμμάχους τε προςεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν, ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων· καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως, ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. Καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μιτυληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μιτυληναῖοι, καὶ οἱ ἄλλοι Λέσβιοι, προςβεβοηθηκότες ἤδη· τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. Καὶ τὰ μὲν περὶ Μιτυλήνην οὕτως ἐπολεμεῖτο.

7. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου,

ſibi confiſi, cedunt et auxilia Lacedaemoniorum, ipſis promiſſa, exſpectare ſtatuunt. 6. Athenienſes, duobus utrimque caſtris munitis, utrumque portum navibus circumcludunt, et a mari Leſbios arcent. 7. Breviter

ἐκ Πελοποννήσου. Structura verborum impeditior eſt: βουλόμενοι κινδυνεύειν, εἴ τι προςγένοιτο ἐκ Πελοποννήσου, καὶ μετ' ἄλλης παρασκευῆς.

πέμπειν τριήρη ἄλλην. Iam enim miſerant navem et legatos Lacedaemonem. Vid. c. 4.

6. ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν. Duos portus habebat Mitylene, alterum verſus ſeptemtrionem, qui erat amplior et pro-

Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα, καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγόν· κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ, ἄρχοντα. Καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. Ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον· καὶ ὕστερον, Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ, στρατεύει ἐπ' Οἰνιάδας. Καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε, καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν. Ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δέ, πλεύσας ἐς Λευκάδα, καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος, ἀναχωρῶν διαφθείρεται αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων καὶ φρουρῶν τινων ὀλίγων. Καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.

8. Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μιτυληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν. ἦν δὲ Ὀλυμπιὰς, ᾗ Δωριεὺς Ῥόδιος τοδεύτερον ἐνίκα. Καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε.

narratur Athenienſium in Peloponneſum et Acarnaniam expeditio, qua nihil proficiebant. 8. Mitylenenſium legati, a Lacedaemoniis Olympiam citati, peractis ludis, in templo Jovis Olympii coram ſociis Peloponneſiacis

fundior, alterum meridiem verſus. v. Strabo XII. p. 617.

7. ἐς Πελοπόννησον. Codd. nonnulli Marg. Cl. Reg. Gr. exhibent περὶ Πελοπόννησον, quae lectio ex interpretamento orta videtur, cum etiam Schol. legerit ἐς, quod interpretatur περί.

τῶν Φορμίωνός τινα — ξυγγενῆ. Phormio, qui cum captivis Athenas vere illius anni redierat (v. 2, 103), videtur aut mortem obiiſſe paullo poſt, aut valetudine et imbecillitate, cum eſſet ſenex, impeditus eſſe, quo minus ipſe rem adminiſtraret.

ἐς Νήρικον. Nericus Leucadis oppidum, quod, ſecundum Strabonem, a Nerito (Ithacenſi monte) diverſum eſt.

8. ἐπὶ τῆς πρώτης νεώς. Vid. c. 4. coll. c. 5 extr.

9. „ΤΟ μὲν καθεστὼς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν. Τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις, καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας, οἱ δεξάμενοι, καθ᾽ ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι· νομίζοντες δὲ εἶναι προδότας τῶν προτοῦ φίλων, χείρους ἡγοῦνται. Καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστάμενοι, καὶ ἀφ᾽ ὧν διακρίνοιντο, ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. Μηδέ τῳ χείρους δόξωμεν εἶναι, εἰ, ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ᾽ αὐτῶν, ἐν τοῖς δεινοῖς ἀφιστάμεθα.

10. „Περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι, τοὺς λόγους ποιησόμεθα· εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην, οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μετ᾽ ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο, καὶ τἄλλα ὁμοιότροποι εἶεν. Ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. Ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον, ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. Ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ᾽ ἐπ᾽ ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. Καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἰπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν. Ἀδύνατοι δὲ ὄντες

causam dicunt, 9—14. Primum se purgant a perfidiae in

9. ὃ ἡμῖν τε καὶ Ἀθηναίοις οὐκ ἦν. Plurimi libri τέ omittunt, et sane melius abest, quia non de duobus singulis, sed de ratione et conditione, quae inter duos fuerit, sermo est. Sic cap. 10. ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο. Cf. ad 2, 100.

10. τῷ διαλλάσσοντι, τῇ διαλλαγῇ, discrimine; neutrum participii pro substantivo. cf. ad 3, 43.

καθ' ἓν γενόμενοι, διὰ πολυψηφίαν, ἀμύνασθαι οἱ ξύμμαχοι, ἐδουλώθησαν, πλὴν ἡμῶν καὶ Χίων. Ἡμεῖς δὲ, αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι, ξυνεστρατεύσαμεν. Καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι Οὐ γὰρ εἰκὸς ἦν, αὐτοὺς, οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο, καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴ ποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο.

11. „Καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν, καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου· ἄλλως τε καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο, καὶ ἡμεῖς ἐρημότεροι. Τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τὶ βουλόμενος, τὸ μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται.

Athenienfes fufpicione, quod defciverint, cum ab illis magis nobisque folis iufte utantur, cumque nos adhuc foli pares ipfis dignitate fimus, comparati ceteris maximam partem iam cedentibus: eos moleftius rem laturos verifimile eft, (cf. ad 5, 20.) praefertim cum ipfi interim validiores, quam antea, facti fint, nos contra imbecilliores."

11. *βεβαιότεροι ἂν ἡμῖν ἦσαν*, int. οἱ Ἀθηναῖοι.

καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον, — ἀντισουμένου. Poppo, ut pleonafmus vitetur, pro participio εἶκον lenifsima mutatione ἧκον legendum cenfet, cum Valla vertat: *Iamque admodum processerunt.* Sed Scholiaftes cum omnibus codicibus confpirat in vulgata, quae etiam fequentibus verbis ἄλλως τε καὶ — ἐρημότεροι fatis apta eft. Thucyd. more verba χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν referri debent ad utrumque membrum, et praecedens et fubfequens, quibus interiecta funt. Vid. ad 1, 22. Comma autem poft εἶκον delendum, et totus locus in hanc fententiam accipiendus: „Si omnes libertate uteremur, fidem habere poffemus Athenienfibus, eos nihil novarum rerum effe ftructuros. Cum autem pluros fubegerint,

τὸ μὴ προέχων — ἀποτρέπεται. Codices Reg. Gr. Caff. exhibent τῷ μὴ προέχων, quod Hermannus verum pu abat. (vid. Poppo p. 62.) Vulgatam defendas loco fimillimo c. 1. καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον, τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. Male utroque loco Kiftemakerus articulum τό iungi cum participio, cum ad infinitivum pertineat. Negatio μὴ participio et verbo vel finito vel infinito communis eft, ut faepe. Vid. ad 1, 141.

Αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος τὰ πράγματα ἐφαίνετο καταληπτά. Ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο, μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπῄεσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον, καὶ τὰ τελευταῖα λιπόντες, τοῦ ἄλλου περιῃρημένου, ἀσθενέστερα ἔμελλον ἕξειν. Εἰ δὲ ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων, αὐτῶν τε ἰσχὺν, καὶ πρὸς ὅ, τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο. Τό, τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον, μή ποτε, καθ' ἓν γενόμενον, ἢ ὑμῖν, ἢ ἄλλῳ τῳ προσθέμενον, κίνδυνον σφίσι παράσχῃ. Τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγιγνόμεθα. Οὐ μέντοι ἐπὶ πολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς ἐς τοὺς ἄλλους.

quam ceteri ſocii culti fuerint; deinde quod illo ipſo tem-

ἄκοντας, — ξυστρατεύειν. Inde a Stephano plures interpretes malebant ἕκοντας. Utrumque ferri poteſt. Codices quidem omnes et alter Scholiaſtes vulgatam tuentur, quam ita expedias, ut verba ἄκοντας, et εἰ μὴ — ἐπῄεσαν cogitatione ſepares, vel ante haec ſubaudias καί, quae ratio a Thucydidea brevitate non abhorret. Cf. Poppo p. 203.

ἐν τῷ αὐτῷ δέ, Schol. τῷ λιπεῖν ἐλευθέρους ἡμᾶς. — τὰ κράτιστα ſunt ipſi Mitylenenſes, navalibus copiis validiſſimi; contra οἱ ὑποδεέστεροι ceteri ſocii Athenienſium iam ſubacti. Ad hos in ſeqq. refertur τοῦ ἄλλου περιῃρημένου, ad illos τὰ τελευταῖα et ἀσθενέστερα. Deſcribitur hoc membro ars et ratio (γνώμης ἔφοδος) Athenienſium; ſicuti praecedenti (ἅμα μὲν — ξυστρατεύειν) λόγου εὐπρέπεια, ut commode admonuit Poppo.

πρὸς ὅ, τι χρὴ στῆναι, int. Leſbios, quibus accedere et ſe iungere poſſent imbecilliores illae civitates. — καθ' ἓν γενόμενον, navales copiae in unum collectae.

τὰ δὲ καὶ ἀπὸ θεραπείας. Quatuor argumentis utuntur Mitylenenſes, ut Athenienſes non propter fidem, ſed propter aſtutiam ſibi peperciſſe demonſtrent. Unum erat, quod ſpecioſa oratione (λόγου εὐπρεπείᾳ) uſi fuerint; alterum quod conſilio potius quam vi (γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος); tertium, quod navales copias Mitylenenſium metuerint; quartum, quod cum populus, tum magiſtratus Athenienſium a Mitylenenſibus ſemper eximie culti ſint. περιγίγνεσθαί τι, praeſtare aliqua re.

12. „Τίς οὖν αὕτη ἡ φιλία ἐγίγνετο, ἢ ἐλευθερία πιστὴ, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα; καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ, τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι, ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θράσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον· ὥςτε, εἴ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες, διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι, εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. Εἰ γὰρ δυνατοὶ ἦμεν

pore defciverint; denique communem Graeciae utilitatem,

12. παρὰ γνώμην, praeter animi fententiam.

ὅ, τε τοῖς ἄλλοις — ἐχυρὸν παρεῖχε. Πίστιν dicas παρέλκειν, quia praeceffit ὅ. Sed adiectum aut ad huius pronominis explicationem, aut duplex ftructura, brevitatis ftudio, in unam confufa, hoc modo ὃ τοῖς ἄλλοις εὔνοια βεβαιοῖ — et εἰ τοῖς ἄλλοις εὔνοια πίστιν βεβαιοῖ. Vertas: „Qua in re aliis benevolentia fidem confirmat, eam nobis timor certam praeftabat.“ Similis locus exftat 2, 40. "Ὃ τοῖς ἄλλοις, ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει; ubi relativum pronomen ὅ eodem modo duplici fubftantivo explicatur. Eft enim brevius dictum pro: ὃ τοῖς ἄλλοις ἄλλως συμβαίνει· ἀμαθία μὲν γὰρ θράσος αὐτοῖς, λογισμὸς δὲ ὄκνον φέρει. cf. 5, 95. 6, 68.

θράσος. Quinque codices, in quibus Reg. Caff. Aug. habent θάρσος, i. e. *animus fiducia plenus*, quod huic loco aptius effe iudicat Benedictus, quam θράσος, quod eft *audacia*.

προαποστάντες. Recte Bredovius comma, quod erat poft ἀδικεῖν migrare iuffit poft προαποστάντες. Quod autem idem interpunctionem poft δεινῶν delevit, id probare non poffum. Orator, quae una erat, eam tamquam duas affert caufas, cur aliquis Lefbios iniufte facere putet: alteram, quod Athenienfes morarentur, alteram quod ipfi Lefbii non exfpectarent eventum. Benedictus, aliquot libros fecutus, commendat ἂν ἀναμείναντες. Nemo videt, quid h. l. ἂν fibi velit. Neque enim ad participium, neque ad infinitivum commode referri poteft. Scholiaftae interpretatio non magis valet in hoc vocabulo, quam paullo ante, ubi et pro ἀδικεῖν exhibet ἄτοποί τινες εἶναι, et pro προαποστάντες fimpliciter ἀποστάντες, de quibus lectionibus, ad Scholiaftae interpretationem mutandis, nemo cogitaverit. Praeterea ἀνταναμείναντες defenditur tum verbis διὰ τὴν ἐκείνων μέλλησιν, quibus refpondet hoc participium, tum fequentibus: εἰ γὰρ δυνατοὶ ἦμεν — ἀντεπιβουλεῦσαι καὶ ἀντεπιμελλῆσαι (ita enim ad Codd. Reg. Caff. Vindob. trium Pariff. et Scholiaftae fidem legendum pro ἀντεπιμελῆσαι.)

ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι καὶ ἀντεπιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ᾽ ἐκείνοις εἶναι; ἐπ᾽ ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν, καὶ ἐφ᾽ ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι.

13. „Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι, ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι, καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι· βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προςδεξαμένων, κωλυθέντας. Νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν· καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων, μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ᾽ Ἀθηναίων, ἀλλα ξυνελευθεροῦν· ἀπό τε Ἀθηναίων, μὴ αὐτοὶ διαφθαρῆναι ὑπ᾽ ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ προποιῆσαι. Ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται, καὶ ἀπαράσκευος·

quae ex ſocietate cum ipſis facta percipi poſſit, oſtendunt.

τί ἔδει ἡμᾶς — ἐπ᾽ ἐκείνοις εἶναι. Senſum alter Scholiaſtes optime ſic reddit: *τί ἔδει ἡμᾶς ὑπ᾽ ἐκείνοις ταχθῆναι, ἢ ὑπακούειν αὐτοῖς;* ſed verba *ἐκ τοῦ ὁμοίου* non expreſſit, quae aut *pariter*, *ſimiliter*, *οὐδὲν ἧσσον*, *ὁμοίως* ſignificant; aut *pari illis et poteſtate et iure utentes.* Videtur enim Thucydides brevitatis ſtudio duo membra in unum contraxiſſe, pro: *τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου μὲν, ἐπ᾽ ἐκείνοις δὲ εἶναι;* „Abſurdum eſſet, inquit, nos, ſi aeque atque illi et conſilia contra inire et cunctari poſſemus, licet hoc aequo iure uteremur, ab illis tamen pendere. Patet autem, cum iis ſubiecti ſimus, nos non uti aequa conditione et poteſtate.“ Kiſtem. et Bredov. ab hac interpretatione longe recedunt, pro *τί* ſcribentes *τὶ*, et ſignum interrogandi in colon mutantes. Sed *τὶ* ferri non poteſt. Nam ad *ἀντεπιβουλεῦσαι* et *ἀντεπιμελλῆσαι* relatum, languidum eſt; et ſequentibus iunctum prorſus nullam vim habet.

13. *πρὸς ἀσφάλειάν τινα,* intell. conſilia de ſalute capienda.

διπλῆν ἀπόστασιν. Non immerito Bauerus frigidum luſum in his verbis reprehendit. Non enim a Graecis, ſed ab Atheniensibus potius Mitylenenſes deficiebant, duplici ratione, primum quod abſiſtebant ab iniuriis una cum illis ceteris Graecis inferendis, deinde quod ipſorum libertati proſpiciebant. Sed cum verbum *ἀφίστασθαι*, ſicut *ἀπόστασις*, non ſolum deficere, ſed etiam *abſiſtere* notet, a Graecis Leſbii abſiſtere recte dici poterant, quatenus non amplius iis nocere, ſed in libertatem eos aſſerere una conarentur. — *προποιῆσαι*, *ἀποστῆναι*.

ἢ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς, διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ, καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. Καιρὸς δὲ, ὡς οὔπω πρότερον. Νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ· νῆές τε αὐτοῖς, αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται. ὥστε οὐκ εἰκὸς, αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον· ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. Νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον κίνδυνον ἕξειν. Ὧι γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν παρέξει. Οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. Ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος, τά τε ἡμέτερα προσγενήσεται· πάθοιμέν τ' ἂν δεινότερα, ἢ οἱ πρὶν δουλεύοντες. Βοηθησάντων δὲ ὑμῶν προθύμως, πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, (οὗπερ ὑμῖν μάλιστα προσδεῖ) καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους· θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται· τήν τε αἰτίαν ἀποφεύξεσθε, ἣν εἴχετε, μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. Ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βεβαιότερον ἕξετε.

τὸ δεύτερον. Nam cap. 1. de *prima* huius anni invafione breviter expofuit. — *ὑμᾶς* ex codd. repofui cum aliis. Non enim fermo fuerat de ipfis Mitylenenfibus impetum facturis. — *ἀπ' ἀμφοτέρων*, et a vobis, et a nobis. Paullo ante dixerat, naves Athenienfium partim circa Peloponnefum, (*περὶ τὴν ὑμετέραν*) partim apud Lefbum verfari. Nefcio igitur, quid Benedictus fibi velit, qui *ἀμφοτέρων* ad verba *ναυσί τε καὶ πεζῷ* referre malit, cui interpretationi vel verbum *ἀποχωρήσονται* obftat.

οὐ γὰρ ἐν τῇ Ἀττικῇ — Non debet fpectari in hac deliberatione, *ubi*, fed quibus copiis bellum geratur, et pofthac gerendum fit. Nam a Lefbo, quae remotior videri poffit, auxilium adveniet propinquum, quod Athenienfes, defectione Lefbiorum, iacturam faciunt maximorum redituum. — *δι' ἥν*, fubaudi *ἐν ταύτῃ, δι' ἥν*, i. e. *ἐν Λέσβῳ*.

14. „Αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας, καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμέν, ἐπαμύνατε, Μιτυληναίοις ξύμμαχοι γενόμενοι· καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφέλειαν ἅπασι διδόντας· ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ, μὴ πεισθέντων ὑμῶν, σφαλησόμεθα. Γίγνεσθε δὲ ἄνδρες, οἵουςπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι, καὶ τὸ ἡμέτερον δέος βούλεται."

15. Τοιαῦτα μὲν οἱ Μιτυληναῖοι εἶπον. Οἱ δὲ Λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι, ἐπειδὴ ἤκουσαν, προςδεξάμενοι τοὺς λόγους, ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο, καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐςβολήν — τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν, ὡς ποιησόμενοι· καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ, ὡς ὑπεροίσοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. Καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ

15. Finita oratione, Lacedaemonii Leſbios in ſocietatem recipiunt, neque ſociis ſolum mandant, ut in iſthmum pergant, ſed ipſi quoque eo ſe conferunt citius, quam

14. *ἐν οὗ τῷ ἱερῷ.* Olympiae in templo Iovis Olympii. cf. cap. 8. — *παραβαλλομένους* male Kiſtemr. *oratione noſtra proponentes* interpretatur. *παραβάλλεσθαι κίνδυνον* eſſe *periculo ſe obiicere*, ſatis notum eſt. Recte autem idem vir doctus *διδόντας* tuetur, licet in omnes fere codices illius interpretamentum *δώσοντας* ex Scholiis fluxerit.

15. *καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐςβολήν* — Vulgo poſt *ἐςβολήν* maior diſtinctio eſt. Sed quis iungere poſſit: *ἐποιήσαντο τοὺς τε Λεσβίους ξυμμάχους, καὶ ἐςβολὴν ἐς τὴν Ἀττικήν*? Paullo diverſa eſt ratio loci cap. 16 med. *ἐπίδειξίν τε ἐποιοῦντο, καὶ ἀποβάσεις τῆς Πελοποννήσου.* Accuſativus abſolutus *τὴν ἐςβολήν* cum ſequentibus membris quodammodo cohaeret; quare lineola pro puncto poſita, ad *ἔφραζον* et *ποιησόμενοι* poterit referri. — *τήν* non ſolum codices omnes, ſed etiam grammaticae leges tuentur. Nam ſupra c. 13. legimus: *ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεςβάλητε.* — *Ὁλκοὶ τῶν νεῶν,* machinae ad naves trahendas in terra. Verbo *ὑπερφέρειν* de eadem re utitur Thucydides 3, 81. 4, 8.

ἄλλοι ξύμμαχοι βραδέως τε ξυνελέγοντο, καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν, καὶ ἀῤῥωστίᾳ τοῦ στρατεύειν.—

16. Αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι, διὰ κατάγνωσιν ἀσθενείας σφῶν, παρασκευαζομένους, δηλῶσαι βουλόμενοι, ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ' οἷοί τε εἰσὶ, μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν, καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥαδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν ἐσβάντες αὐτοί τε, πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων, καὶ οἱ μέτοικοι. Καὶ παρὰ τὸν ἰσθμὸν ἀναγαγόντες, ἐπίδειξίν τε ἐποιοῦντο, καὶ ἀποβάσεις τῆς Πελοποννήσου, ᾗ δοκοῖ αὐτοῖς. Οἱ δὲ Λακεδαιμόνιοι, ὁρῶντες πολὺν τὸν παράλογον, τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ, καὶ ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν, καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου. Ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον, ὅ, τι πέμψουσιν ἐς τὴν Λέσβον· καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος: καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. Ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσὶν, ἐπειδὴ καὶ ἐκείνους εἶδον.

ſocii, et navigia adminiſtrant. 16. Athenienſes autem, inſtructis centum navibus, circa Peloponneſum navigabant; cumque Lacedaemonii, ab illis preſſi et a ſociis ſuis relicti, tum pararent, necdum proficiſcerentur, ſed poſtea infecta re Corintho domum redirent. Erat illo tempore Athenienſibus maximus navium numerus. Cf. c. 17. init.

ἀῤῥωστία, ἀπροθυμία Suidas.

16. *διὰ κατάγνωσιν*, propter contemptum.

πλὴν ἱππέων καὶ πενταкοσιομ. Hi enim graviori et honeſtiori militiae ſemper reſervabantur, ut plerumque etiam ζευγῖται. An hic naves illae centum intelligendae, quas ἐξαιρέτους relinquebant, ſi quis hoſtis claſſe Athenas ipſas invaderet, ut legimus 2, 24? Non credo. Hoc enim Auctor non poterat ſilentio praetermittere, praeſertim cum Lacedaemonii claſſem tan-

καὶ παρὰ τὸν ἰσθμόν. Novem codices, in quibus Reg. Caſſ. Aug., pro περί exhibent παρά. Recte. Iſthmus enim non poteſt circumnavigari.

αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες. Vid. c. 7. *Καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν.*

17. *Καὶ κατὰ τὸν χρόνον τοῦτον, ὃν αἱ νῆες ἔπλεον, ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. Τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον, καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν· χωρὶς δὲ, αἱ περὶ*

domum abirent, Athenienfes et ipfi redeunt. 17. De navium Atticarum tum temporis magno numero, deque

17. ὃν αἱ νῆες ἔπλεον. Intellige τὰς ἑκατόν, de quibus modo c. 16 extr. dixit.

ἐν τοῖς πλεῖσται δὴ νῆες. Variis commentis hunc locum vexarunt interpretes, alii articulum τοῖς loco pronominis αὐτοῖς ufurpari putantes, alii pro ἐν τοῖς fcribendum cenfentes αὐτοῖς, alii Thucydidem, fui oblitum, ἐν τοῖς pro ἐν τῷ, (quod fit τούτῳ τῷ χρόνῳ) fcripfiffe opinantes. Unus Bredovius et hunc et alios id genus locos recte cepit. Cf. Hermann. ad Viger. p. 787. Buttmann. Gram. gr. p. 531. Scilicet fuperlativis cuiusque vel generis vel numeri nonnumquam praefiguntur particulae ἐν τοῖς, fenfum nihil mutantes, fed fortaffe augentes. Ita, quod faepiffime legitur, ἐν τοῖς μάλιστα, cui fimillimum eft 4, 52. πάντων μάλιστα, cum de urbibus (πόλεσι) fermo fit, germanice verti poffit *am allermeiften*. Vid. Thucyd. 8, 90. Plat. Crit. c. 14., ubi bis legitur. Ibid. c. 1. ἐν τοῖς βαρύτατα ἂν ἐνέγκαιμι, i. e. βαρύτατα. Memorabilis locus eft Thucyd. 1, 6. Ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι τὸν σίδηρον κατέθεντο, ubi reponere volebant πρώτοις. Rurfus, 7, 24. Μέγιστον δὲ καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα τὸ τῶν Ἀθηναίων ἡ τοῦ Πλημμυρίου λῆψις. Et haud dubie pro ἐν τοῖς πρώτοις 7, 19. refcribendum eft ἐν τοῖς πρῶτοι. An 7, 27. pro ἐν τοῖς πρώτοις legendum fit ἐν τοῖς πρώτῃ, adhuc addubito, cum etiam alterum ibi ferri poffit. Simillimus tamen noftro locus exftat 5, 81 extr. οὕτως ὠμὴ στάσις προυχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο. Quod fi ἐν τοῖς etiam feminino iungitur, patet neutrum effe τοῖς, neque ἐν τοῖς πρώτη ἐγένετο cum Bredovio accipi poffe pro ἐν ταῖς γενομέναις πρώτη ἐγένετο, fed neutrius generis vocabulum, veluti πράγμασι, ἔργοις γενομένοις, fubaudiendum effe, quamquam ufus hoc obfcuravit, et omnium promifcue generum fuperlativis fimpliciter et omiffo participio praefigatur ἐν τοῖς. Comparari poteft Latinorum *cum maxime*, de cuius ellipfi vid. Erneft. Clav. Cic. h. v.

παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχ. τοῦ πολ. Corrigit ipfe iudicium fuum, quod modo dixit. Vel pares numero, vel adeo plures erant naves initio belli. Nam 2, 13. τριήρεις τὰς πλωΐμους τριακοσίας recenfet, quae fuperant numerum hoc cap. paullo poft pofitum διακόσιαι καὶ πεντήκοντα. Sed naves hic demonftrantur ἐνεργοί, h. e. ἔργον ποιοῦσαι, et quidem ἅμα. Etiam vox κάλλει, cum nihil fere apud Thucydidem fuperfluum fit, rem auget et *praeftantiam* navium indicat. Laxius tamen inter fe iunguntur verba ἐνεργοὶ et κάλλει, i. e. ob praeftantiam.

Ποτίδαιαν, καὶ ἐν τοῖς ἄλλοις χωρίοις· ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. Καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. Τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν· (αὑτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας) τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν· ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον. νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. Τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τὸ πρῶτον, καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν.

18. Μιτυληναῖοι δέ, κατὰ τὸν αὐτὸν χρόνον, ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν, ἐπὶ Μήθυμναν

ſumptu in illas impenſo. 18. Mitylenenſium adverſus Methymnam expeditio, et poſtea Methymnenſium adverſus

τὰ χρήματα τοῦτο μάλιστα — Haud dubie intelligit paratam illam pecuniam, quam enumeraverat ſupra 2, 13. Ibi iam monuerat, in Potidaeae munitionem multum impenſum eſſe. — Ὑπανάλωσε, neglecto augmento, ſine codicum varietate, ut mox ὑπαναλώθη. Cf. ad 2, 13.

δίδραχμοι ὁπλῖται ἐφρούρουν. De ſtipendiis militum apud Athenienſes vid. Meurſius Att. Lect. 2, 8. Petit. Legg. Att. p. 554. Alias ὁπλῖται quaternos tantum in diem obolos accipiebant. Ergo δραχμή, quae valet ſex obolos, extraordinarium ſtipendium erat, viritim datum. Ἐφρούρουν Portus ad eos referebat, qui obſidebant, Duckerus cum Valla rectius de his, qui in praeſidio Potidaeae erant poſt deditionem urbis, anno belli ſecundo exeunte factam (vid. 2, 70), accipit. Sequentia tamen docent, idem ſtipendium et ante urbis deditionem datum eſſe. Nam enumerat Auctor et eos, qui per totum obſidionis tempus oppugnabant, (διεπολιόρκησαν) et illos adeo, qui cum Phormione, priusquam urbs expugnaretur, disceſſerant. Thucydidis rationem optime conſtare intelliges, ſi comparaveris locos 1, 57 ſub fin. 1, 61 init. 1, 64 et 65. 2, 58 extr.

τὸν αὐτὸν μισθὸν ἔφερον. Cum claſſiarii, ut viri docti paullo ante laudati locis citatis demonſtrant, ternos in diem obolos acciperent, dubitare poſſis, utrum hic tantundem, quantum ὁπλῖται, accepiſſe intelligendi ſint, an parem omnino inter ſe ſingulae naves mercedem tulerint. Si ſcripſiſſet τὸν αὐτὸν τοῦτον, nihil dubitationis relictum eſſet. Sed raro haec pronomina iungit Noſter, e. c. 2, 26; nam alterum facile intelligendum, ut cap. 20 init. 2, 29. 54. 58. 70. Plerumque aliis verbis adiectis rem declarat; cf. 2, 28. 67. 68. 79. 80. 95. 3, 7. 17. 18. Itaque etiam h. l. τοῦτον ſubaudiri iubet tota Auctoris argumentatio.

ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν, αὐτοί τε καὶ οἱ ἐπίκουροι. Καὶ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προὐχώρει ᾗ προσεδέχοντο, ἀπῆλθον ἐπ' Ἀντίσσης, καὶ Πύῤῥας, καὶ Ἐρέσου· καὶ καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα, καὶ τείχη κρατύναντες, διὰ τάχους ἀπῆλθον ἐπ' οἴκου. Ἐστράτευσαν δὲ καὶ οἱ Μηθυμναῖοι, ἀναχωρησάντων αὐτῶν, ἐπ' Ἄντισσαν· καὶ ἐκβοηθείας τινὸς γενομένης, πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων, ἀπέθανόν τε πολλοὶ, καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος. Οἱ δὲ Ἀθηναῖοι, πυνθανόμενοι ταῦτα, τούς τε Μιτυληναίους τῆς γῆς κρατοῦντας, καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι, περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον, Πάχητα τὸν Ἐπικούρου στρατηγὸν, καὶ χιλίους ὁπλίτας ἑαυτῶν. Οἱ δὲ, αὐτερέται πλεύσαντες τῶν νεῶν, ἀφικνοῦνται, καὶ περιτειχίζουσι Μιτυλήνην ἐν κύκλῳ ἁπλῷ τείχει. φρούρια δὲ ἔστιν οἷ ἐπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται. Καὶ ἡ μὲν Μιτυλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο, καὶ ὁ χειμὼν ἤρχετο γίγνεσθαι.

19. Προσδεόμενοι δὲ οἱ Ἀθηναῖοι χρημάτων ἐς

Antiſſam. His Athenienſes auxilia mittunt, duce Pachete, qui Mitylenen muro cingit, ut pariter terra ac mari intercluderetur. 19. Ab Athenienſibus emittuntur, qui tri-

18. *Καὶ Πύῤῥας καὶ Ἐρέσου.* Infra cap. 35. legitur *Πύῤῥαν* in omnibus libris, et c. 25. in plurimis optimisque; et ita Strabo cum aliis ſcribit. Quod praeferendum, et hoc quoque loco, aequalitatis cauſa, conſtanter ſcribendum videtur. Paullo diverſa eſt ratio nominis *Ἐρέσου*. Nam in eo variant codd. Thucydidis utroque loco. Plerique tamen *Ἔρεσος* exhibent, ſimplici *σ*. Cf. 8, 23. Thucydidis autem codices, ſatis bonos et fide dignos, etiam in ſcriptura nominis *Μιτυλήνη* ſequendum eſſe duximus, quam plerumque conſtanter ſervant; quamquam Bredovius p. 92. alteram ſcripturam *Μιτιλήνη* reſcribendam cenſet, quippe quae et etymologiam (*ἀπὸ τοῦ Μύτωνος τοῦ κτίστου*) ſequatur, et in monetis reperiatur, et apud Stephanum Byz. legatur. Ex omnibus tamen his argumentis non ſatis certo colligi poteſt, etiam Thucydidem ſic ſcripſiſſe, nec vero credibile eſt, ſexcentios eius manum a librariis eſſe depravatam et oblitteratam.

τὴν πολιορκίαν, καὶ αὐτοὶ ἐσενεγκόντες τότε πρῶτον ἐσφορὰν διακόσια τάλαντα, ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα, καὶ Λυσικλέα πέμπτον αὐτὸν στρατηγόν. Ὁ δὲ ἄλλα τε ἠργυρολόγει, καὶ περιέπλει, καὶ τῆς Καρίας ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίου μέχρι τοῦ Σανδίου λόφου, ἐπιθεμένων τῶν Καρῶν καὶ Ἀναιïτῶν, αὐτός τε διαφθείρεται, καὶ τῆς ἄλλης στρατιᾶς πολλοί.

20. Τοῦ δ' αὐτοῦ χειμῶνος, οἱ Πλαταιεῖς (ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν) ἐπειδὴ τῷ τε σίτῳ ἐπιλιπόντι ἐπιέζοντο, καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἦν ἐλπὶς τιμωρίας, οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι, πρῶτον μὲν πάντες ἐξελθεῖν, καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένων τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου, ἀνδρὸς μάντεως, καὶ Εὐμολπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως, τὸν κίνδυνον μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταί, τρόπῳ τοιῷδε. Κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων. Ξυνεμετρήσαντο δὲ

buta a ſociis exigant, quorum plerique trucidantur in Caria. 20. Plataeenſes, conſilio urbem relinquendi

19. *καὶ αὐτοὶ ἐσενεγκόντες* — Commata poſt ἐσενεγκόντες et ἐξέπεμψαν delenda eſſe, iam alii viderunt. Sed *ante* ἐξέπεμψαν diſtinguendum eſt.

τότε πρῶτον ἐσφορὰν διακ. τ. Εἰσφορά a locupletioribus tantum civibus exigebatur, et extraordinarium quoddam tributum erat apud Athenienſes, belli tantum tempore ſolvendum. vid. Wolfii Prolegg. ad Demoſth. Leptin. p. XC ſeqq.

τῆς Καρίας pendet ab *ἐκ Μυοῦντος*, e Cariae urbe Myunte. ὁ Σάνδιος λόφος aliunde non cognitus.

20. *καὶ τῶν Βοιωτῶν.* Articulum τῶν codicum auctoritate eieci. Vid. ad 1, 71.

ἢν δύνωνται βιάσασθαι, ſi poſſent vi perrumpere.

τοῦ Τιμίδου. Multi iisque meliores libri exhibent *Τολμίδου*, et pro *Εὐπολπίδου* nonnulli habent *Εὐμολπίδου*, Reg. *Εὐπομπίδου.* Utrumque libentius feram, quam vulgatum, quod praeeunte Schaefero correxi

ταῖς ἐπιβολαῖς τῶν πλίνθων, ᾗ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος αὐτῶν. Ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς· καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες, καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥαδίως καθορωμένου ἐς ὃ ἐβούλοντο τοῦ τείχους. Τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον.

21. Τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ οἰκοδομήσει· εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλαταιῶν, καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι. Διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων. Τὸ οὖν μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο· καὶ ἦν ξυνεχῆ, ὥστε ἓν φαίνεσθαι τεῖχος παχὺ, ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. Διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι, καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἐς

capto, paratisque ſcalis, 21 — 24. murum hoſtium

ταῖς ἐπιβολαῖς τῶν πλίνθων. Cum ab illo latere, quod verſus Thebas ſpectabat, lateres non eſſent calce obducti et albati, ex numero ordinum ratiocinabantur, qua longitudine ſcalae eſſe deberent. ᾗ, qua parte, ubi.

καὶ ἔμελλον — ἁμαρτήσεσθαι, i. e. ἐῴκει vel ἔχρη τοὺς μὲν ἁμαρτήσεσθαι. Vid. Riemer in Lex. Graec. voc. μέλλω. Thucyd. 3, 11. ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες. χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν.

ἐς ὃ ἐβούλοντο ſubaudi *τοῦτο* (μέρους) ante haec verba. *ἐβούλοντο.* int. ἰέναι.

21. *τὸ οὖν μεταξὺ τοῦτο* —. Si lectio certa, hic nominativus abſolute poſitus eſt: Quod attinet ad intervallum hoc, nempe ſedecim pedes, cuſtodibus ibi tabernacula diſtincta erant aedificata. Sed fateor, verba οἱ ἑκκαίδεκα πόδες ſuſpecta mihi videri, tamquam ex interpretamento orta. Non enim opus erat, tam exiguo intervallo ea repeti; neque veriſimile eſt, nominativum abſolutum, qui in longioribus tantum periodis ſcriptoris diligentiam effugere ſolet, in tam brevi membro eſſe admiſſum.

διὰ δέκα ἐπάλξεων. ſpatio denarum pinnarum interpoſito, poſt denas pinnas, ut infra δι' ὀλίγου, brevi ſpatio diſtantes.

ἰσοπλατεῖς τῷ τείχει. Cum mox dicat: ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῇεσαν, patet, turres illas praeter utrumque murum etiam intervallum illud ſedecim pedum eſſe complexas, ita ut uterque murus ibi tamquam

τε τὸ ἔσω μέτωπον αὐτοῦ, καὶ οἱ αὐτοὶ καὶ [ἐς] τὸ ἔξω· ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι᾽ αὐτῶν μέσων διῄεσαν. Τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερὸς, τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων, ὄντων δι᾽ ὀλίγου καὶ ἄνωθεν στεγανῶν, τὴν φυλακὴν ἐποιοῦντο. Τὸ μὲν οὖν τεῖχος, ᾧ περιεφρουροῦντο οἱ Πλαταιεῖς, τοιοῦτον ἦν.

22. Οἱ δ᾽, ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ, καὶ ἅμα ἀσέληνον, ἐξῄεσαν. Ἡγοῦντο δὲ, οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. Καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν, ἣ περιεῖχεν αὐτοὺς, ἔπειτα προςέμιξαν τῷ τείχει τῶν πολεμίων, λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προςιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου, οὐ κατακουσάντων. Ἅμα δὲ καὶ διέχοντες πολὺ ᾔεσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. Ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει, καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι, ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. — Κατὰ οὖν μεταπύργιον προςέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες, ὅτι ἔρημοί εἰσι, πρῶτον μὲν οἱ

pluvia nocte confcendunt, foffam transeunt, et uno ex-

ponte iungeretur, ubi turris effet; alterutrum autem per murum incedenti via non nifi intra turrim pateret. cf. c. 23 init. — Alterum ἐς ante τὸ ἔξω ignorant multi codices, ut ab interprete adiectum effe fufpiceris. Infra 4, 54 extr. ἔπλευσαν ἔς τε Ἀσίνην καὶ Ἕλος καὶ τὰ πλεῖστα τῶν περὶ θάλασσαν.

22. τὴν τάφρον διέβησαν, interiorem illam, quae ipfis erat praefidio.

ἀνὰ τὸ σκοτεινὸν μὲν — Multa in his interpunctione depravantur, quae nimia eft, ut et alibi. Delevi commata poft μέν, et δέ, et αὐτούς.

τὸν ἀριστερὸν πόδα μόνον. Benedictus verborum ordinem fic mutat: τὸν ἀριστερὸν μόνον πόδα, codicum, ut ait, plurimorum auctoritate. Sed ex melioribus libris nulla hic varietas notatur. — Ceterum finiftrum pedem habebant calceatum, ut tutius infifterent luto; dextrum nudum, ut expeditiores effent. Mox μεταπύργιον eft μεσοπύργιον, fpatium inter duas turres. προςέμισγον, accedebant.

εἰδότες, ὅτι ἔρημοί εἰσι. Nempe propter hiemem. Supra 21 extr. τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερὸς, τὰς μὲν ἐπάλξεις ἀπέλειπον.

τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον· ὧν ἡγεῖτο Ἀμμέας ὁ Κοροίβου, καὶ πρῶτος ἀνέβη, μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι, ἓξ ἐφ᾽ ἑκάτερον τῶν πύργων, ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν· οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν, ὁπότε πρὸς τοῖς πολεμίοις εἴησαν. Ὡς δὲ ἄνω πλείους ἐγένοντο, ᾔσθοντο οἱ ἐκ τῶν πύργων φύλακες. Κατέβαλε γάρ τις τῶν Πλαταιέων, ἀντιλαμβανόμενος, ἀπὸ τῶν ἐπάλξεων κεραμίδα· ἣ πεσοῦσα ψόφον ἐποίησε, καὶ αὐτίκα βοὴ ἦν. Τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ᾔδει, ὅ, τι ἦν τὸ δεινὸν, σκοτεινῆς νυκτὸς, καὶ χειμῶνος ὄντος· καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιέων ὑπολελειμμένοι ἐξελθόντες προσέβαλλον τῷ τείχει τῶν Πελοποννησίων, ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. Ἐθορυβοῦντο μὲν οὖν, κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς· ἀλλ᾽ ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. Καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν, εἴ τι δέοι, ἐχώρουν ἔξωθεν τοῦ τείχους πρὸς τὴν βοήν· φρυκτοί τε ἤροντο ἐς τὰς Θήβας πολέμιοι. Παρανίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως

cepto ſalvi omnes Athenas perveniunt.

μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι — ἀνέβαινον. Poſt ἀνέβη minus plene interpungendum eſt, et verba ἓξ ἐφ᾽ ἑκάτερον τῶν πύργων commatibus ſegreganda a ceteris, tanquam explicatio et appoſitio verborum οἱ ἑπόμενοι.

ἐπὶ τὸ τεῖχος ὥρμησεν, non *verſus*, ut Kiſtem. vertit, ſed *in murum contendebat exercitus*; ſuam quisque ſtationem occupabat. Quare mox dicit κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς.

ἐχώρουν ἔξωθεν τοῦ τείχους. Dedi pro ἔξω ἔξωθεν ex Cl. Gr. Caſſ. Aug. Moſq., quod eiusdem ſignificationis eſt, librariis fortaſſe minus notae.

φρυκτοὶ — πολέμιοι. Faces, quibus hoſtium adventus indicabatur, non ſolum erigebantur, ſed etiam movebantur. φρυκτοὶ φίλιοι contra tantummodo ſurſum tollebantur immotae. Vid. Schol. ad h. l. Cf. 2, 94. 8, 102 init. Eiusmodi erant, quas Plataeenſes ſuſtulerunt, παρανίσχον. Ceterum de loquendi modo in οἱ ἐκ τῆς πόλεως Πλαταιῆς diximus ſaepius, ut ad 2, 63. 5, 65.

Πλαταιεῖς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλούς, πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ, καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι, ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν, καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.

23. *Οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιέων ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν, καὶ τοῦ πύργου ἑκατέρου, τοὺς φύλακας διαφθείραντες, ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον, μηδένα δι' αὐτῶν ἐπιβοηθεῖν· καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις, καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλοντες· οἱ δ' ἐν τούτῳ, οἱ πλείους, πολλὰς προσθέντες κλίμακας ἅμα, καὶ τὰς ἐπάλξεις ἀπώσαντες, διὰ τοῦ μεταπυργίου ὑπερέβαινον. Ὁ δὲ διακομιζόμενος ἀεὶ, ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴ τις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. Ἐπεὶ δὲ πάντες διεπεπεραίωντο, οἱ ἀπὸ τῶν πύργων χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον· καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο, λαμπάδας ἔχοντες. Οἱ μὲν οὖν Πλαταιεῖς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκό-*

23. *οἱ δ' ὑπερβαίνοντες* pro *ἐξιόντες*; opponuntur enim *τοῖς ἐκ τῆς πόλεως Πλαταιεῦσι.*

διόδους τῶν πύργων. Vid. ad c. 21. Ordinem verborum *αὐτοὶ ἐνστάντες* ex codd. fide mutavi. vid. Bened.

οἱ μὲν ἀπὸ τῶν πύργων — βάλλοντες. Hi erant partim custodes transitus, qui erat per turres, partim in superiori turrium parte, quo scalis ascenderant, ut turres melius defenderent; stationem habebant. Ita *καὶ κάτωθεν καὶ ἄνωθεν* iacere poterant hostes, qui ad impetum faciendum appropinquarent.

ἐπὶ τοῦ χείλους τῆς τάφρου. Intellige externam fossae oram, postquam transgressi erant, ut patet ex iis, quae mox *τῆς διαβάσεως,* — (*διεπεπεραίωντο*) et paullo inferius hoc ipso capite leguntur: *ὥστε φθάνουσι τῶν Πλαταιέων καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως.*

οἱ ἀπὸ τῶν πύργων. Ante haec verba interpungatur, ut apodosis ibi incipiat; deleatur autem comma post *πύργων.* — *οἱ τελευταῖοι,* utpote ultimi.

τους, ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά· αὐτοὶ δέ, ἐν τῷ ἀφανεῖ ὄντες, ἧσσον διὰ τὰς λαμπάδας καθεωρῶντο· ὥστε φθάνουσι τῶν Πλαταιέων καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως. Κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ, ὥστ' ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου ἢ βορέου, ὑδατώδης μᾶλλον· καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονιφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. Ἐγένετο δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

24. Ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιεῖς, ἐχώρουν ἀθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδὸν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ἀνδροκράτους ἡρῷον· νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι, τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς, τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. Καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιεῖς τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ᾖεσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν, ἐς Ἐρύθρας καὶ Ὑσίας· καὶ

ἐς τὰ γυμνά, int. latera, quae armis non erant tecta.

ἀλλ' οἷος ἀπηλιώτου, ἢ βορέου. Uterque ventus glaciem gignere ſolet. Quid igitur hic iisdem tribuitur *κρύσταλλος ὑδατώδης, οὐ βέβαιος ὥστ' ἐπελθεῖν?* Etiam Scholiaſta hanc difficultatem ſenſit, quam tollere ſibi videbatur, ſi ἢ acciperet ſignificatione *quam*. *Βορέας γὰρ*, inquit, *βέβαιον ποιεῖ κρύσταλλον, ἀπηλιώτης δὲ ὑδατώδη.* Sed haec interpretatio vana eſt. Neque enim *ἀπηλιώτου* ea eſt vis, quam vult Scholiaſtes, neque totius loci ſtructura ita conformata eſt, ut iſte ſenſus erui poſſit. Supra c. 22 init. Auctor demonſtraverat, noctem illam, qua murum transſcendebant, obſcuram et pluvia et vento turbidam fuiſſe. Itaque, Euro flante et Aquilone, glacies quidem gigni potuit, quod alio vento non ſolet, ſed propter humidiorem aëris temperationem non potuit ad eam craſſitudinem creſcere, quae coelo ſereno et tranquillo fieri ſolet. — *ὑπερέχοντες*, int. *σώματι*. *ἐγένετο*, ceſſit bene.

24. *ἐς Ἐρύθρας καὶ Ὑσίας*, Boeotiae oppida, ſicut paullo ſuperius *Δρυὸς κεφαλαί*. Cithaeronis quaedam anguſtiae, quas Herodotus 9, 39. *ἐκβολὰς τὰς Κιθαιρωνίδας* appellat. Easdem a Boeotis *Τρεῖς Κεφαλὰς* dictas eſſe, idem ſcriptor monet l. c. — *Ἀνδροκράτους ἡρῷον* memorat etiam Herodot. 9, 25.

λαβόμενοι τῶν ὀρῶν, διαφεύγουσιν ἐς τὰς Ἀθήνας, ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων. Εἰσὶ γάρ τινες αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν, πρὶν ὑπερβαίνειν· εἷς δ᾽ ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη. Οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο, τῆς βοηθείας παυσάμενοι· οἱ δ᾽ ἐκ τῆς πόλεως Πλαταιεῖς, τῶν μὲν γεγενημένων εἰδότες οὐδὲν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων, ὡς οὐδεὶς περίεστι, κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς· μαθόντες δὲ τὸ ἀληθὲς, ἐπαύσαντο. Οἱ μὲν δὴ τῶν Πλαταιέων ἄνδρες οὕτως ὑπερβάντες ἐσώθησαν.—

25. Ἐκ δὲ τῆς Λακεδαίμονος, τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος, ἐκπέμπεται Σάλαιθος ὁ Λακεδαιμόνιος ἐς Μιτυλήνην τριήρει. Καὶ πλεύσας ἐς Πύῤῥαν, καὶ ἐξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινὰ, ᾗ ὑπερβατὸν ἦν τὸ περιτείχισμα, διαλαθὼν ἐσέρχεται ἐς τὴν Μιτυλήνην· καὶ ἔλεγε τοῖς προέδροις, ὅτι ἐσβολή τε ἅμα ἐς τὴν Ἀττικὴν ἔσται, καὶ αἱ τεσσαράκοντα νῆες παρέσονται, ἃς ἔδει βοηθῆσαι αὐτοῖς· προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα, καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος. Καὶ οἱ μὲν Μιτυληναῖοι ἐθάρσουν τε, καὶ πρὸς τοὺς Ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην, ὥςτε ξυμβαίνειν. Ὅ, τε χειμὼν ἐτελεύτα οὗτος, καὶ τέταρτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε. ὃν Θουκυδίδης ξυνέγραψε.

26. Τοῦ δ᾽ ἐπιγιγνομένου θέρους, οἱ Πελοποννήσιοι, ἐπειδὴ τὰς ἐς τὴν Μιτυλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν ἔχοντα Ἀλκίδαν, ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες, αὐτοὶ ἐς τὴν Ἀττικὴν καὶ οἱ

25. Mitylenenſes interim Salaethi, Spartani legati, adventus erigit ad meliorem ſpem concipiendam. 26. *Quinto*

25. προαποπεμφθῆναί τε αὐτός. Transitus a conſtructione particulae ὅτι ad infinitivum. Supra 3, 3. Ἐσηγγέλθη γὰρ αὐτοῖς, ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτὴ, ἐν ᾗ πανδημεὶ Μιτυληναῖοι ἑορτάζουσι, καὶ ἐλπίδα εἶναι, ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω. Cf. 4, 57. 46.

26. ἐπειδὴ τὰς ἐς τὴν Μι-

ξύμμαχοι ἐσέβαλον· ὅπως οἱ Ἀθηναῖοι, ἀμφοτέρωθεν θορυβούμενοι, ἧσσον ταῖς ναυσὶν ἐς τὴν Μιτυλήνην καταπλεούσαις ἐπιβοηθήσωσιν. Ἡγεῖτο δὲ τῆς ἐσβολῆς ταύτης Κλεομένης, ὑπὲρ Παυσανίου τοῦ Πλειστοάνακτος υἱέος, βασιλέως ὄντος καὶ νεωτέρου ἔτι, πατρὸς δὲ ἀδελφὸς ὤν. Ἐδῄωσαν δὲ τῆς Ἀττικῆς τά τε πρότερον τετμημένα, καὶ εἴ τι ἐβεβλαστήκει, καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς παρελέλειπτο· καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο τοῖς Ἀθηναίοις μετὰ τὴν δευτέραν. Ἐπιμένοντες γὰρ ἀεὶ ἀπὸ τῆς Λέσβου τι πεύσεσθαι τῶν νεῶν ἔργον, ὡς ἤδη πεπεραιωμένων, ἐπεξῆλθον τὰ πολλὰ τέμνοντες. Ὡς δ' οὐδὲν ἀπέβαινεν αὐτοῖς ὧν

belli anno Peloponnesii quartam incursionem in Atticam faciunt, quae gravior erat omnibus praeter secundam.

τυλήνην δύο καὶ τεσσ. — προστάξαντες. Duo h. l. offensioni sunt; primum quod dicit *duo et quadraginta*, cum de iisdem locutus c. 16. 25. quadraginta tantum numeret, totidemque c. 29 et 69 repetat, ne quis putet, prioribus locis de parandis, hoc nostro autem loco de paratis sermonem esse. Altera difficultas est in verbis ἔχοντα Ἀλκίδαν, ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες, ubi alterum participium videtur redundare, aut ἔχοντα, aut προστάξαντες. Utrique difficultati variis modis interpretes mederi conati sunt, quos cognoscere cui operae pretium videatur, is adeat Popponem, uberius de hoc loco disputantem Obss. critt. p. 203 seqq. Eius sententiam amplectimur, nihil in toto loco esse mutandum. Cum enim codices nihil varietatis praebeant, unde de veritate vulgatae lectionis dubitari possit, pleonasmus ferendus est, quem ne alibi quidem vitavit Thucydides. Ita 2, 48. pluribus, quam opus erat, verbis dicit: τὰς αἰτίας, ἅστινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν. Neque aliter iudicandum est de loco 3, 11. ὑποχειρίους ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν, καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου. Cf. 3, 68. ubi Plataeae narrantur eversae esse ἐς ἔδαφος ἐκ τῶν θεμελίων. Kistemakerus quidem προστάξαντες de secretis quibusdam mandatis intelligit. Sed praeterquam quod illud participium nimis nude ita positum esset, Thucydides hoc sensu non utitur verbo προστάσσειν, sed potius ἐπιτάσσειν, ut iam monuit Poppo. Facile subaudias αὐτόν. Quod autem ad alteram difficultatem pertinet, hic locus ita defendi possit, Thucydidem alibi, ubi minus intererat accurata definitio, rotundo numero usum, hoc autem loco, ubi classem profectam narrat, accuratius navium numerum retulisse.

πατρὸς δὲ ἀδελφὸς ὤν. Vulgo abest δέ, quod ex codd. cum Benedict. adieci.

προςεδέχοντο, καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν, καὶ διελύθησαν κατὰ πόλεις.+

27. Οἱ δὲ Μιτυληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ ἧκον ἀπὸ τῆς Πελοποννήσου, ἀλλὰ ἐνεχρόνιζον, καὶ ὁ σῖτος ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς Ἀθηναίους διὰ τάδε. Ὁ Σάλαιθος, καὶ αὐτὸς οὐ προςδεχόμενος ἔτι τὰς ναῦς, ὁπλίζει τὸν δῆμον, πρότερον ψιλὸν ὄντα, ὡς ἐπεξιὼν τοῖς Ἀθηναίοις· οἱ δὲ, ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν ἀρχόντων, κατὰ ξυλλόγους τε γιγνόμενοι, ἢ τὸν σῖτον ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερὸν, καὶ διανέμειν ἅπασιν, ἢ αὐτοὶ ξυγχωρήσαντες πρὸς Ἀθηναίους ἔφασαν παραδώσειν τὴν πόλιν.

28. Γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν, οὔτ' ἀποκωλύσειν δυνατοὶ ὄντες, εἴ τ' ἀπομονωθήσονται τῆς ξυμβάσεως, κινδυνεύσοντες, ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε Πάχητα καὶ τὸ στρατόπεδον, ὥςτε Ἀθηναίοις μὲν ἐξεῖναι βουλεῦσαι περὶ Μιτυληναίων, ὁποῖον ἄν τι βούλωνται, καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτοὺς, πρεσβείαν δὲ ἀποστέλλειν ἐς τὰς Ἀθήνας Μιτυληναίους περὶ ἑαυτῶν· ἐν ὅσῳ δ' ἂν πάλιν ἔλθωσι, Πάχητα μήτε δῆσαι Μιτυληναίων μηδένα, μήτε ἀνδραποδίσαι, μήτε ἀποκτεῖναι. Ἡ μὲν ξύμβασις αὕτη ἐγένετο. Οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μιτυληναίων, περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐςῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι. Πάχης δ' ἀναστήσας αὐτοὺς, ὥςτε

27. Interea Mitylenenſes, ſeditione plebis coacti, cum Pachete conveniunt de deditione, 28. certis conditionibus, quibus tamen illi, qui Lacedaemoniorum amici fuerant, ſidem non habent. Hi ad aras deorum fugientes,

27. ὁ Σάλαιθος. Sequens οἱ δέ oſtendit, particulam μέν hoc loco omiſſam eſſe, quod non raro fit. Vid. ad 1, 12.

28. ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθ. Sententia eſt: etſi fides incolumitatis ab Athenienſibus data erat, *tamen* (ὅμως) ad aras confugerunt. cf. ad 3, 49.

μὴ ἀδικῆσαι, καταιτίθεται ἐς Τένεδον, μέχρι οὗ τοῖς Ἀθηναίοις τι δόξῃ. Πέμψας δὲ καὶ ἐς τὴν Ἄντισσαν τριήρεις, προσεκτήσατο, καὶ τἄλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο, ᾗ αὐτῷ ἐδόκει.

29. Οἱ δ' ἐν ταῖς τεσσαράκοντα ναυσὶ Πελοποννήσιοι, οὓς ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες, περί τε αὐτὴν τὴν Πελοπόννησον ἐνδιέτριψαν, καὶ κατὰ τὸν ἄλλον πλοῦν σχολαῖοι κομισθέντες, τοὺς μὲν ἐκ τῆς πόλεως Ἀθηναίους λανθάνουσι, πρὶν δὴ τῇ Δήλῳ προσέσχον· προσμίξαντες δ' ἀπ' αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ, πυνθάνονται πρῶτον, ὅτι ἡ Μιτυλήνη ἑάλωκε. Βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι, κατέπλευσαν ἐς Ἔμβατον τῆς Ἐρυθραίας. Ἡμέραι δὲ μάλιστα ἦσαν τῇ Μιτυλήνῃ ἑαλωκυίᾳ ἑπτὰ, ὅτ' ἐς τὸ Ἔμβατον κατέπλευσαν. Πυθόμενοι δὲ τὸ σαφὲς, ἐβουλεύοντο ἐκ τῶν παρόντων· καὶ ἔλεξεν αὐτοῖς Τευτίαπλος ἀνὴρ Ἠλεῖος τάδε.

30. ,,ἈΛΚΙΔΑ, καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μιτυλήνην, πρὶν ἐκπύστους γενέσθαι, ὥσπερ ἔχομεν. Κατὰ γὰρ τὸ εἰκὸς, ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων,

a Pachete incolumes Tenedum mittuntur. 29. Sero appropinquat classis Peloponnesiorum, duce Alcida, cumque, comperta Mitylenes deditione, de ratione belli gerendi deliberaretur, Teutiaplus Eleus suadet 30. repen-

29. προσμίξαντες δ' ἀπ' αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ. Myconus ex Cycladibus erat; Icarus Sporadibus annumeratur. Sed a Delo versus Ioniam profecti Myconum prius quam Icarum attingere debebant; nisi forte lentius per insulas errabant. — Οἱ ἐκ τῆς πόλεως Ἀθηναῖοι sunt, qui in duabus navibus, Salaminia et Paralo erant. Vid. ad c. 33.

Ἔμβατον τῆς Ἐρυθραίας. Erat haud dubie locus vel pagus in agro Erythraeo. Ita Stephanus Byz. τόπος τῆς Ἐρυθραίας. Paullo ante pro Δήλῳ προσέσχον Cl. Gr. Reg. habent Δήλῳ ἔσχον.

30. ὥσπερ ἔχομεν. Distinxi ante haec verba, quia pertinent ad remotiorem infinitivum πλεῖν ἡμᾶς, et significant *illico*, *statim*. Exempla attulit Duckerus. Etiam sequentia hunc sensum confirmant. Perperam Valla vertit: ,,priusquam palam fit, quemadmodum apud nos agatur.

πολὺ τὸ ἀφύλακτον εὑρήσομεν· κατὰ μὲν θάλασσαν καὶ πάνυ, ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον, καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα. εἰκὸς δὲ, καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον, ὡς κεκρατηκότων, διεσπάρθαι. Εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτὸς, ἐλπίζω μετὰ τῶν ἔνδον (εἴ τις ἄρα ἡμῖν ἐστιν ὑπόλοιπος εὔνους) καταληφθῆναι ἂν τὰ πράγματα. Καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου, ἢ τὸ τοιοῦτον· ὃ εἴ τις στρατηγὸς ἔν τε αὐτῷ φυλάσσοιτο, καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο."

31. Ὁ μὲν, τοσαῦτα εἰπὼν, οὐκ ἔπειθε τὸν Ἀλκίδαν. Ἄλλοι δέ τινες τῶν ἀπ' Ἰωνίας φυγάδων, καὶ οἱ Λέσβιοι ξυμπλέοντες παρῄνουν, ἐπειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται, τῶν ἐν Ἰωνίᾳ πόλεων καταλαβεῖν τινα, ἢ Κύμην τὴν Αἰολίδα, ὅπως ἐκ πόλεως ὁρμώμενοι τὴν Ἰωνίαν ἀποστήσωσιν. Ἐλπίδα δ' εἶναι· οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι.

tinum in Athenienſes impetum, 31. adſtipulantibus ei

τὸ καινὸν τοῦ πολέμου. Lectio *κενόν*, quae eſt in quatuor codicibus, iam Scholiaſtae erat nota, eademque et Bredovio et Benedicto placebat, licet alio uterque modo intelligeret, Benedictus de eo, *quod omnem in bello efficaciam eventu optato privat*, Bredovius pro *τὰ γυμνά* (die Blöſse) accipiens. Utraque lectio antiqua nec ſenſu caſſa eſt; ſed vulgatam genuinam puto, et cum Leveſquio intelligo *quicquid hoſti novum vel inexſpectatum accidit.* Poſt *τοιοῦτον* autem colon poſui pro commate, ut *τὸ τοιοῦτον* potius ad eam actionem, quam commendat orator, (*τὸ ἐπιπεσεῖν ἀφυλάκτως τοῖς ἐχθροῖς*) referatur, quam cum ſequentibus arctius coniungatur.

31. *οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι.* Boni quidem libri exhibent *οὐδενί.* Quae lectio ſi hunc ſenſum funderet: „ſe nemini (Ionum) praeter voluntatem huc veniſſe cum claſſe Peloponneſiorum," fortaſſis recipienda eſſet; quamquam Thucydidem, ſi hoc volebat, ſcripturum fuiſſe putes: *οὐδὲν γὰρ ἀκουσίοις ἀφῖχθαι.* Praeterea illa lectio etiam inſolentior eſt, quia *ἑκουσίως* et *ἀκουσίως* numquam dativo iuncta reperiuntur. Non magis autem vulgata ferenda, ſi eius ſententia ex linguae uſu ea ſit, quam volunt: „ſe (nempe Iones exſules) non praeter voluntatem, ſed ſponte, ad Peloponneſios acceſſiſſe." Nam etiam per ſe levius eſſet hoc argumen-

Καὶ τὴν πρόσοδον ταύτην μεγίστην οὖσαν Ἀθηναίων ἢν ὑφέλωσι, καὶ ἅμα ἢν ἐφορμῶσιν αὐτοὺς σφίσι δαπάνη γίγνηται — Πείσειν τε οἴεσθαι καὶ Πισσούθνην,

Ionibus exſulibus; ſed Alcidae ſententia de reditu vincit.

tum, cum ex eo, quod exſules libenter faciunt neque coacti, non ſatis tuto colligi poſſit, quid ceteri Iones facturi ſint. Sed ne linguae quidem uſui ſatis convenit illa interpretatio. Ita enim Thucydides haud dubie ſcripſiſſet: *οὐδὲν γὰρ ἄκοντες ἀφῖχθαι.* Recte enim inter *ἄκων* et *ἀκούσιος* hoc diſcrimen eſſe ſtatuit Popponis cenſor in Ephem. Jenenſ., ut illud active, hoc paſſive uſurpari dicat. Niſi igitur ea ſententia, quam ſupra priore loco poſuimus, ex vulgata lectione *οὐδὲν γὰρ ἀκουσίως* erui poſſit (quod etiamnum putamus, propterea quod adverbium ſimpliciter modum et conditionem rei gerendae deſignat): *ἀκουσίοις* reponendum cenſeamus. Quam coniecturam propoſuit vir doctus in *Libellis philologicis* Wratiſl. 1817. in quibus Popponis Obſervationes critt. recenſentur.

καὶ τὴν πρόσοδον ταύτην — γίγνηται. De hoc loco multus eſt Poppo p. 165 ſeqq., quem legere operae pretium eſt. In ſumma tamen re ab eo disſentimus. Maxima enim difficultas inde oritur, quod verbis *ἢν ὑφέλωσι* apodoſis deeſſe videatur. Recte quidem Poppo eos redarguit, qui apodoſin aut in verbis *σφίσι δαπάνη γίγνηται*, aut in verbis *πείσειν γε* (ita enim pro *τέ* legere volebat Benedict.) *οἴεσθαι* ineſſe putabant. Idem tamen an bene ex codicibus plurimis reſtituerit lectionem *αὐτοῖς* pro vulgato *αὐτούς*, quod defendit eius cenſor l. l., ambigi poteſt. Certe facilius *αὐτούς*, inter duos dativos poſitum, corrumpi potuit in *αὐτοῖς*, quam vice verſa. Si *αὐτοῖς* verum eſt, et verba cum praepoſitione *ἐπί* compoſita accuſativum numquam admittunt, pronomina *αὐτοῖς σφίσι* iungenda eſſe, recte demonſtravit Poppo. Ceterum, Bredovium ſecutus, poſt *ἀφῖχθαι* minus plene interpunxit, ut ſequentia membra *καὶ τὴν πρόσοδον — ὑφέλωσι*, et *καὶ ἅμα ἢν — γίγνηται* cum praecedentibus verbis *οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι* tamquam certum argumentum coniungantur. Sed cum ſententia huius loci haec ſit: „Si Athenienſibus maximos illos reditus eripiant, et ſimul ipſis ad bellum ſumptus inde praeſto ſint I. ſuppetant;" haec poſterior certe propoſitionis pars minime quadrat, ad rationem, cur non ingrati venerint Iones Ionibus, reddendam et probandam. Nam quis inde, quod Lacedaemonii, ſi Iones ab Athenienſibus deficiant, opes et copias ad bellum ſuſtentandum ab ipſis Ionibus acquirant, colligere poſſit, Iones exſules cum Peloponneſiis Ionibus gratos veniſſe? Poterantne ſuas ipſi opes, ſi ita videbatur, in bellum adverſus Athenienſes impendere, ſi ipſorum ſumptibus totum bellum gerendum erat? Auxilium Peloponneſiorum Ionibus acceptum eſſe poterat, non iſta dominationis mutatio. Manifeſto Thucydides duplex commodum ex Ionum amicitia Peloponneſiis percipiendum arguit. Primum enim de Athenienſibus multa detrahebantur; deinde ſimul Spartanis ea accedebant. Inepte autem Cenſor is, cuius modo mentionem fecimus, verba *οὐδὲν γὰρ ἀκουσ. ἀφῖχθ.* parentheſin facit. Ita

ὥστε ξυμπολεμεῖν. Ὁ δὲ οὐδὲ ταῦτα ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης εἶχεν, ἐπειδὴ τῆς Μιτυλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ Πελοποννήσῳ πάλιν προσμῖξαι. +

32. Ἄρας δὲ ἐκ τοῦ Ἐμβάτου παρέπλει· καὶ προσχὼν Μυοννήσῳ τῇ Τηΐων, τοὺς αἰχμαλώτους, οὓς κατὰ πλοῦν εἰλήφει, ἀπέσφαξε τοὺς πολλούς. Καὶ ἐς τὴν Ἔφεσον καθορμισαμένου αὐτοῦ, Σαμίων τῶν ἐξ Ἀναίων ἀφικόμενοι πρέσβεις ἔλεγον, οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτὸν, εἰ ἄνδρας διέφθειρεν οὔτε χεῖρας ἀνταιρομένους, οὔτε πολεμίους, Ἀθηναίων δὲ ὑπ' ἀνάγκης ξυμμάχους· εἰ δὲ μὴ παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φιλίαν προσάξεσθαι, πολὺ δὲ πλείους τῶν φίλων πολεμίους ἕξειν. Καὶ ὁ μὲν ἐπείσθη τε, καὶ Χίων ἄνδρας, ὅσους εἶχεν ἔτι, ἀφῆκε, καὶ τῶν ἄλλων τινάς. Ὁρῶντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι οὐκ ἔφευγον, ἀλλὰ προσεχώρουν μᾶλλον, ὡς

32. Is praeter Ioniae littus usque Ephefum navigans, ad Myonnefum appellit et captos quosdam Iones inhumane

enim Thucydides dixerit: Spem effe, Peloponnefios *Ioniam* Athenienfibus erepturos, fi *Ioniam* (unde maximos illos reditus percipiant Athenienfes) iis detraxerint. Omitto alias difficultates, quibus haec ratio obnoxia eft. Quae cum ita fint, non amplius dubitamus, quin totus hic locus protafin contineat, cui apodofis defit, facile fubaudienda illa quidem, nempe καλῶς ἔχειν. Itaque lineolam pofuimus, apofiopefis indicem. Simillimus locus eft 3, 3. Καὶ ἐλπίδα εἶναι, ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω· Καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα—εἰ δὲ μὴ, Μιτυληναίοις εἰπεῖν, ναῦς τε παραδοῦναι, καὶ τείχη καθελεῖν.

ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης εἶχεν i. e. in eam maxime fententiam inclinabat.

32. παρέπλει, int. τὴν Ἰωνίαν, cuius terrae littora legebat, verfus meridiem praeternavigans atque huc illuc appellens. Benedictus refcripfit προσσχὼν pro προσχὼν fimplici σ, ne derivetur a προέχειν. Cf. 4, 11. ubi προσσχεῖν fimiliter effet fcribendum. Sed vide notam ad 1, 15. Μυοννήσῳ duplici ν fatis muniyit Duckerus ad h. l. Idem paullo poft ἀνταιρομένους, quod eft in Reg. Caff. Gr. a correctore, et edd. nonnullis, veram lectionem effe docuit. Vulgo ἀνταιρουμένους legitur.

Σαμίων τῶν ἐξ Ἀναίων. Supra c. 19. Ἀναιῖται una cum Caribus nominantur, et inter Maeandri fluvii accolas referuntur. Non Samiorum colonia fuit, fed Samii exfules eo fe contulerant, quod obiter narrat Thucyd. 4, 75.

Ἀττικαῖς· καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον, μή ποτε, Ἀθηναίων τῆς θαλάσσης κρατούντων, ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν.

33. Ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος, καὶ φυγὴν ἐποιεῖτο. Ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Παράλου, ἔτι περὶ Κλάρον ὁρμῶν· αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι. Καὶ δεδιὼς τὴν δίωξιν, ἔπλει διὰ τοῦ πελάγους, ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ. Τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν. Ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας, μέγα τὸ δέος ἐγένετο, μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο μένειν, πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις. Αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ Κλάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία ἔφρασαν. Ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Λάτμου τῆς νήσου ἐπεδίωξεν· ὡς δ' οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει. Κέρ-

trucidat, taxatus eo nomine a Samiis Anaeïtis. 33. Reliquum iter ſumma celeritate et quaſi fugiens fecit, quia

33. τῆς Σαλαμινίας καὶ Παράλου. Erant Athenienſibus naves duae ὑπηρετίδες, quibus utebantur ad θεωρίας, i. e. ſacras legationes (ἡ Δηλία), et ad publica negotia, ut vel praetoribus aliquid nuntiarent, vel mandata populi perferrent, vel etiam domum reducerent reos, qui Athenas arceſſebantur. Eae naves appellabantur ἡ Σαλαμινία et ἡ Πάραλος, quarum ſaepe mentio fit apud Thucydidem. Vid. 3, 77. 6, 53. 61. 8, 74. cf. Schol. ad Ariſtoph. Aves V. 147.

περὶ Κλάρον. Eſt vicus Ioniae prope Colophonem, unde Apollo *Clarius* nominatur. Poppo, qui pro Κλάρον ex coniectura repoſuit Ἴκαρον, et paullo inferius ἐν τῇ Ἰκάρῳ, in eo certe erravit, quod dicit, Alcidam ab Epheſo demum Clarum venire potuiſſe, quod itineris ratio et locorum ſitus contra eſſe docet. Omnino autem huic coniecturae timidus Alcidae animus refragatur, cui minime congruum videtur eſſe, ſi iam apud Icarum ab hoſtibus ſe conſpectum ſentiret, tam diu in illo mari circumnavigare Ioniae littora.

καὶ μέχρι μὲν Λάτμου τῆς νήσου. Inſulae Latmi nemo veterum, quotquot ſuperſunt, fecit mentionem. Fuit autem mons et urbs huius nominis in Caria ſita. Itaque, probantibus aliis, Palmerius coniecit, Πάτμου eſſe legendum, quod ipſum in duobus codd. Ar. et Vindob. legitur, eſſetque recipiendum, ſi maior eſſet horum codicum auctoritas et fides.

δος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρατόπεδόν τε ποιεῖσθαι, καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν.

34. Παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων, οὗ κατῴκηντο Κολοφώνιοι, τῆς ἄνω πόλεως ἑαλωκυίας ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων, κατὰ στάσιν ἰδίαν ἐπαχθέντων. Ἑάλω δὲ μάλιστα αὕτη, ὅτε ἡ δευτέρα Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο. Ἐν οὖν τῷ Νοτίῳ, οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι, αὖθις στασιάσαντες, οἱ μὲν, παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβάρων ἐπαγόμενοι, ἐν διατειχίσματι εἶχον, καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ μηδίσαντες, ξυνεσελθόντες ἐπολίτευον· οἱ δὲ, ὑπεξελθόντες τούτους, καὶ ὄντες φυγάδες, τὸν Πάχητα ἐπάγονται. Ὁ δὲ, προκαλεσάμενος ἐς λόγους Ἱππίαν τὸν ἐν τῷ διατειχί-

Atheniensium duae naves eum conspexerant. 34. Paches eum aliquatenus secutus, cum nusquam deprehenderet, reversus ad Notium appellit, quae inferior est Colophonis pars (superiorem tum temporis Persae tenebant). Ibi se-

καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν. Paches pro lucro habebat, quod Peloponnesiorum classem nusquam assecutus esset. Si enim alicubi esset deprehensa, stationem in insula vel in littore quodam facere, et praesidium, quod in ipsos Athenienses irruere posset, relinquere coacta esset.

34. κατὰ στάσιν ἰδίαν ἐπαχθέντων. Intestinae seditionis tempore barbari cum Itamane arcessebantur, nempe ab altera factione. Ad hanc sententiam mutavi etiam interpunctionem, cum olim distingueretur post Ἰταμάνους.

ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβ. Articulum τῶν ante βαρβάρων, quem novem codices exhibent, recte defendit Benedictus. Cf. quae notavimus ad 1, 71. — ἐν διατειχίσματι, quo nempe Notium a superiore urbe (vetere Colophone) separaretur. Τεῖχισμα intelligo de exteriore Notii muro, qui haud dubie una etiam Colophonem cingebat, ut iam Kistemakerus observavit. Sed quod idem addit: „quem capiens Paches ex utraque urbe hostes eiecit" falsum est. Non enim Colophonem, quod oppidum barbari tenebant, sed Notium tantum Colophoniis tradidisse narratur Paches, quod solum ceperat, cum Colophon munitione (διατειχίσματι) a Notio dirempta esset.

ὁ δὲ προκαλεσάμενος. Ita scribendum esse ex Codd. Cl.

σματι Ἀρκάδων ἄρχοντα, ὥστε, ἢν μηδὲν ἀρέσκον λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ ὑγιᾶ· ὁ μὲν ἐξῆλθε παρ' αὐτόν· ὁ δ' ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως, καὶ οὐ προσδεχομένων, αἱρεῖ, τούς τε Ἀρκάδας καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει· καὶ τὸν Ἱππίαν ὕστερον ἐσαγαγὼν, ὥσπερ ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν, ξυλλαμβάνει, καὶ κατατοξεύει. Κολοφωνίοις δὲ Νότιον παραδίδωσι, πλὴν τῶν μηδισάντων. Καὶ ὕστερον Ἀθηναῖοι, οἰκιστὰς πέμψαντες, κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴ που τὶς ἦν Κολοφωνίων.

35. Ὁ δὲ Πάχης, ἀφικόμενος ἐς τὴν Μιτυλήνην, τήν τε Πύῤῥαν καὶ Ἔρεσον παρεστήσατο· καὶ Σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον, ἀποπέμπει ἐς τὰς Ἀθήνας, καὶ τοὺς ἐκ τῆς Τενέδου Μιτυληναίων ἄνδρας ἅμα, οὓς κατέθετο, καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως. Ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον· τοῖς δὲ λοιποῖς ὑπομένων καθίστατο τὰ περὶ τὴν Μιτυλήνην καὶ τὴν ἄλλην Λέσβον, ᾗ αὐτῷ ἐδόκει.

ditione facta Perſarum amici rerum potiti erant. Sed ab altera factione adductus Paches, Hippia, Arcadum duce ad colloquium vocato et decepto, Notium capit, Colophoniisque tradit. 35. Quo facto Mitylenen reverſus, Salaethum Laconem ceterosque proditionis reos Athenas mittit, ipſe cum parte copiarum ad Mitylenen remanet.

Cam. et quinque Pariſſ. docuit Benedictus, cum vulgo *προσκαλεσάμενος* legeretur. Ceterum huic nominativo abſoluto, ſcabram reddenti orationem, ſimillimus locus exſtat 4, 80. *Καὶ προκρίναντες ἐς δισχιλίους* —. Auctor ab initio periodi ſcripſit, quaſi continuaturus *ἐξελθόντα ἐκεῖνον ἐν φυλακῇ εἶχε καὶ προσβαλὼν* —; et continuavit, quaſi ab initio ſcripſiſſet *Τοῦτον δὲ προκαλεσάμενοι*. 4, 103. *εἰωθότες οἱ ἄνθρωποι — διωθεῖσθαι*. Eurip. Phoen. 291. *μέλλων δὲ πέμπειν με, ἐν τῷδε ἐπεστράτευσαν Ἀργεῖοι πόλιν*. Cf. Perizon. ad Ael. V. H. 2, 11.

35. *Μιτυληναίων*. Ita pro *Μιτυληναίοις* plerique codices legi iubent. De illis Mitylenenſibus vide cap. 28.

36. Ἀφικομένων δὲ τῶν ἀνδρῶν καὶ τοῦ Σαλαίθου, οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον, τά τ' ἄλλα, καὶ ἀπὸ Πλαταιῶν (ἔτι γὰρ ἐπολιορκοῦντο) ἀπάξειν Πελοποννησίους· περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο. Καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μιτυληναίους, ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι· ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν, ὅτι οὐκ ἀρχόμενοι, ὥςπερ οἱ ἄλλοι, ἐποιήσαντο, καὶ προςξυνελάβοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες, ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι. Οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. Πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων, κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μιτυληναίους. Καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς, καὶ ἀναλογισμὸς, ὠμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι, πόλιν ὅλην διαφθεῖραι μᾶλλον, ἢ οὐ τοὺς αἰτίους. Ὡς δ' ᾔσθοντο τοῦτο τῶν Μιτυληναίων οἱ

36. Salaethum Athenienſes ſtatim necant, ac de omnibus Mitylenenſibus, ſuadente Cleone, atrociſſimum decretum faciunt. Sed iam profecta nave, quae decretum illud ad Pachetem transferret, mutatio fit conſilii, ac, denuo convocata eccleſia, lenior ſententia proponitur. Tum

36. *ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν.* Pro dativo ἐπικαλοῦσι nominativus *ἐπικαλοῦντες* ſequitur verba *ἔδοξεν αὐτοῖς*, quaſi praeceſſerit ἐψηφίσαντο. Similiter 4, 108 med. Καὶ γὰρ καὶ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον, ὅση ὕστερον διεφάνη, τὸ δὲ πλέον βουλήσει *κρίνοντες* ἀσαφεῖ, ἢ προνοίᾳ ἀσφαλεῖ. 7, 70. Πολλὴ γὰρ δὴ παρακέλευσις καὶ βοὴ ἀφ' ἑτέρων τοῖς κελευσταῖς ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν *ἐπιβοῶντες* —. Cf. 5, 70. 6, 24. 61. 7, 42. Verba οὐκ ἀρχόμενοι de meliore conditione, qua Mitylenaeſes (cf. c. 10.) prae ceteris Athenienſium ſociis uterentur, accipio. Mox *ὁρμὴ* eſt ſtudium, cupiditas belli inferendi. Auctam Lacedaemoniorum audaciam ſeditione Mitylenenſium Athenienſes putabant; claſſem enim illos, niſi hoc auxilio fretos, numquam in Ioniam miſſuros fuiſſe.

πόλιν ὅλην διαφθεῖραι μᾶλλον, ἢ οὐ τοὺς αἰτίους. Commixta eſt duplex ſtructurae ratio: πόλιν ὅλην διαφθεῖραι, καὶ οὐ τοὺς αἰτίους, et διαφθεῖραι μᾶλλον πόλιν ὅλην, ἢ τοὺς αἰτίους.

παρόντες πρέσβεις, καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει, ὥςτε αὖθις γνώμας προςθεῖναι. Καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθις τινὰς σφίσιν ἀποδοῦναι βουλεύσασθαι. Καταστάσης δ' εὐθὺς ἐκκλησίας, ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο, καὶ Κλέων ὁ Κλεαινέτου, ὅςπερ καὶ τὴν προτέραν ἐνενικήκει, ὥςτε ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν, τῷ τε δήμῳ παρὰ πολὺ ἐν τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις, ἔλεγε τοιάδε.

57. „ΠΟΛΛΑΚΙΣ μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ νῦν ὑμετέρᾳ περὶ Μιτυληναίων μεταμελείᾳ. Διὰ γὰρ τὸ καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους, καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε. Καὶ ὅ, τι ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε, ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι· οὐ σκοποῦντες, ὅτι τυραννίδα ἔχετε τὴν ἀρχήν,

Cleon, homo vehementiſſimus, 57 — 40. Athenienſibus

Similis huic locus eſt 2, 62. *Οὐδ' εἰκὸς, χαλεπῶς φέρειν αὐτῶν μᾶλλον, ἢ οὐ κήπιον — νομίσαντας, ὀλιγωρῆσαι:* Ubi οὐ, niſi ad participium ſolum referatur, quod contra Thucydidis morem eſt, πλεονάζειν dixeris. Sed confuſa etiam illo loco duplex ratio dicendi per μᾶλλον ἤ, et χαλεπῶς φέρειν, (καὶ) οὐκ ὀλιγωρῆσαι. Vid. loca Dionyſii Hal. a Duckero allata ad locum noſtrum. — Paullo ante ἐγνῶσθαι propria ſignificatione de ſententia iudicum uſurpatur.

ὥςτε αὖθις γνώμας προςθεῖναι. Cum Benedicto προςθεῖναι recepimus pro vulgato προθεῖναι. Praeter codicum plurimorum conſenſum etiam uſus loquendi (ψῆφον προςτίθεσθαι 1, 40.) hanc lectionem tuetur.

ἔνδηλον ἦν — ἀποδοῦναι βουλεύσασθαι. Manifeſtum erat, plures cives velle, ut quidam ipſis denuo poteſtatem facerent in eccleſia conſultandi.

37. ὅτι ἀδύνατόν ἐστιν. Ita codices plurimi cum Schol. Vulgo ἀδύνατός ἐστιν. Plat. Phaed. c. 56. *Παντὸς μᾶλλον ἄρα ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον.* Cf. Buttmann. Gr. Gr. p. 435 ſq.

τὸ αὐτὸ ἔχετε, int. ἀδεὲς καὶ ἀνεπιβούλευτον.

οὐκ ἐπικινδύνως — μαλακίζεσθαι. Iunge: οὐχ ἡγεῖσθε μαλακίζεσθαι ἐπικινδύνως ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν.

καὶ προσεπιβουλεύοντας αὐτούς, καὶ ἄκοντας ἀρχομένους· [οἳ] οὐκ, ἐξ ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοί, ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ ὧν ἂν ἰσχύϊ μᾶλλον, ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. Πάντων δὲ δεινότατον, εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα, ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν, ἢ καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας· οἵ τε φαυλότεροι τῶν ἀνθρώπων, πρὸς τοὺς ξυνετωτέρους, ὡς ἐπὶ τὸ πλεῖστον ἄμεινον οἰκοῦσι τὰς πόλεις. Οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι, τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες

inconſtantiam ac levitatem exprobrat, et publicae ſalutis

[οἳ] οὐκ, ἐξ ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοί, ἀκροῶνται ὑμῶν. Pronomen relativum οἳ a plerisque codicibus ignoratur, nec videtur lectum eſſe a Scholiaſta, qui ἀκροῶνται pro ἀκροωμένους inſolenter poſitum eſſe recte dicit, quod verum non eſſet, ſi οἳ legeretur. Quare Poppo explicationis cauſa pronomen cenſet adiectum eſſe a neſcio quo interprete. Quo ſublato, etſi abruptior oratio fiat, et durior ſit transitus ad verbum finitum; tamen et hic codicum auctoritati obſequendum eſt, praeſertim cum etiam alibi ſatis abrupte a participio ad verbum finitum transeat Thucydides, cuius rei exempla iam nonnulla attulit Poppo. 1, 57. Δεδιώς τε ἔπρασσεν, ἔς τε τὴν Λακεδαίμονα πέμπων — καὶ Κορινθίοις προσεποιεῖτο, τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι (pro προσποιούμενος et προσφέρων). Similiter 4, 4. καὶ ξυνετίθεσαν, ὡς ἕκαστόν τι ξυμβαίνοι, proprie continuandum erat καὶ ξυντιθέντες. adde 4, 72 init. Ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν, διανενοημένοι μὲν, καὶ πρὶν Βρασίδαν πέμψαι, βοηθεῖν ἐπὶ τὰ Μέγαρα —, ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολλῷ μᾶλλον ἐῤῥώσθησαν. 8, 95 extr. Καὶ οὐ πολλῷ ὕστερον Εὔβοιάν τε ἅπασαν ἀποστήσαντες, καὶ τἄλλα τὰ περὶ αὐτὴν καθίσταντο, ubi participium ἀποστήσαντες eſt pro verbo finito ἀπέστησαν.

ἢ δεξιότης μετὰ ἀκολασίας. Δεξιότης cum h. l. opponatur ἀμαθίᾳ, de intelligentia et cognoſcendi facultate accipiendum eſt, quemadmodum etiam Schol. intellexit: ἐπὶ τῆς ξυνέσεως. Mox ξυνετωτέρους eosdem appellat, ad quos illa δεξιότης pertinet. φαυλότεροι ergo ſunt homines tardiores l. ſtupidiores. Eurip. Phoen. 505. ταῦτα — καὶ σοφοῖς καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.

ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλωσ. Schol. ὡς ἐν ἄλλοις μείζοσιν οὐ δυνάμενοι δηλῶσαι καὶ γνώριμον ποιῆσαι πᾶσι τὴν ἰδίαν σύνεσιν εἰ μὴ ἐν οἷς βούλονται δεῖξαι ὅτι σοφώτεροί εἰσι τῶν νόμων. Verba ἐν ἄλλοις μει-

τὴν γνώμην· καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις. Οἱ δ' ἀπιστοῦντες τῇ ἐξ αὑτῶν ξυνέσει, ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον· κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον, ἢ ἀγωνισταὶ, ὀρθοῦνται τὰ πλείω. Ὣς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας, μὴ, δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους, παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν.

38. „Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ, καὶ θαυμάζω μὲν τῶν προθέντων αὖθις περὶ Μιτυληναίων λέγειν, καὶ χρόνου διατριβὴν ἐμποιησάντων· ὅ ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλλον. Ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται· ἀμύνασθαι δὲ, τῷ παθεῖν ὅτι ἐγγυτάτω κείμενον, ἀντίπαλον ὂν, μάλιστα τὴν τιμωρίαν ἀναλαμβάνει. Θαυμάζω δὲ καὶ ὅστις ἔσται ὁ ἀντερῶν, καὶ ἀξιώσων ἀποφαίνειν, τὰς μὲν Μιτυληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισταμένας.

causa eos hortatur, ut in priore sententia perstent.

ζοσιν opposita sunt illis τῶν ἀεὶ λεγομένων ἐς τὸ κοινόν. Monui, ne quis cum *Lindavio* (Spicilegium crit. in Thucyd. et Livium, Vratisl. 1817.) ἐν ἄλλοις μείζ. masculino genere intelligat, et pro δηλώσαντες legat δουλώσαντες.

ὡς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας. Pro ἡμᾶς suspiceris scribendum esse ὑμᾶς, quia sequitur τῷ ὑμετέρῳ πλήθει. Neque vero congruum est Cleonis moribus, se ipsum referre in numerum eorum, qui, ne populo contra eius scita (παρὰ δόξαν) quidquam suadeant, monendi sint. Si vera est lectio ἡμᾶς, intelligendi sunt publici oratores et demagogi, qualis et Cleon eo tempore erat. Vid. c. 36 extr.

38. ἀμύνασθαι δὲ — ἀναλαμβάνει. Ex optimis codd. pro ἀμύνεσθαι rescripsimus ἀμύνασθαι, ut c. 40. ἀξιώσατε ἀμύνασθαι. Nihil hac confusione frequentius, licet Scholiasta vulgatum sequatur. Cf. Benedict. Sententia est: Quo propius acceptam iniuriam vindicatio sequitur, eo magis, viribus aequa cum sit, ultionem recipit, vel apta est ad ulciscendum.

τὰς δ' ἡμετέρας ξυμφορὰς καθισταμένας. Benedictus negationem οὐ in hoc membro desiderat. „Non enim, inquit, eos taxat orator, qui calamitates Atheniensium etiam sociis fore detrimento affirmant, sed hos potius, qui negant." Mihi vulgata lectio recte se habere videtur. Supra c. 37. in eandem sententiam dixerat Cleon: *Καὶ ὅ, τι ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε, ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς*

Καὶ δῆλον, ὅτι ἢ, τῷ λέγειν πιστεύσας, τὸ πάνυ δοκοῦν ἀνταποφῆναι, ὡς οὐκ ἔγνωσται, ἀγωνίσαιτ᾽ ἄν, ἢ κέρδει ἐπαιρόμενος, τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται. Ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. Αἴτιοι δ᾽ ὑμεῖς, κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων· τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες, ὡς δυνατὰ γίγνεσθαι· τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν πιστότε-

καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι· οὐ σκοποῦντες, ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν, καὶ προσεπιβουλεύοντας αὐτοὺς, καὶ ἄκοντας ἀρχομένους.

τῷ λέγειν πιστεύσας, τὸ πάνυ δοκοῦν ἀνταποφῆναι — Interpunctionem correxi, commate posito post *πιστεύσας*, sublato post *δοκοῦν*; quia iungenda sunt verba *τὸ πάνυ δοκοῦν ἀνταποφῆναι*. Similis est structura verborum c. 37 init. *Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν*, (pro *ἔγνων, ὅτι δημοκρατία ἀδύνατόν ἐστιν*). cf. 5, 51 med. *Τὸ πάνυ δοκοῦν* est, quod maxime placuit populo, vel a populo decretum est, tamquam omnibus optimum visum.

ἀναφέρει, suscipit, pro *ἀναφέρεται*.

τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν — Codicum optimorum consensu dedimus *δρασθέν* pro *θεαθέν*, sicut mox *λόγῳ* pro *λόγων*. Opponuntur primum *τὰ μέλλοντα* et *τὰ πεπραγμένα ἤδη*. Ex his vero opposita sibi sunt *τὸ δρασθέν*, i. e. quod vere factum oculis percipi potest (*ὄψει λαβόντες*); et *τὸ ἀκουσθέν*, quod cum ex fama et traditione aliorum accipiatur, et vel laudando nimis, vel reprehendendo augeatur, minus certum est, quam illud, quod oculis ipsi videmus. *Θεαθέν*, quod sequenti *ἀκουσθέν* magis congruere videtur, a correctore ortum est, qui et illam concinnitatem quaerebat, et *τὸ δρασθέν* propter verba praecedentia *τὰ πεπραγμένα ἤδη* concoquere non poterat. Quamquam si structuram spectabat, etiamsi *θεαθέν* legeretur, eadem maneret difficultas. Nam *τὰ πεπραγμένα* absolute positum est pro *τῶν πεπραγμένων*, ut Hom. Il. γ. 211. *ἄμφω δ᾽ ἑζομένω, γεραρώτερος ἦεν Ὀδυσσεύς*. Il. η, 215. *Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον*. Thucyd. 2, 40. *ὃ τοῖς ἄλλοις, ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει*. cf. ad 3, 34. *ὁ δὲ προκαλεσάμενος* —. Pleonasmus autem, qui huic loco inesse videri possit, si *δρασθέν* legatur, et concinnitate membrorum excusari potest, et Thucydidis more. Nam ita 1, 138. legimus: *τῶν τε παραχρῆμα δι᾽ ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής*. — Post *ἀκουσθέν* delevi comma. Respondent enim verba *ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων* antecedenti *ὄψει*, et participium *λαβόντες* ad utrumque membrum referendum est. Ceterum conferri potest eiusdem sententiae locus 7, 48 med. —

ρον ὄψει λαβόντες, ἢ τὸ ἀκουσθὲν ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν· δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων· καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μὴ, ἀνταγωνιζόμενοι τοῖς [τὰ] τοιαῦτα λέγουσι, μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προεπαινέσαι· καὶ προαισθέσθαι τε πρόθυμοι εἶναι τὰ λεγόμενα, καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· ζητοῦντές τε ἄλλο τι, ὡς εἰπεῖν, ἢν ἐν οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς τε, ἀκοῆς ἡδονῇ ἡσσώμενοι, καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον, ἢ περὶ πόλεως βουλευομένοις.

39. „Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς, ἀποφαίνω Μιτυληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς. Ἐγὼ γὰρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν, ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν, καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριηρῶν παρασκευῇ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτοὺς, αὐτόνομοί τε οἰκοῦντες, καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑπὸ ἡμῶν, τοιαῦτα εἰργάσαντο· τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε, καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν, (ἀπόστασις μέν γε τῶν βίαιόν τι πασχόντων ἐστὶν,) ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες

Mox infinitivus *ἐθέλειν* pendet ab *ἄριστοι*.

ἀνταγωνιζόμενοι τοῖς [τὰ] τοιαῦτα λέγουσι. *Τά* quia abest a Codd. optimis Cl. Gr. Reg. Caff. Aug. Mosq., uncis inclusi. In sequentibus: *καὶ προαισθέσθαι τε πρόθυμοι εἶναι τὰ λεγόμενα*, repete *δοκεῖν*.

39. *μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας.* In eundem modum Latinum *unus* adhibetur. Cic. Planc. 41. „Urbem unam mihi amicissimam.“ Rabir. 9. „Vir unus totius Graeciae facile doctissimus Plato.“ Nepos Cim. 3. „Cum unus maxime floreret.“ *ἐν ᾧ*, int. *χρόνῳ*.

διαφθεῖραι; Καίτοι δεινότερόν ἐστιν ἢ εἰ καθ᾽ αὑτοὺς δύναμιν κτώμενοι, ἀντεπολέμησαν. Παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς, καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. Εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι᾽ ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα, ἀσφαλέστερα, ἢ παρὰ δόξαν· καὶ κακοπραγίαν, ὡς εἰπεῖν, ῥᾷον ἀπωθοῦνται, ἢ εὐδαιμονίαν διασώζονται. Χρῆν δὲ Μιτυληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ᾽ ἡμῶν τετιμῆσθαι· καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρισαν. Πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. Κολασθήτωσαν δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. Πάντες γὰρ ἡμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ᾽ ἐξῆν ὡς ἡμᾶς τρεπομένοις, νῦν πάλιν ἐν τῇ πόλει εἶναι. ἀλλά, τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον, ξυναπέστησαν. Τῶν τε ξυμμάχων, σκέψασθε, εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ,

αἱ τῶν πέλας ξυμφοραί. Naxios, Aeginetas et Potidaeatas intelligit.

εἴωθε δὲ τ. π. — ἐς ὕβριν τρέπειν, nempe ἡ ἀπροσδόκητος εὐπραξία, et ſubaudiendum ταύτας ſ. ἐκείνας πόλεις.

τοῖς μὲν ὀλίγοις. Οἱ ὀλίγοι ſunt nobiles, optimates, quibus opponitur ὁ δῆμος. Ita etiam paullo poſt accipiendum τὸν μετὰ τῶν ὀλίγων κίνδυνον. Cf. 3, 74. — Paullo poſt in verbis ὑπὸ τῶν πολεμίων eiecit τε, quod erat poſt ὑπό, quemadmodum iam Kiſtem. et alii, codicibus addicentibus, iuſſerant.

τίνα οἴεσθε ὅντινα οὐ — ἀποστήσεσθαι. De ſtructura

ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον; Ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. Καὶ τυχόντες μὲν, πόλιν ἐφθαρμένην παραλαβόντες, τῆς ἔπειτα προσόδου, δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε, σφαλέντες δὲ, πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν· καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.

40. „Οὔκουν δεῖ προσθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν, οὔτε χρήμασιν ὠνητὴν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπείως λήψονται. Ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. Ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον, καὶ νῦν διαμάχομαι, μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ, καὶ ἡδονῇ λόγων, καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν. Ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι, καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας, ἐξ ἀνάγκης τε καθεστῶτας ἀεὶ πολεμίους· οἵ τε τέρποντες λόγῳ ῥήτορες ἕξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις βραχέα ἡσθεῖσα, μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται. καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι, μᾶλλον δίδοται, ἢ πρὸς τοὺς ὁμοίους τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. Ἓν δὲ ξυνελὼν λέγω, πειθόμενοι μὲν ἐμοὶ, τά τε δίκαια ἐς Μιτυληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε· ἄλλως δὲ γνόντες, τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. Εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. Εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως ἀξιοῦτε τοῦτο

infinitivi cum accus. pro verbo finito diximus ad 2, 102. Haec autem ab illa discrepat. Est enim pro *μηδένα ὅντινα οὐκ ἀποστήσεσθαι οἴεσθε*, vel plenius *μηδένα εἶναι οἴεσθε, ὅντινα οὐκ ἀποστήσεσθαι οἴεσθε*. Quod loquendi genus explicat Hermann. ad Viger. p. 709.

40. *μεγάλα ζημιώσεται*, pro *ζημιωθήσεται*, ut hoc cap. extr. *ζημιωσόμενον* pro *ζημι-*

δρᾷν, παρὰ τὸ εἰκὸς τοίνυν καὶ τούσδε ξυμφόρως δεῖ κολάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς, καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι. Τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι, καὶ μὴ ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων φανῆναι· ἐνθυμηθέντες, ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρατήσαντας ἡμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας. Μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται καὶ διόλλυνται, τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ. Ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τὶ παθὼν, χαλεπώτερος, διαφυγὼν, τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. Μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν· γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν, καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε, μὴ μαλακισθέν-

ὑφησόμενον, Atticorum more. — Mox ὁμοίους, *sui similes* recte explicat Kist.

μὴ ἀναλγητότεροι, non minus obnoxii dolori, nicht empfindungsloser für den Schmerz. Bredovius, qui Heilmannum corrigit, scribere debebat: nicht weniger *empfindlich*, non *unempfindlich*, quod et usui loquendi, et loci sententiae repugnat. Hortatur enim Cleon Athenienses, ut Lesbios ulciscantur, ne, cum tantum periculum evaserint, duriores et sensus doloris magis expertes videantur, quam insidiatores illi, qui, si vicissent, gravissimas poenas sumpturi fuissent.

ἐπεξέρχονται καὶ διόλλυνται. Posterius verbum hoc loco activi vim habet; et recte Schol. διαφθείρουσι.

ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ —. In pluribus codicibus est ξὺν δίκῃ, quod Kistem. amplexus est. Sed glossae sive correctionis speciem habet haec lectio, et vulgata vera est. Sensus: „Quicumque praeter necessitatem (i. e. cum non lacessierit alterum, ergo immerito atque iniuria) aliquid passus est, is acrior, si evaserit, hostis est, quam qui et ipse pari modo iniuria inferenda hostis exstitit."

μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν. Vel sine codicum praesidio, quod tamen h. l. praesto est, recipiendum esset ὑμῶν pro ἡμῶν, quod et secundae personae γένησθε multo magis convenit, et propter αὐτῶν necessarium est. Ita infra h. c. τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις.

γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ — Scribendum esse puto: ὅτι ἐγγυτάτω, ut est in cod. Mosq. Cl. et Cass. a manu secunda, cum antea fuisset, sicut in Reg. et Aug., ὅτι ἐγγυτάτῃ γνώμῃ, vitiose. Supra c. 38. ἀμύνασθαι δὲ, τῷ παθεῖν ὅτι ἐγγυτάτω κείμενον, ἀντίπαλον ὂν, μάλιστα τὴν τιμωρίαν ἀναλαμβάνει. Ubi Benedicto, ὅτι ἐγγυτάτῳ legenti, non possumus assentiri. — Ceterum transitus fit h. l. ab infinitivo ad constructionem per ὡς. „Quam maxime id repraesentantes animo, quod passuri eratis, et quomodo plurimi fecissetis illos subigere."

τες πρὸς τὸ παρὸν αὐτίκα, μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. Κολάσατε δὲ ἀξίως τούτους τε, καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. Τόδε γὰρ ἢν γνῶσιν, ἧσσον, τῶν πολεμίων ἀμελήσαντες, τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις.“

41. Τοιαῦτα μὲν ὁ Κλέων εἶπε. Μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκράτους (ὅςπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι Μιτυληναίους) παρελθὼν καὶ τότε, ἔλεγε τοιάδε.

42. „ΟΥΤΕ τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ Μιτυληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι, ἐπαινῶ· νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν· ὧν τὸ μὲν, μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ, μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης. Τούς τε λόγους ὅςτις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν, ἢ ἰδίᾳ τὶ αὐτῷ διαφέρει· ἀξύνετος μὲν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι·

41. Poſt eum *Diodotus* proceſſit, qui etiam in priore eccleſia humanitatem commendaverat. Is demonſtrat, 42. non eſſe fraudis inſimulandos oratores, ne timore deterreantur,

42: *Οὔτε τοὺς προθέντας* —. Reſpondet Diodotus ad ſingula, quae Cleon dixerat. Haec quidem verba ſpectant ad c. 35 init., ubi Cleon: *θαυμάζω μὲν* (ita in Scholiis legendum pro *θαυμάζομεν*) *τῶν προθέντων αὖθις περὶ Μιτυληναίων λέγειν*. De negatione *μή* poſt *μεμφομένους* vid. ſupra ad cap. 1. Ceterum poſt *ἐπαινῶ* et *ὀργήν* minus plene interpunxi, ne, quae cohaerent, prava diſtinctione divellantur. Quod ſaepe nobis faciendum videbatur, licet diſerte non indicaremus; v. c. cap. 38 init. poſt *ὀργῇ ἐπεξέρχεται*. Cap. 39 med. poſt *ἐς ὕβριν τρέπειν*. Cap. 40 init. poſt *εἰδότες δὲ ἐπεβούλευσαν*, et inferius poſt *ἀεὶ πολεμίους*; denique ante verba *γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ*. Infra h. c. ante *ἀξύνετος μέν*.

ὧν τὸ μέν, int. *τὸ τάχος*. — *τὸ δέ*, *ἡ ὀργή*. *Βραχύτης γνώμης*, Beſchränktheit des Verſtandes.

τούς τε λόγους ὅςτις διαμάχεται —. Haec pertinent ad Cleonis verba: *Ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν*, et quae ſequuntur. — *εἰ ἄλλῳ τινὶ*, alio quodam inſtrumento, non oratione

διαφέρει δ' αὐτῷ, εἰ, βουλόμενός τι αἰσχρὸν πεῖσαι, εὖ μὲν εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν, ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους. Χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προςκατηγοροῦντες ἐπίδειξίν τινα. Εἰ μὲν γὰρ ἀμαθίαν κατῃτιῶντο, ὁ μὴ πείσας, ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος, ἀπεχώρει· ἀδικίας δ' ἐπιφερομένης, πείσας τε, ὕποπτος γίγνεται, καὶ μὴ τυχὼν, μετὰ ἀξυνεσίας καὶ ἄδικος. Ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε. Φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων· καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν. Ἐλάχιστα γὰρ ἂν πεισθείησαν ἁμαρτάνειν. Χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην, μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα· τὴν δὲ σώφρονα πόλιν, τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμὴν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης· καὶ τὸν μὴ τυχόντα γνώμης, οὐχ ὅπως ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. Οὕτω

qui cum civibus consilia communicent. Ius enim dicendi aequum esse debere, neque eum, qui erraverit, ignominia

οἱ ἐπὶ χρήμασι προςκατηγοροῦντες ἐπίδειξίν τινα. Kistemakerus simpliciter orationem intelligit; mavult tamen *ἀντίδειξιν*. Sed *ἐπίδειξις* ne hoc quidem loco propriam vim amittit, ut sit *oratio ad ostentandum ingenium composita vel habita;* quod etiam verba *ἐπὶ χρήμασι* demonstrant.

καὶ τὸν μὴ τυχόντα γνώμης —. De huius loci sententia nondum convenit inter interpretes.' Quaeritur primum, quid sit *γνώμη*? Kistem. vertit: *qui non obtinet assensum.* Portus: *qui non est bonus consultor*, cum Schol. Contraria sunt *ὁ πλεῖστα εὖ βουλεύων* et *ὁ μὴ τυχὼν τῆς γνώμης.* Ergo alterum ex altero explicandum. Quare praetulerim Porti interpretationem, ut *γνώμη* dictum sit cum emphasi pro *γνώμη ἀληθής, ἀλήθεια*, certe quae civibus videatur vera et certa ratio. — Porro in sequentibus verba *ἥκιστα ἂν* sunt qui etiam ad alterum membrum: *ὅ, τε μὴ ἐπιτυχὼν ὀρίγοιτο* — trahant; quibus cum breviter obloquutus sit Bredovius, hoc monendum videtur, locum, quem occupant haec verba, illam constructionem minime permittere, cum scribendum auctori fuisset: *οὕτω γὰρ ἥκιστα ἂν ὅ, τε κατορθῶν, ἐπὶ τῷ —.* Paullo ante *οὐχ ὅπως* est, *non solum non.* Vid. Buttmann. Gr. gr. pag. 526. Denique verba *τῷ αὐτῷ* ne vertas cum Kistem. *eo ipso*, sed *eadem re s. ratione*, i. e. oratione. „Ita et is, qui veram populo probaverit rationem, minime contra

γὰρ ὅ, τε κατορθῶν ἥκιστα ἂν, ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι, παρὰ γνώμην τὶ καὶ πρὸς χάριν λέγοι, ὅ, τε μὴ ἐπιτυχὼν ὀρέγοιτο. τῷ αὐτῷ χαριζόμενός τι, καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος.

43. „Ὧν ἡμεῖς τἀναντία δρῶμεν. καὶ προσέτι, ἤν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα, τὰ βέλτιστα δ' ὅμως λέγειν, φθονήσαντες τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν, τὴν φανερὰν ὠφέλειαν τῆς πόλεως ἀφαιρούμεθα. Καθέστηκε δὲ τἀγαθὰ ἀπὸ τοῦ εὐθέος λεγόμενα, μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν· ὥςτε δεῖν ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι, ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος, καὶ τὸν τὰ ἀμείνω λέγοντα, ψευσάμενον, πιστὸν γενέσθαι· μόνην τε πόλιν, διὰ τὰς περινοίας, εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς, μὴ ἐξαπατήσαντα, ἀδύνατον. Ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν, ἀνθυποπτεύεται ἀφανῶς πῃ πλέον ἕξειν. Χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τῷ τοιῷδε ἀξιοῦντι, ἡμᾶς περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων, ἄλλως τε καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. Εἰ

afficiendum esse. 43. Sed Athenienfibus ea, quae fimpliciter et ingenue, nullo fuco obducto, dicantur, corruptelae fufpecta videri folere, ut adeo omnes oratores mendacio uti, ad id, quod velint, efficiendum, cogantur;

fuam animi fententiam et in populi gratiam dixerit, ut etiam pluris habeatur; et is, qui non probaverit, eadem re (quia fucceffum nondum defperat, neque aut poenam aut exiftimationis detrimentum debet metuere) populi gratiam captans, et ipfe multitudinis asfenfum ferre ftuduerit."

43. κέρδους μὲν ἕνεκα. Refpicit ad illa Cleonis cap. 38. ἢ κέρδει ἐπαιρόμενος, τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται.

μόνην τε πόλιν. Πόλις h. l. in univerfum de qualibet civitate accipiendum, quatenus fingulis civibus opponitur. Si Athenae folae indicarentur, articulus abeffe non poffet. περίνοιαι, τέχναι, μηχαναί.

ἐν τῷ τοιῷδε ἀξιοῦντι, i. e. in illa tali veftra de oratoribus fententia, maligna atque invidiofa. Τὸ ἀξιοῦν, exiftimatio, fufpicio. Ita 1, 142. ἐν τῷ μὴ μελετῶντι. 3, 10. ἐν τῷ διαλλάσσοντι τῆς γνώμης. 5, 9. τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος τὴν διάνοιαν ἔχουσιν.

ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας —. Inconftanter fatis populus Athenienfis eos mul-

γὰρ ὅ, τε πείσας καὶ ὁ ἐπισπώμενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ πρὸς ὀργὴν ἥντινα τύχητε, ἔστιν ὅτε σφαλέντες, τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε, καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον.

44. „Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μιτυληναίων, οὔτε κατηγορήσων. Οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας. Ἤν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτοὺς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. Νομίζω δὲ

cumque aequum ſit, non ſolum ſuaſorem, ſed etiam eos, qui perſuaderi ſibi patiantur, poena affici, ſi res male evenerit: illius tantum ſententiam plecti. 44. Hic autem non agi de facinore Mitylenaeorum, ſed de conſilio ca-

tabat, quorum auctoritate et conſilio ipſe legem quandam ſanxerat, ſi quis intra annuum ſpatium, nomine delato, doceret, legem illam reipublicae perniciofam eſſe, quae actio dicebatur γραφὴ παρανόμων. Vid. *Wolſii* Prolegg. in Demoſth. Lept. p. 137 ſqq. Et ſane verum eſt, quod his dicit Diodotus, populum Athenienſem moderatius et cautius decreturum fuiſſe, niſi conſultandi laborem aliis cum ipſorum periculo iniunxiſſet, ſibimet autem impunitatem reſervaſſet.

νῦν δὲ πρὸς ὀργὴν ἥντινα τύχητε, ἔστιν ὅτε σφαλέντες. Ita interpunxi, praeeunte Hermanno, (vid. Popponis Obſſ. crit. p. 144.) retenta vulgata lectione, cui ſunt qui praeferant Abreſchii coniecturam ἥν τινα. Ad τύχητε ſubaudiendum eſt ζημιοῦντες.

44. κατηγορήσων, αὐτῶν i. e. τῶν Μιτυληναίων. Nam dicit, hic non eſſe quaeſtionem de iniuria eorum, ſed conſultationem, quid utile factu ſit.

ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν. Duo ſunt, quae hunc locum impediunt; primum, quod apodoſis deeſt, alterum, quod ἢν cum optativo εἶεν ſoloece dictum videatur. Nihilo tamen ſecius vulgata ſervanda eſt. Nam licet cum Poppone εἶεν, tamquam ab interprete ortum, expunxeris et ἔχοντας reſtitueris loco ἔχοντες: apodoſis tamen ex verbis: οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω ſubaudienda erit haec: οὐ διὰ τοῦτο καὶ ξυγγνῶναι κελεύσω. Neque haec ellipſis a Thucydidis ingenio et uſu abhorret. Interiectum enim vel potius priori membro additum eſt id, quod, uno verbo mutato, ad alterum ſ. poſterius membrum aeque quadret, atque ad prius. Altera difficultas, quae ineſt in optativo, etſi Popponis coniectura, paullo ante commemorata, tolli poteſt: Thomae Mag. tamen auctoritas obſtat, quo minus ad coniecturam confugiamus. Is enim in εἰ hunc locum affert, ut doceat, ἢν raro cum optativo

περὶ τοῦ μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι, ἢ τοῦ παρόντος. Καὶ τοῦτο, ὃ μάλιστα Κλέων ἰσχυρίζεται ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι, θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοῦ ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος, τἀναντία γιγνώσκω· καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. Δικαιότερος γὰρ ὢν αὐτοῦ ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μιτυληναίους, τάχα ἂν ἐπισπάσαιτο. Ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτοὺς, ὥςτε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν.

45. „Ἐν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημία πρόκειται, καὶ οὐκ ἴσων τῷδε, ἀλλ᾽ ἐλασσόνων ἁμαρτημάτων· ὅμως δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι, καὶ οὐδείς πω καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι, ἦλθεν ἐς τὸ δεινόν. Πόλις τε ἀφισταμένη τίς πω, ἥσσω τῇ δοκήσει ἔχουσα τὴν παρασκευὴν, ἢ οἰκείαν, ἢ ἄλλων ξυμμαχίᾳ, τούτῳ ἐπεχείρησε; Πε-

piendo deliberari. Iisdemque, ſi vel maxima patraverint, republica poſtulante, concedendum; ſi leviſſima, illa renuente, in eos animadvertendum eſſe. 45. Supplicium autem non eſſe aptam huius ſceleris poenam. Neque

apud probos ſcriptores reperiri, neque rariora imitatione eſſe digna; qua in re Lucianum caſtigat, quippe qui Thucydidis locum imitatus ſit. Sed eodem loco, ubi ille Atticiſta negat, ἤν cum optativo recte iungi, et Thucydidem ita ſcripſiſſe, docet, et Lucianum adeo ſecutum eſſe. Cf. Ducker. ad h. l. et Riemer. in Lex. Gr. ſub ἤν.

θάνατον ζημίαν προθεῖσι. Nonnulli codices deterioris notae Ar. Marg. Moſq. Gr. etiam Schol. habent προσθεῖσι, quod verum eſſet, ſi de poena Leſbiis irrogata ſermo eſſet. Sed haec verba, ſicuti omnis Diodoti oratio, potius ad futurum tempus reſpiciunt, et ad illa Cleonis: τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. — Mox verba καὶ αὐτὸς pertinent ad ἀντισχυριζόμενος, et ipſe contra aſſeverans. Ideo comma poſt αὐτὸς tollatur.

δικαιότερος γὰρ ὤν, iuſtior et accommodatior ad praeſentem animi veſtri affectum oratio.

45. πόλις τε ἀφισταμένη τίς πω — τούτῳ ἐπεχείρησε; Cum Kiſtem. ſignum interrogandi poſui, quod in hac orationis ſerie neceſſarium eſt. Illo enim omiſſo, ſenſus funditur conſilio Auctoris plane contra-

φύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν· καὶ οὐκ ἔστι νόμος, ὅστις ἀπείρξει τούτου. Ἐπεὶ διεξεληλύθασί γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι, προστιθέντες, εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. Καὶ εἰκὸς, τὸ πάλαι τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι αὐτάς· παραβαινομένων δὲ τῷ χρόνῳ, ἐς τὸν θάνατον αἱ πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως παραβαίνεται. Ἤ τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν, ἢ τόδε γε οὐδὲν ἐπίσχει· ἀλλ' ἡ μὲν πενία, ἀνάγκῃ τὴν τόλμαν παρέχουσα, ἡ δ' ἐξουσία, ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι, αἱ δ' ἄλλαι ξυντυχίαι, ὀργῇ τῶν ἀνθρώπων, ὡς ἑκάστη τὶς κατέχεται ὑπ' ἀνηκέστου τινὸς κρείσσονος, ἐξάγου-

enim atrocem ſatis, neque tamen poenitentiae locum eſſe.

rius. Negat enim, quemquam ſine opinione et fiducia felicis ſucceſſus defectionis periculum ſubire. Etiam particula πώ ſatis indicat, negationem latere in pronomine interrogativo τίς, quod tamdiu ab editoribus neglectum eſſe ſane mireris. — Pro ξυμμαχίαν cum Poppone ex codd. Caſſ. Aug. Marg. Moſqu. recepi ξυμμαχίᾳ. Nam illud neque ξυμμαχικήν, ut Gailius voluit, ſignificare poteſt, nec ipſum quadrat propter particulas ἤ — ἤ. — τούτῳ, τῷ ἀφίστασθαι.

καὶ τοῦτο ὅμως παραβαίνεται, nempe τὸ τῷ θανάτῳ ζημιωθέν, quod ἀπὸ κοινοῦ ſupplendum eſt. Kiſtem., intelligens κατὰ τοῦτο, pro accuſativo habet hoc pronomen, et comparat c. 47 init. τοῦτο ἁμαρτάνοιτε. Sed diverſa eſt ratio iungendi ἁμαρτάνειν τινός et παραβαίνειν τι. Paullo ante in verbis παραβαινομένων δὲ τῷ χρόνῳ recte videtur ſtatuiſſe Gottleberus, ſubaudiendum eſſe τῶν νόμων, licet ad ζημίας referendum eſſe videatur. Sed Auctoris animo illud obverſari poterat, cum propter cognatas notiones legis et poenae, tum propter κεῖσθαι, in quo ineſt νόμῳ vel νόμοις.

ἀλλ' ἡ μὲν πενία — κινδύνους. Hic locus prava interpunctione laborabat, quam ita correxi, ut punctis ante ἀλλ' ἡ μὲν πενία, et ante αἱ δ' ἄλλαι ξυντυχίαι mutatis in commata, ſingula totius periodi membra arctius inter ſe coniungerem. Pro ἑκάστη cum Duckero Kiſtemakerus malit ἑκάστῃ, tertio caſu, quia non tam affectus occupari et conſtrictus teneri dicatur, quam homo affectu. Quam coniecturam recipiendam putarem, niſi ea ratione probata periret periodi concinnitas, et verba ὑπ' ἀνηκέστου τινὸς κρείσσονος, cum nonniſi ad ὀργήν referri poſſent, languerent et otioſa eſſe viderentur; quae, ſi vulgata retineatur, vim quandam minus cognitam, ſed inſuperabilem et affectu ipſo ſuperiorem, deſignant.

σιν ἐς τοὺς κινδύνους. Ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντί, ὁ μέν, ἡγούμενος, ἡ δ', ἐφεπομένη, καὶ ὁ μέν, τὴν ἐπιβολὴν ἐκφροντίζων, ἡ δέ, τὴν εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα, πλεῖστα βλάπτουσι· καὶ ὄντα ἀφανῆ, κρείσσω ἐστὶ τῶν ὁρωμένων δεινῶν. Καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν. Ἀδοκήτως γὰρ ἔστιν ὅτε παρισταμένη, καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει, καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων, ἐλευθερίας, ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὐτὸν ἐδόξασεν. Ἁπλῶς τε, ἀδύνατον, καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται, τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι, ἀποτροπήν τινα ἔχειν, ἢ νόμων ἰσχύϊ, ἢ ἄλλῳ τῳ δεινῷ.

46. „Οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ πιστεύσαντας, χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν, ὡς οὐκ ἔσται μεταγνῶναι, καὶ ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι. Σκέψασθε γάρ, ὅτι νῦν μέν, ἤν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν, δυνατὴ οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι, καὶ τὸ

46 — 48. Utilius autem eſſe civitati, urbs opulenta ſi impenſas in ea recipienda factas reddere, ac deinde civi-

ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντί. Scholiaſtes ſubaudit ἀπὸ κοινοῦ, ut ait, ἐξάγουσιν ἐς τοὺς κινδύνους. Mihi magis placet Kiſtemakeri ratio, poſt παντί et ἐφεπομένη non colis ſed commatibus diſtinguentis, ut ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ad ſequens verbum βλάπτουσι poſſit referri.

καὶ μετὰ πάντων ἕκαστος —. Colon ante haec verba mutavi in comma, quia hoc membrum per ſe accipi nequit, ſed cum proximis coniungendum eſt. Opponuntur enim privatis (κινδυνεύειν τινὰ προάγει) civitates, quibus tanto magis hoc accidit, ut fortuna ſecunda ad pericula ſubeunda abripiantur, quanto graviora ſunt, de quibus contenditur, et quanto quisque in communi periculo audacior et confidentior eſt. Quare ὅσῳ ad verba καὶ — ἐδόξασεν animo repetendum eſt. De comparativo ad ὅσῳ ex praecedentibus ſubaudiendo vid. not. ad 6, 89.

46. ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι, breviſſimi temporis momento culpam disſolvere, ſcilicet τῇ μεταγνώσει. Haec pendent ab ὡς οὐκ ἔσται. Et Portus, et Scholiaſta hoc loco a vero varie aberrant. Ὅτι ἐν βραχ. pro ἐν ὅτι βραχ. Infra ὅτι ἐπ' ἐλάχιστον.

λοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ, τίνα οἴεσθε ἥντινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσασθαι, πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ ξυμβῆναι; Ἡμῖν τε πῶς οὐ βλάβη, δαπανᾷν καθημένοις διὰ τὸ ἀξύμβατον, καὶ ἢν ἕλωμεν πόλιν, ἐφθαρμένην παραλαβεῖν, καὶ τῆς προσόδου τὸ λοιπὸν ἀπ᾽ αὐτῆς στέρεσθαι; Ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. Ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι, ἢ ὁρᾷν, ὅπως ἐς τὸν ἔπειτα χρόνον, μετρίως κολάζοντες, ταῖς πόλεσιν ἕξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι· καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ᾽ ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. Οὗ νῦν τοὐναντίον δρῶντες, ἤν τινα ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον, εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα, χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. Χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ, ἀφισταμένους, σφόδρα κολάζειν, ἀλλὰ, πρὶν ἀποστῆναι, σφόδρα φυλάσσειν, καὶ προκαταλαμβάνειν, ὅπως μηδ᾽ εἰς ἐπίνοιαν τούτου ἴωσι, κρατήσαντάς τε, ὅτι ἐπ᾽ ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν.

47. „Ὑμεῖς δὲ σκέψασθε, ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε, Κλέωνι πειθόμενοι. Νῦν μὲν γὰρ ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ, καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις, ἢ, ἐὰν βιασθῇ, ὑπάρχει τοῖς

tatem Athenienſium tributis iuvare poſſit, quam ſi crudelitate cogatur ad internecionem usque ſe defendere. Et

τίνα οἴεσθε ἥντινα οὐκ — παρασκευάσασθαι. Hoc pro *παρασκευάσεσθαι* cum Benedicto recepimus ex codd. Gr. Caſſ. Aug. Vindob. Reg. et aliis quatuor Pariſſ. Cf. ad 1, 96. De ſtructura *ἥντινα παρασκευάσασθαι* vid. ad cap. 39.

πολιορκίᾳ τε. Benedict. malit *δέ*. Sed vid. ad 1, 144.

δαπανᾷν καθημένοις, i. e. in obſidione urbis. — *τῷδε*, *τῇ προσόδῳ*.

βίᾳ ἀρχόμενον, invitus qui paret, eum deficere non mirum eſt (*εἰκότως*).

ὅτι ἐπ᾽ ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν. Contra Cleon c. 39. *Καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε.*

ἀποστήσασι πολέμιος εὐθύς· καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες, ἐς πόλεμον ἐπέρχεσθε. Εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τῶν Μιτυληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν παρέδωκε τὴν πόλιν· πρῶτον μὲν ἀδικήσετε, τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μάλιστα. Ἀφιστάντες γὰρ τὰς πόλεις, τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι, προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. Δεῖ δέ, καὶ εἰ ἠδίκησαν, μὴ προςποιεῖσθαι, ὅπως, ὃ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι, μὴ πολέμιον γένηται. Καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως, οὓς μὴ δεῖ, διαφθεῖραι. Καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν ἅμα γίγνεσθαι.

48. „Ὑμεῖς δέ, γνόντες ἀμείνω τάδε εἶναι, καὶ μήτε οἴκτῳ πλέον νείμαντες, μήτ' ἐπιεικείᾳ, (οἷς οὐδὲ

malum omnibus fociis exemplum fore, fi non folum re-

47. ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν παρέδωκε τὴν πόλιν. Rem ita geftam narrat fupra cap. 27. 28. Παρέδωκε autem de conatu accipiendum. Nam optimates, minis plebis territi, una cum plebe de deditione urbis cum Pachete agebant. cf. c. 28. — Paullo ante in verbis: τὸν δῆμον τῶν Μιτυληναίων, vulgo legitur τὸν Μιτυληναίων. Illud eft in Cl. Gr. Reg. Caff. Aug., ideoque praeferendum, quia hic non refert, utrum Mitylenaeos, an alios potius interficiant, fed utrum plebem Mitylenenfium, an optimates. Cf. cap. 35. Τοὺς ἐκ τῆς Τενέδου Μιτυληναίων ἄνδρας, pro quo vulgo Μιτυληναίοις legitur.

μὴ προσποιεῖσθαι, *diffimulare*, vel ita agere, quafi ignorares eorum maleficium. Simile eft οὔ φημι, nego, οὐκ ἐῶ, prohibeo. — οὓς μὴ δεῖ, i. e. ξυμφέρει.

οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὄν. Verba ἐν αὐτῷ nemo videtur eo retuliffe, quo pertinent, nempe ad τὴν κάθεξιν τῆς ἀρχῆς. Suam enim fententiam reipublicae utilem effe ad obtinendum imperium, quum dixiffet modo Diodotus: nunc negat fieri poffe, ut eadem ratio et iufta et fimul apta fit ad hanc rem confequendam.

48. καὶ μήτε οἴκτῳ. Perperam et contra codices vulgo μηδὲ οἴκτῳ, cum fequatur μήτ' ἐπιεικείᾳ.

ἐγὼ ἐῶ προσάγεσθαι,) ἀπ' αὐτῶν δὲ τῶν παραινουμένων πείθεσθέ μοι, Μιτυληναίων οὓς μὲν Πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας, κρῖναι καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐᾷν οἰκεῖν. Τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ, καὶ τοῖς πολεμίοις ἤδη φοβερά. Ὅστις γὰρ εὖ βουλεύεται, πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν, ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών."

49. *Τοιαῦτα μὲν ὁ Διόδοτος εἶπε. Ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας, οἱ Ἀθηναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης, καὶ ἐγένοντο ἐν τῇ χειροτονίᾳ ἀγχώμαλοι· ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. Καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδὴν, ὅπως μὴ, φθασάσης τῆς δευτέρας, εὕρωσι*

belles, ſed etiam inſontes morte afficiantur. 49. Diodoti ſententia tandem vincit, et navis altera miſſa Leſbum eo

49. *ῥηθεισῶν δὲ — ἀντιπάλων πρὸς ἀλλήλας.* Vitioſam nonnullorum librorum lectionem *πρὸς ἀλλήλους* tuetur Benedictus. Iunge verba *ἀντιπάλων πρὸς ἀλλήλας.* „His dictis ſententiis, *maxime contrariis inter ſe*, Athenienſes quidem nihilo ſecius in ſententiae contentionem venerunt; vicit tamen Diodoti ſententia." *Ὅμως* eſt *nihilo minus, nihilo tamen ſecius,* ut 3, 43 init. 45 med. 54 init. Cuius particulae ea eſt indoles, ut ad conditionem conceſſam reſpiciat, ſive ea diſerte exprimatur, ſive omiſſa ſit, ut h. l. Nam omiſſa eſt ſententia: „etſi eos decreti prioris antea poenituerat." Simillimus huius locus eſt 3, 28. ubi ante verba: *ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι*, ſubaudiendum eſt: „licet fides incolumitatis data eſſet." cf. c. 80. 7, 48.

φθασάσης τῆς δευτέρας. Exſpectes *τῆς προτέρας*, ut paullo inferius: *καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης.* Atque ſic enotatum eſt ex nonnullis codicibus Pariſſ. (D. F. I.), quum Ar. C. Dan. exhibeant *τῆς ἑτέρας.* Qua ex discrepantia, cum *δευτέρας* plerique et optimi codices tueantur, colligere poſſis, lectionem vulgatam, quae difficilior eſt, veram eſſe, varietates autem illas nihil niſi eiusdem interpretamenta. Sed etiam de interpretatione huius vocabuli differunt ſententiae eorum, qui illud retinent. Et Bredovius quidem *τῆς δευτέρας* proprie accipit: ne urbem exſtinctam offenderent, dum altera ſ. ſecunda navis anteverteret prius miſſam. Sed primum non opus erat, poſteriorem navem antevertere, dummodo aſſequeretur priorem in itinere, vel una cum ea Leſbum perveniret; deinde recte admonuit Poppo, verba ſequentia: *προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα*, quae non niſi ad priorem navem referri poſſunt, Bredovii interpretationi obſtare. Reſtat igitur nihil aliud, niſi ut Thucydidem, non raro inſolentius loquentem, etiam hic *δευτέρας* adhibuiſſe pro *ἑτέρας*, nulla

διεφθαρμένην τὴν πόλιν· προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα. Παρασκευασάντων δὲ τῶν Μιτυληναίων πρέσβεων τῇ νηῒ οἶνον καὶ ἄλφιτα, καὶ μεγάλα ὑποσχομένων, εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη, ὥστε ἤσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα, καὶ οἱ μὲν ὕπνον ᾑροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. Κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος, καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον, ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα, καὶ μέλλειν δράσειν τὰ δεδογμένα· ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται, καὶ διεκώλυσε μὴ διαφθεῖραι. Παρὰ τοσοῦτον μὲν ἡ Μιτυλήνη ἦλθε κινδύνου.

50. Τοὺς δ' ἄλλους ἄνδρας, οὓς ὁ Πάχης ἀπέπεμψεν ὡς αἰτιωτάτους ὄντας τῆς ἀποστάσεως, Κλέωνος γνώμῃ διέφθειραν οἱ Ἀθηναῖοι· ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων. Καὶ Μιτυληναίων τείχη καθεῖλον, καὶ ναῦς παρέλαβον. Ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν Λεσβίοις, κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν τῆς Μηθυμναίων, τρισχιλίους, τριακοσίους μὲν τοῖς θεοῖς

pervenit, antequam Paches iuſſa exſecutus eſſet. 50. Sed eos, quos Paches tamquam ſeditionis auctores maxime noxios Athenas miſerat, numero paullo amplius mille, Athenienſes, Cleonis auctoritate, necant; et totum Leſbiorum agrum, praeter Methymnaeum, ter mille ſortibus factis, atque ex his trecentis in honorem deorum exceptis, cives Athenienſes ſortiuntur, quibus Leſbii agros illos colentes quotannis binas pro ſorte minas ſolvere iubentur.

horum vocabulorum diſcrepantiae ratione habita, qua ἕτερος ſimpliciter unum ex duobus, vel primum vel ſecundum, δεύτερος autem de poſteriore tantum dicitur. — Poſt ἡμέρᾳ expunximus τέ propter codicum plurimorum conſenſum.

εἰ φθάσαιεν, int. οἱ ναῦται ἐκ τῇ νηΐ.

ἄλφιτα πεφυραμένα. Vulgo πεφυρμένα. Illud e Cl. Reg. Caſſ. Aug. Ar. et uno Pariſ. cum Benedicto recepimus, tamquam magis proprium panificii vocabulum.

πρᾶγμα ἀλλόκοτον, negotium portentoſum, ſaevum, atrox.

ἱεροὺς ἐξεῖλον, ἐπὶ δὲ τοὺς ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν· οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν, αὐτοὶ εἰργάζοντο τὴν γῆν. Παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ Ἀθηναῖοι, ὅσων Μιτυληναῖοι ἐκράτουν· καὶ ὑπήκουον ὕστερον Ἀθηναίων. Τὰ μὲν κατὰ Λέσβον οὕτως ἐγένετο.

51. Ἐν δὲ τῷ αὐτῷ θέρει, μετὰ τὴν Λέσβου ἅλωσιν, Ἀθηναῖοι, Νικίου τοῦ Νικηράτου στρατηγοῦντος, ἐστράτευσαν ἐπὶ Μίνωαν τὴν νῆσον, ἣ κεῖται πρὸ Μεγάρων· ἐχρῶντο δὲ αὐτῇ, πύργον ἐνοικοδομήσαντες, οἱ Μεγαρεῖς φρουρίῳ. Ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι᾽ ἐλάσσονος τοῖς Ἀθηναίοις, καὶ μὴ ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος εἶναι· τούς τε Πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους αὐτόθεν λανθάνοντες, τριήρων τε (οἷον καὶ τὸ πρὶν γενόμενον) καὶ λῃστῶν ἐκπομπαῖς, τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν. Ἑλὼν οὖν ἀπὸ τῆς Νισαίας πρῶτον δύο πύργω προέχοντε μηχαναῖς ἐκ θαλάσσης, καὶ τὸν ἔσπλουν ἐς τὸ μεταξὺ τῆς νήσου ἐλευθερώσας, ἀπετείχιζε καὶ τὸ ἐκ τῆς ἠπείρου, ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ, οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου. Ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον

Etiam oppida Lesbiorum in continenti sita Athenienses recipiunt. 51. Nicias Minoam insulam, Megaris obiectam, occupat, ibique castellum et praesidium Athe-

50. *ἐν τῇ ἠπείρῳ*, in Mysia.

51. *τὴν φυλακήν*, intell. eam Atheniensium stationem, quae Megarenses et Peloponnesios ita custodiebat, ut neque Megara quicquam introire, neque Peloponnesii improviso inde erumpere possent, ut factum narratur 2, 93. Ibidem vide de Budoro cap. 94.

τούς τε Πελοποννησίους. Pendent haec ab *ἐβούλετο*, pro *ὅπως οἵ τε Πελοποννήσιοι μὴ ποιῶνται* —. Structura similis est illi cap. 37 init. *πολλάκις — ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατόν ἐστιν.* cf. ad cap. 38.

οἷον καὶ τὸ πρὶν γενόμενον. Vide 2, 93. — *ἀπὸ τῆς Νισαίας* iunge cum *προέχοντε*, *ἑλὼν* cum *μηχαναῖς.*

δὴ καὶ ἐν τῇ νήσῳ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν, ἀνεχώρησε τῷ στρατῷ.

52. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ Πλαταιεῖς, οὐκέτι ἔχοντες σῖτον, οὐδὲ δυνάμενοι πολιορκεῖσθαι, ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ. Προςέβαλον αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἠδύναντο ἀμύνεσθαι. Γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν, βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· (εἰρημένον [γὰρ ἦν] αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαὶ γίγνοιντό ποτε πρὸς Ἀθηναίους, καὶ ξυγχωροῖεν, ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι, ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ Πλάταια, ὡς αὐτῶν ἑκόντων προςχωρησάντων·) προςπέμπει δὲ αὐτοῖς κή-

nienſium relinquit. 52. Eodem tempore Plataeenſes, qui obſidionem Peloponneſiorum non amplius poterant ſuſtinere, ſe dedunt. Rogati, numquid in hoc bello boni in Lacedaemonios contulerint, poteſtate facta prolixius

52. εἰρημένον γὰρ ἦν αὐτῷ. Hoc loco Poppo videtur operam perdidiſſe, vulgatam lectionem ex ſcholiis mutans, tametſi ea non ſolum ipſa emendanda, ſed etiam aliter intelligenda videantur. Nam quod Scholiaſtes εἰρημένον γὰρ ἦν αὐτῷ dictum eſſe contendit pro εἰρημένου γὰρ αὐτῷ, inde recte quidem colligit Poppo, Scholiaſtam non inveniſſe ἦν in ſuo exemplo, etiamſi in capite ſcholii praefigatur. Praeterea autem, expuncto hoc verbo ſubſtantivo, comma eſſe ponendum poſt προςχωρησάντων, et δὲ poſt προςπέμπει delendum cenſet, quo ducere etiam hoc ſcholion: οὗτος ὁ δὲ πρὸς τὸν μέν· προεῖπε γάρ, ὅτι βίᾳ μὲν οὐκ ἐβούλοντο ἑλεῖν. Haec mihi argutius disputata videntur, quam verius, et vulgatum δὲ Scholiaſtam legiſſe perſuaſum mihi habeo. Nam patet, Scholiaſtam nihil aliud quam de ſtructura admonere, non inferre particulam, ob omnem orationis ſeriem maxime neceſſariam, quae in toto loco alibi non reperiatur. Quemadmodum autem hoc facile omnes conceſſuros eſſe putamus, ita in altero ſcholio omnis difficultas tollitur, ſi pro εἰρημένου γὰρ αὐτῷ legas εἰρημένου αὐτῷ, omiſſo γάρ, quod ipſum Scholiaſta, cum εἰρημένον accuſativum pro genitivo eſſe vellet, (ut 7, 18 med. εἰρημένον ἐν ταῖς πρότερον ξυνθήκαις) legere non potuit, ſed ab interprete una cum ἦν adſcriptum eſſe veriſimile eſt, qui docere voluit, verbum εἰρημένον (int. τοῦτο μὴ ποιεῖν) ita ad ſuperiora referri debere, ac ſi εἰρημένον γὰρ ἦν dictum eſſet. Itaque potius verba γὰρ ἦν ſuſpecta ſunt, certe ei, qui Scholiis tantum auctoritatis tribuit, quantum codicibus omnibus. Utrumvis autem ſtatuas, omnia inde ab εἰρημένον usque ad προςχωρησάντων tamquam parentheſis accipienda ſunt.

ϱυκα, λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις, καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα. Τοσαῦτα μὲν ὁ κήρυξ εἶπεν. Οἱ δὲ (ἦσαν γὰρ ἤδη ἐν τῷ ἀσθενεστάτῳ,) παρέδοσαν τὴν πόλιν. Καὶ τοὺς Πλαταιέας ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινὰς, ἐν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο. Ἐλθόντων δὲ αὐτῶν, κατηγορία μὲν οὐδεμία προετέθη· ἠρώτων δὲ αὐτοὺς, ἐπικαλεσάμενοι, τοσοῦτον μόνον, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ καθεστῶτι ἀγαθόν τι εἰργασμένοι εἰσίν. Οἱ δ' ἔλεγον, αἰτησάμενοι μακρότερα εἰπεῖν, καὶ προτάξαντες σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου, καὶ Λάκωνα τὸν Ἀειμνήστου, πρόξενον ὄντα Λακεδαιμονίων· καὶ ἐπελθόντες, ἔλεγον τοιάδε.

53. „ΤΗΝ μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν, ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰόμενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι· καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι (ὥςπερ καὶ ἐσμὲν) γενέσθαι, ἢ ὑμῖν· ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι. Νῦν δὲ φοβούμεθα, μὴ ἀμφοτέρων ἅμα

dicendi, Aſtymachum et Laconem oratores conſtituunt. 53 — 59. Eorum oratio.

τούς τε ἀδίκους κολάζειν —. Haec verba apodoſin continent, quae pertinet ad illa: *εἰ βούλονται παραδοῦναι — χρήσασθαι*. *Τέ* h. l. reſpondet ſequenti *δέ*, qua de re monuimus ad 1, 11.

ἐν τῷ πολέμῳ τῷ καθεστῶτι. Verba *τῷ καθεστῶτι* tacite uncis incluſit Poppo, tamquam ſuſpecta. Sane cap. 54. legitur *ἐν τῷ πολέμῳ τῷδε*, et c. 63. ſimpliciter *ἐν τῷ πολέμῳ*. Sed praeterquam quod Thucydidi pleonaſmi non ſunt inuſitati (vid. ad 1, 23.), etiam hoc defendi poſſit librorum omnium lectio, quod interrogatio Lacedaemoniorum hoc primo loco accuratius et plenius referenda erat, quam ceteris. Sic etiam in *ἀγαθόν τι*, quod ſtatim ſequitur, cum *εἴ τι* praeceſſerit, codicum auctoritati obtemperandum, qui alterum *τί* alibi (cap. 54 et 68 bis) omittunt.

οἱ δὲ ἔλεγον —. Cum ſequatur: *καὶ ἐπελθόντες, ἔλεγον τοιάδε*, verbum *ἔλεγον* poſt interiecta plura verba repetitum putes. Melius tamen ante *καὶ ἐπελθόντες* colon ponas, ut prius *ἔλεγον* ad Plataeenſes omnes, poſterius ad oratores ſolum referatur.

ἡμαρτήκαμεν. Τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι, εἰκότως ὑποπτεύομεν, καὶ ὑμᾶς, μὴ οὐ κοινοὶ ἀποβῆτε· τεκμαιρόμενοι, προκατηγορίας τε ἡμῶν οὐ προγεγενημένης, ᾗ χρὴ ἀντειπεῖν, (ἀλλ' αὐτοὶ λόγον ᾐτησάμεθα,) τό, τε ἐπερώτημα βραχὺ ὄν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι, ἐναντία γίγνεται, τὰ δὲ ψευδῆ, ἔλεγχον ἔχει. Πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγκαζόμεθα, καὶ ἀσφαλέστερον δοκεῖ εἶναι, εἰπόντας τι κινδυνεύειν. καὶ γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ' ἔχουσιν αἰτίαν ἂν παράσχοι, ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν. Χαλεπῶς δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. Ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων, ἐπεισενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε, ὠφελούμεθ' ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται. Καὶ δέδιμεν οὐχὶ, μὴ, προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἥσσους εἶναι τῶν ὑμετέρων, ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ, ἄλλοις χάριν φέροντες, ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα.

54. „Παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια, πρός τε τὰ Θηβαίων διάφορα, καὶ ἐς ὑμᾶς καὶ τοὺς ἄλλους Ἕλληνας, τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα, καὶ πείθειν πειρασόμεθα. Φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχὺ, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς, μὴ εὖ πα-

53. καὶ ὑμᾶς, repete ὑποπτεύομεν.

τό, τε ἐπερώτημα βραχὺ ὄν, ſtructura mutata, pendet a τεκμαιρόμενοι. — ἐναντία γίγνεται pro ἐναντίον γίγ. quaſi eſſet: ᾧ ἀποκρίνασθαι (vel potius εἴ τις ἀποκρίναιτο) τὰ μὲν ἀληθῆ, ταῦτα ἐναντία γίγνεται. „Ad quam interrogationem ſi vera reſpondeamus, haec nobis officiunt, mendacia autem argui poſſunt.“

ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα. Etiam hic ad ſenſum magis, quam ad grammaticam rationem verba iuncta ſunt, cum proprie ſcribendum fuiſſet καθιστῆτε, pro καθιστώμεθα. Item infra cap. 59. extr. ἐπισκήπτομέν τε ἅμα, μὴ, Πλαταιεῖς ὄντες, — παραδοθῆναι· γενέσθαι δὲ σωτῆρας ἡμῶν. Ubi pro παραδοθῆναι exſpectes παραδιδόναι ἡμᾶς, quod certe concinnius eſſet. — ἄλλοις χάριν φέροντες, int. Θηβαίοις.

54. καὶ τοὺς ἄλλους Ἕλληνας. Vulgo ante τοὺς legitur ἐς, quod cum Benedicto novem codicum auctoritate expunxi, commate poſt ὑμᾶς ſublato.

θόντας· φίλους δὲ νομίζοντας, αὐτοὺς ἁμαρτάνειν μᾶλλον, τοὺς ἡμῖν ἐπιστρατεύσαντας. Τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ πρὸς τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν. Καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ, μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ, παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ· εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν. Καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτεπερ δὴ μέγιστος φόβος περιέστη τὴν Σπάρτην, μετὰ τὸν σεισμὸν τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν. Ὧν οὐκ εἰκὸς ἀμνημονεῖν.

55. „Καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι· πολέμιοι δὲ ἐγενόμεθα ὕστερον· ὑμεῖς δὲ αἴτιοι. Δεομένων γὰρ ξυμμαχίας, ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε, καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι, ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων. Ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ ἡμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε. Εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν. Καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε· καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλὸν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους,

τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, respicit ad Thebanorum clandestinum impetum 2, 2. — **ἐπ' Ἀρτεμισίῳ**, cf. Herodot. 8, 1.

55. **ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων.** Omissum est *μέν* post *ἐγγύς*, ut saepe. Cf. ad 1, 12. — Paullo ante **δεομένων** (int. *ἡμῶν*) **ἀπεώσασθε** (*ἡμᾶς*), pro *δεομένους ἡμᾶς ἀπεώσασθε*.

οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος. Duabus de caussis orator iustam censet gratiam Atheniensibus referendam, primum quod ab iis beneficio affecti fuerint Plataeenses (*εὖ παθών τις*), deinde quod ipsi hoc beneficium (societatem) expetiverint. Supra enim dixerat: *καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις, ὅτε ὑμεῖς ἀπωκνεῖτε.* Ad eandem societatis necessitudinem

καὶ πολιτείας μετέλαβεν· ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμως. Ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴτιοι, εἴ τι μὴ καλῶς ἐδρᾶτε, ἀλλ᾽ οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα.

56. „Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ δὲ τελευταῖον αὐτοὶ ξύνιστε, δι᾽ ἅπερ καὶ τάδε πάσχομεν. Πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν σπονδαῖς, καὶ προσέτι ἱερομηνίᾳ, ὀρθῶς [τε] ἐτιμωρησάμεθα, κατὰ τὸν πᾶσι νόμον καθεστῶτα, τὸν ἐπιόντα πολέμιον ὅσιον εἶναι ἀμύνεσθαι· καὶ νῦν οὐκ ἂν εἰκότως δι᾽ αὐτοὺς βλαπτοίμεθα. Εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. Καίτοι, εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε, ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. Νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ᾽ αὐτοῦ ἦσαν. Καὶ δίκαιον, ἡμῶν τῆς νῦν ἁμαρτίας (εἰ ἄρα ἡμάρτηται)

referenda sunt verba: *καὶ πολιτείας μετέλαβεν*. Cap. 63. a Thebanis dicuntur *Ἀθηναίων ξύμμαχοι καὶ πολῖται*.

εἴ τι μὴ καλῶς ἐδρᾶτε. Reiskii coniecturam *ἐδρᾶτο* satis subtiliter defendit Poppo, etiam auctoritate Anecdotorum Graecorum, a Beckero editorum, Vol. I, p. 143. allata. Apud me plus valet codicum omnium fides, quam Grammatici unius non testimonium, sed lectionis tantum discrepantia.

56. *ἱερομηνίᾳ*. Supra 2, 4. quae hic narrantur, *τελευτῶντος τοῦ μηνός* gesta dicuntur. Ergo *ἱερομηνία* diversa est a *νεομηνίᾳ*, etsi nemo veterum *ἱερομηνίαν* diserte describat. Suidas: *ἱερομηνία, ἱερὰ ἑορτὴ κατὰ μῆνα*. Vid. Duckerus ad h. l. et Schneider. in Lex. gr. h. voc., qui simpliciter interpretatur *diem festum*.

ὀρθῶς [τε] ἐτιμωρησάμεθα. *Τὲ* etsi referri possit ad sequens *καὶ νῦν* —, tamen a bonis libris abest, Cl. Bar. Reg. Cass. Aug., item ab edd. antiquis.

εἰ γὰρ — λήψεσθε. *Τὸ δίκαιον λαμβάνειν* simile est nostro: das Recht schöpfen, i. e. cognoscere, iudicare, decernere de aliquo. — *ἐκείνων*, i. e. *Θηβαίων*.

εἰ ἄρα ἡμάρτηται. Codd. paullo ante memorati, et praeter eos etiam Gr. omittunt *τὶ* post *ἡμάρτηται*, quod in ceteros haud dubie ex interpretatione manavit.

ἀντιθεῖναι τὴν τότε προθυμίαν· καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε, καὶ ἐν καιροῖς, οἷς σπάνιον ἦν, τῶν Ἑλλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι, ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾶν μετὰ κινδύνων τὰ βέλτιστα. Ὧν ἡμεῖς γενόμενοι, καὶ τιμηθέντες ἐς τὰ πρῶτα, νῦν ἐπὶ τοῖς αὐτοῖς δέδιμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. Καίτοι χρὴ ταυτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι, ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι, καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται.

57. „Προσκέψασθέ τε, ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα, (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν,) ὁρᾶτε, ὅπως μὴ οὐκ ἀποδέξωνται, ἀνδρῶν

ἐπῃνοῦντό τε. Punctum ante haec verba mutavi in comma. Pertinent enim ad οἷς καιροῖς. — ἀσφαλείᾳ, per otium et tranquillitatem. αὐτοῖς iunge cum τὰ ξύμφορα, nisi malis cum Bredovio αὐτοῖς. πρὸς τὴν ἔφοδον, int. τῶν Μήδων.

ἢ ὑμᾶς κερδαλέως, nam utile hoc quidem fuiſſet ipſis, ſi ad Lacedaemonios ab Athenienſibus deſciviſſent; non vero honeſtum. Cap. 55. Εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν, ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν. cf. 2, 72 ſeqq. — ἐπὶ τοῖς αὐτοῖς, ob eandem animi fortitudinem, qua honeſtum utili praeferebamus.

καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι — καθιστῆται. Obſcurus ſane locus! Cum enim generalis ſententia ſit, neque ἡμῖν quadrat, nec quod in aliis codicibus reperitur ὑμῖν. Hoc Benedictus recipiendum cenſet, qui ad ἔχωσι intelligit οἱ ξύμμαχοι. Mihi intelligendum potius videtur οἱ ἄνθρωποι, ut 1, 21. Καίπερ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων. 3, 39. Πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. 3, 67. Οἴκτου τε ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀνθρώπων. 2, 52. Οἱ ἄνθρωποι, οὐκ ἔχοντες ὅ, τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως. 3, 84 extr. In ultimis verbis nihil mutare audeo. Senſus videtur eſſe: τὰ παρόντα εὖ θέσθαι, quod adeſt utiliter componere, non habita ſcilicet ratione praeteritorum, etiamſi quid vel reprehendendum, vel adeo ulciſcendum ſit.

57. περὶ οὐδ' ἡμῶν μεμπτῶν, pro περὶ ἡμῶν οὐ μεμπτῶν i. e. ἀγαθῶν. — ἀποδέξων-

ἀγαθῶν πέρι, αὐτοὺς ἀμείνους ὄντας, ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. Δεινὸν δὲ δόξει εἶναι, Πλάταιαν Λακεδαιμονίους πορθῆσαι· καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. Ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε κρατησάντων ἀπωλλύμεθα, καὶ νῦν ἐν ὑμῖν, τοῖς πρὶν φιλτάτοις, Θηβαίων ἡσσώμεθα, καὶ δύο ἀγῶνας τοὺς μεγίστους ὑπέστημεν, τότε μέν, τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι, νῦν δέ, θανάτου [δίκῃ] κρίνεσθαι· καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιεῖς, οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς Ἕλληνας,

ται, int. οἱ Ἕλληνες; idemque verbum animo revocandum est mox post οὐδέ. ἀποδέχεσθαι est *probare.*

οἵτινες Μήδων — ἀπωλλύμεθα. Praesens ἀπολλύμεθα, quod codices, uno excepto, praebent omnes, praeteriti temporis notionem interdum habere monet Poppo, loco Sophoclis Elect. v. 678. allato: Ἐμοὶ δὲ σύ, ξένε, τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται; Sed is locus parum idoneus est, propterea quod ibi διόλλυται *perfecti* vice fungitur, quod tempus hic noster locus minime admittit. Scripserim igitur ἀπωλλύμεθα. Plataeenses autem ideo se periisse dicunt, Medis superantibus, quod ante horum adventum, urbe relicta, quae mox a Persis incendio deleta est, in Peloponnesum emigrarunt. v. Herod. 8, 44 et 50. Verba τότε μὲν — λιμῷ διαφθαρῆναι ad eadem belli Persici tempora refert Poppo, propter verba sequentia τῶν τότε ξυμμάχων, ut ubique belli Persici et Peloponnesiaci calamitates comparentur. Quod mihi secus videtur. Illud τότε μὲν refero ad illud tempus belli Peloponnesiaci, cum Plataeenses urbem suam Lacedaemoniis dederent, inopia victi, cf. cap. 52. Infra cap. 59. Εἰλόμεθα γὰρ ἂν πρό γε τούτου, τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ, τελευτῆσαι. Non enim Persis urbem tradiderant, sed eam deseruerant Plataeenses bello Persico. Quare verba δύο ἀγῶνας τοὺς μεγίστους ad unum bellum Peloponnesiacum pertinent, et verba τῶν τότε ξυμμάχων tamen referri possunt ad priora illa (Μήδων κρατησάντων), quia per totum caput bellum Persicum et Peloponnesiacum comparantur. — δίκῃ, quod in Reg. et Par. H. inter versus recenti manu scriptum est, iam Duckero suspectum erat.

περιεώσμεθα ἐκ πάντων, reiecti sumus ex universis soli Plataeenses, deserti et omni auxilio destituti. Nam ἔρημοι καὶ ἀτιμώρητοι iungendum est cum περιεώσμεθα. — παρὰ δύναμιν, supra vires. Nam etiam apud Artemisium pugnaverant, cum rei navalis non essent periti. cf. cap. 54. et Herodot. 8, 1.

ἔρημοι καὶ ἀτιμώρητοι· καὶ οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδεὶς, ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπὶς, δέδιμεν, μὴ οὐ βέβαιοι ἦτε.

58. „Καίτοι ἀξιοῦμέν γε καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτὲ γενομένων, καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλληνας, γναμφθῆναι ὑμᾶς, καὶ μεταγνῶναι, εἴ τι ὑπὸ Θηβαίων ἐπείσθητε· τήν τε δωρεὰν ἀνταπαιτῆσαι αὐτοὺς, μὴ κτείνειν οὓς μὴ ὑμῖν πρέπει· σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν, καὶ μὴ, ἡδονὴν δόντας ἄλλοις, κακίαν αὐτοὺς ἀντιλαβεῖν. Βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ, τὴν δύσκλειαν αὐτοῦ ἀφανίσαι. Οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμωρήσεσθε, ἀλλ' εὔνους, κατ' ἀνάγκην πολεμήσαντας. Ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες, ὅσια ἂν δικάζοιτε, καὶ προνοοῦντες, ὅτι ἑκόντας τε ἐλάβετε, καὶ χεῖρας προϊσχομένους, (ὁ δὲ νόμος τοῖς Ἕλλησι, μὴ κτείνειν τούτους,) ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διὰ παντός. Ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς ἀποθανόντας ὑπὸ Μήδων, καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ, ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ ἐσθήμασί τε καὶ τοῖς ἄλλοις νομίμοις· ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες, εὖνοι μὲν ἐκ φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχμοις ποτὲ γενομένοις. Ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε, μὴ ὀρθῶς γνόντες. Σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς, νομίζων ἐν γῇ τε φιλίᾳ

58. *δωρεὰν ἀνταπαιτῆσαι αὐτοὺς, μὴ κτείνειν.* Interpunctionem correxi, ſublatis commatibus poſt *ἀνταπαιτῆσαι* et *κτείνειν*, et fixa diſtinctione poſt *αὐτούς*. *Αὐτούς* int. *Θηβαίους*. Ad infinitivum autem *ἀνταπαιτῆσαι* ſubiectum ſubaudiendum eſt *ὑμᾶς*, ex ſuperioribus.

ἐσθήμασι. Veſtium uſum in inferiis nemo docuit. Sed huc pertinet locus Euripidis in Hecub. 575 ſq. *τῇ νεάνιδι* (Polyxenae) *οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων.* Unde apparet certe, mortuos etiam veſtibus donatos et honoratos eſſe, praeſertim cum victores mortem oppetiiſſent. Vid. Schol. Eurip. ad l. l. Ritum veſtimenta et alia pretioſa in honorem mortuorum concremandi huc pertinere, recte dubitat Bredovius. Benedictus temere coniicit *ἑστιάσει*.

τιθέναι καὶ παρ' ἀνδράσι τοιούτοις· ὑμεῖς δὲ, εἰ κτενεῖτε ἡμᾶς, καὶ χώραν τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς αὐθένταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς, ἀτίμους γερῶν, ὧν νῦν ἴσχουσι, καταλείψετε; πρὸς δὲ, καὶ γῆν, ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες, δουλώσετε; ἱερά τε θεῶν, οἷς εὐξάμενοι Μήδων ἐκράτησαν, ἐρημοῦτε; καὶ θυσίας τὰς πατρίους τῶν ἑσσαμένων καὶ κτισάντων ἀφαιρήσεσθε;

59. „Οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ Λακεδαιμόνιοι, τάδε, οὔτε ἐς τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν, οὔτε ἡμᾶς τοὺς εὐεργέτας, ἀλλοτρίας ἕνεκα ἔχθρας, μὴ αὐτοὺς ἀδικηθέντας, διαφθεῖραι· φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ, οἶκτον σώφρονα λαβόντας· μὴ, ὧν πεισόμεθα, μόνον δεινότητα κατανοοῦντας, ἀλλ' οἷοί τε ἂν ὄντες πάθοιμεν, καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφορᾶς, ᾧ τινί ποτ' ἂν καὶ ἀναξίῳ ξυμπέσοι. Ἡμεῖς τε, ὡς πρέπον ἡμῖν, καὶ ὡς ἡ χρεία προάγει, αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι, πεῖσαι τάδε, προφερόμενοι ὅρκους, οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν, μὴ ἀμνημονεῖν,

παρ' ἀνδράσι τοιούτοις, i. e. φίλοις ex φιλίᾳ. — αὐθένταις, Θηβαίους intelligit.

τῶν ἑσσαμένων. Haec forma haud dubie corrupta est. Legendum εἱσαμένων, aut fortasse ἱσαμένων, quod est in Cass. ἑσσάμενος apud poëtas solos reperitur. — Paullo ante ἐρημοῦτε inter futura praesens est loco futuri. Sic 7, 56. τοὺς μὲν ἐλευθεροῦσθαι, τοὺς δὲ ἀπολύεσθαι. Non enim credo Buttmanno Gr. p. 174. de hac forma disputanti. Alterum certe exemplum 6, 23. subtraxi. Vid. ibi.

59. οἶκτον σώφρονα λαβόντας. Cum Benedicto etiam Poppo probat lectionem codd. Reg. Cass. Aug. Bar. Marg. Vind. Par. H. et vett. edd. οἴκτῳ σώφρονι λαβόντας, qua recepta οἴκτῳ σώφρονι pertinet ad φείσασθαι καὶ ἐπικλασθῆναι τῇ γνώμῃ (parcere et mente flecti *propter* misericordiam moderatam) λαβόντας sc. αὐτόν s. τὸν οἶκτον. Similiter Thucyd. 5, 15. ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι, ubi ad infinitivum subaudiendum αὐτούς. Mihi tamen vulgata adhuc tenenda videtur, quae et simplicior est, et bonis item codicibus nititur. — Mox lego ἀναξίῳ pro ἀναξίως, ex Cass. Aug. Cam. Gr. Marg. cf. 5, 79. Poppo p. 165.

ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων, καὶ ἐπικαλούμεθα τοὺς κεκμηῶτας, μὴ γενέσθαι ὑπὸ Θηβαίοις, μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆναι. Ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μετ' αὐτῶν πράξαντες, νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν. Ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι, λόγου τελευτᾶν, διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι, λέγομεν ἤδη, ὅτι οὐ Θηβαίοις παρέδομεν τὴν πόλιν, (εἱλόμεθα γὰρ ἂν πρό γε τούτου, τῷ αἰσχίστῳ ὀλέθρῳ, λιμῷ, τελευτῆσαι,) ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν. Καὶ δίκαιον, εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντας, τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι. Ἐπισκήπτομέν τε ἅμα, μὴ, Πλαταιεῖς ὄντες, οἱ προθυμότατοι περὶ τοὺς Ἕλληνας γενόμενοι, Θηβαίοις, τοῖς ἡμῖν ἐχθίστοις, ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑμετέρας πίστεως, ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι· γενέσθαι δὲ σωτῆρας ἡμῶν, καὶ μὴ, τοὺς ἄλλους Ἕλληνας ἐλευθεροῦντας, ἡμᾶς διολέσαι."

60. Τοιαῦτα μὲν οἱ Πλαταιεῖς εἶπον. Οἱ δὲ Θηβαῖοι, δείσαντες, πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ Λακεδαιμόνιοι τὶ ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν, ἐπειδὴ καὶ ἐκείνοις, παρὰ γνώμην τὴν αὐτῶν, μακρότερος λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως. Ὡς δ' ἐκέλευσαν, ἔλεγον τοιάδε.

61. „ΤΟΥΣ μὲν λόγους οὐκ ἂν ᾐτησάμεθα εἰπεῖν, εἰ καὶ αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο, καὶ

60. Qua ne Lacedaemonii moverentur, veriti Thebani, et ipſi fuſius dicendi veniam poſtulant. Itaque 61 — 67. coram iisdem quinque viris, iudicibus Pla-

ἱκέται γιγνόμεθα ὑμῶν — Exſpectes aut ἱκέται γιγνόμενοι, aut καὶ ἱκέται γιγνόμεθα. Sed a participio transit ad verbum finitum, cuius loquendi uſus praeter alios hic locus inſigne exemplum eſt. Cf. ad 3, 37. — πεῖσαι τάδε, int. accuſativum ſubiecti ἡμᾶς, et μὴ ἀμνημονεῖν refer ad ὤμοσαν.

ἐπισκήπτομεν — παραδοθῆναι, vid. ad 3, 53 extr.

60. ἐκέλευσαν, int. οἱ Λακεδαιμόνιοι.

μὴ ἐπὶ ἡμᾶς τραπόμενοι, κατηγορίαν ἐποιήσαντο, καὶ περὶ αὑτῶν, ἔξω τῶν προκειμένων, καὶ ἅμα οὐδὲ ᾐτιασμένων πολλὴν τὴν ἀπολογίαν, καὶ ἔπαινον ὧν οὐδεὶς ἐμέμψατο. Νῦν δὲ πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ, τῶν δὲ ἔλεγχον ποιήσασθαι· ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς κακία ὠφελῇ, μήτε ἡ τούτων δόξα, τὸ δ᾽ ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες, κρίνητε. Ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα πρῶτον, ὅτι, ἡμῶν κτισάντων Πλάταιαν ὕστερον τῆς ἄλλης Βοιωτίας, καὶ ἄλλα χωρία μετ᾽ αὐτῆς, ἃ ξυμμίκτους ἀνθρώπους ἐξελάσαντες ἔσχομεν, οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τὸ πρῶτον, ἡγεμονεύεσθαι ὑφ᾽ ἡμῶν, ἔξω δὲ τῶν ἄλλων Βοιωτῶν παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο, προσεχώρησαν πρὸς Ἀθηναίους, καὶ μετ᾽ αὐτῶν πολλὰ ἡμᾶς ἔβλαπτον, ἀνθ᾽ ὧν καὶ ἀντέπασχον.

62. „Ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, φασὶ, μόνοι Βοιωτῶν οὐ μηδίσαι, καὶ τούτῳ μάλιστα αὐτοί τε ἀγάλλονται, καὶ ἡμᾶς λοιδοροῦσιν. Ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὐ φαμὲν, διότι οὐδ᾽ Ἀθη-

taeenſium Sparta miſſis, verba faciunt.

61. *καὶ περὶ αὑτῶν.* Optimi codices habent *αὑτῶν* pro *αὐτῶν*, quod non ſpreverim, memor aliorum locorum v. c. c. 60. *παρὰ γνώμην τὴν αὑτῶν.* Cf. ad 1, 6. Sic etiam Scholiaſtes h. l. videtur legiſſe; explicat enim: *ἑαυτῶν τῶν Πλαταιέων*, quod pro *αὐτῶν* eum ſubſtituiſſe vix credibile eſt. Similiter cap. 65. in verbis: *καὶ ἐς τὴν αὑτῶν πόλιν φιλίως, οὐ πολεμίως, κομίσαντες*, plerique et boni libri habent *αὑτῶν.* Porro 3, 92. conſtanter libri plerique *αὑτῶν* pro vulgato *αὐτῶν* praebent. — Commata poſt *ᾐτιασμένων* et *ἔπαινον* ſuſtuli, ne, quae arcte coniungenda ſunt, inepte divellantur.

ἡ ἡμετέρα αὐτοὺς κακία ὠφελῇ. Haec ironice dicta ſunt, notante jam Schol. Eodem fere redit *ἡ τούτων δόξα*, nempe Plataeenſium. Nam ſe ipſos immenſe laudaverant in oratione ſua; Thebanos autem ubiquo acriter reprehenderant, imprimis c. 56.

διάφοροι ἐγενόμεθα πρῶτον. Vulgo *τὸ πρῶτον.* Articulum habent codices deterioris notae Ar. C. Dan. etiam Gr. et Moſq.; meliores eum non agnoſcunt, ut Cl. Reg. Caſſ. Aug. cum aliis. Videtur ex proximis verbis *ὥςπερ ἐτάχθη τὸ πρῶτον* adiectus eſſe.

62. *ἡμᾶς λοιδοροῦσιν*, vid. c. 56 med. *Ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ᾽ αὐτοῦ ἦσαν.* cf. c. 54. *τῷ (Μήδῳ) ξυνεπιθέμενοι τότε ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν.*

ναίους· τῇ μέντοι αὐτῇ ἰδέᾳ ὕστερον, ἰόντων Ἀθηναίων ἐπὶ τοὺς Ἕλληνας, μόνους αὖ Βοιωτῶν ἀττικίσαι. Καίτοι σκέψασθε, ἐν οἵῳ εἴδει ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν. Ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ᾽ ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα, οὔτε κατὰ δημοκρατίαν· ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα. Καὶ οὗτοι, ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν, εἰ τὰ τοῦ Μήδου κρατήσειε, κατέχοντες ἰσχύϊ τὸ πλῆθος, ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς τοῦτ᾽ ἔπραξεν, οὐδ᾽ ἄξιον, αὐτῇ ὀνειδίσαι, ὧν μὴ μετὰ νόμων ἥμαρτεν. Ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε, καὶ τοὺς νόμους ἔλαβε, σκέψασθαι χρὴ, Ἀθηναίων ὕστερον ἐπιόντων, τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων ὑφ᾽ αὑτοῖς ποιεῖσθαι, καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλὰ, εἰ, μαχόμενοι ἐν Κορωνείᾳ, καὶ νικήσαντες αὐτοὺς, ἠλευθερώσαμεν τὴν Βοιωτίαν, καὶ τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν, ἵππους τε παρέχοντες, καὶ παρασκευὴν, ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων. Καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα.

63. „Ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας, καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασόμεθα ἀποφαίνειν. Ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατὲ, Ἀθηναίων ξύμμαχοι καὶ πολῖται· οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ὑπάγεσθαι αὐτοὺς, καὶ μὴ

ἰόντων Ἀθηναίων. Ordinem verborum ſic ex Mſſ. mutavimus cum Benedicto. Vulgo *Ἀθηναίων ἰόντων.* — Mox *πολιτεύουσα* eſt *διοικοῦσα, οἰκοῦσα*, alias *πολιτευομένη.*

μὴ μετὰ νόμων, i. e. *νόμοις οὐ χρωμένη.* Mox enim dicit: *ἐπειδὴ — τοὺς νόμους ἔλαβε.* — *Κατὰ στάσιν*, propter diſcordiam et ſeditiones inter Boeotiae civitates. cf. c. 2, 63.

ἐν Κορωνείᾳ, vid. ſupra 1, 113.

63. *Ἀθηναίων ξύμμαχοι καὶ πολῖται.* Supra cap. 55. *Καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλὸν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους, καὶ πολιτείας μετέλαβεν.* Quibus verbis arctiſſimum ſocietatis vinculum indicatur.

οὐκοῦν χρῆν τὰ πρὸς

ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον γε ὑμῖν, εἴ τι καὶ ἄκοντες προςήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷ Μήδῳ ξυμμαχίας γεγενημένης. ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέπειν, καί, τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι. Ἀλλ' ἑκόντες καὶ οὐ βιαζόμενοι ἔτι, εἵλεσθε μᾶλλον τὰ Ἀθηναίων. Καὶ λέγετε, ὡς αἰσχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δέ γε αἴσχιον καὶ ἀδικώτερον, τοὺς πάντας Ἕλληνας καταπροδοῦναι, οἷς ξυνωμόσατε, ἢ Ἀθηναίους μόνους· τοὺς μέν, καταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δέ, ἐλευθεροῦντας. Καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε, οὐδὲ αἰσχύνης ἀπηλλαγμένην. Ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτούς, ὡς φατέ, ἐπηγάγεσθε, τοῖς δὲ ἀδικοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε. Καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον, ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας.

64. „Δῆλόν τε ἐποιήσατε, οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι.

ἡμᾶς μόνον —„Oportebat igitur vos adversus nos (adversarios vestros) tantum eos (Athenienses) ducere, non cum iis alios invadere.“ Pro ὑπάγεσθαι Poppo coniicit ἐπάγεσθαι.

ὑπάρχον γε ὑμῖν. Vulgo legitur τέ, quod omnem periodi nexum perdit. Cum Benedicto rescripsimus γέ, quod est in uno cod. Par. — Paullo inferius τῶν ante Ἀθηναίων idem Benedictus recte iussit expungi. Abest enim a codd. plerisque omnibus.

οὐκ ἴσην αὐτοῖς τὴν χάριν —, quatenus illos in opprimendis aliis adiuverant Plataeenses, cum ipsos oppressos tantum Athenienses adiuverint.

καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδ. In hoc loco valde se torserunt interpretes. Scholiasta ante αἰσχρόν explicationis caussa inserit οὐκ, Bauerus excidisse putat μή (cui particulae hic nullus omnino locus est); Kistemakerus, cui assentitur Benedictus, μή, quod est ante ἀντιδιδόναι, ad μᾶλλον ἤ trahit, vertens *non tam, quam*. Horum nihil vel verborum structurae, vel Auctoris consilio aptum videtur. Τὰς ὁμοίας χάριτας idem esse censeo, quod paullo superius ἴσην χάριν, *parem et beneficio plane aequam gratiam*. Deinde repetenda sunt verba μὴ ἀντιδιδόναι in sequentibus ad τὰς μετὰ δικαιοσύνης — ἀποδιδομένας. Itaque hoc dicunt Thebani: *Parem* gratiam non referre, turpius est, quam non referre iuste quidem debitam, sed iniuriae inservientem.

64. ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι int. ἐμήδισαν. — τοῖς μὲν ταυτά, Ἀθηναίοις. τοῖς δὲ τἀναντία, τοῖς Ἕλλησιν.

Ὑμεῖς δὲ, τοῖς μὲν ταὐτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία, καὶ νῦν ἀξιοῦτε, ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοὶ, ἀπὸ τούτων ὠφελεῖσθαι. Ἀλλ' οὐκ εἰκός· ὥςπερ δὲ Ἀθηναίους εἵλεσθε, τούτοις ξυναγωνίζεσθε, καὶ μὴ προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν, ὡς χρὴ ἀπ' αὐτῆς νῦν σώζεσθαι. Ἀπελείπετε γὰρ αὐτὴν, καὶ παραβάντες, ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας, καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων, ἢ διεκωλύετε· καὶ ταῦτα, οὔτε ἄκοντες, ἔχοντές τε τοὺς νόμους, οὕςπερ μέχρι τοῦ δεῦρο, καὶ οὐδενὸς ὑμᾶς βιασαμένου, ὥςπερ ἡμᾶς. Τὴν τελευταίαν τε, πρὶν περιτειχίζεσθαι, πρόκλησιν ἐς ἡσυχίαν ὑμῶν, ὥςτε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε. Τίνες ἂν οὖν ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε; καὶ ἃ μὲν ποτὲ χρηστοὶ ἐγένεσθε, ὡς φατὲ, οὐ προςήκοντα νῦν ἐπεδείξατε· ἃ δὲ ἡ φύσις ἀεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές. Μετὰ γὰρ Ἀθηναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε. Τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκούσιον μηδισμὸν, καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμὸν τοιαῦτα ἀποφαίνομεν.

65. „Ἃ δὲ τελευταῖα φατὲ ἀδικηθῆναι (παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν) οὐ νομίζομεν οὐδ' ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν. Εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός

ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοί. Scholiafta recte: ἀφ' ὧν] πραγμάτων, οἷον προθυμίας καὶ ἀνδρείας. Ne has quidem virtutes integras relinquebant Plataeenfibus, fed ab Athenienfibus excitatas dicebant. Infra hoc cap. Ἃ μὲν ποτὲ χρηστοὶ ἐγένεσθε, ὡς φατέ, οὐ προςήκοντα νῦν ἐπεδείξατε· ἃ δὲ ἡ φύσις ἀεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές.

ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας. De Aeginetis navali proelio victis vid. 1, 105. de iisdem ex infula eiectis 2, 27.

τὴν τελευταίαν τε — πρόκλησιν. Refpicit ad ea, quae narrata funt a Thucydide 2, 72 feqq.

οὐ προςήκοντα, int. τῇ φύσει ὑμῶν. Ita enim Athenienfium auctoritate et iuffu vos geffiftis. *φύσις* eft ingenium, quod improbum malumque hic defcribitur, cum Athenienfium focii fuerint Plataeenfes in iniuriis inferendis. — *χρηστοί ποτε*, tempore Perfici belli.

65. *ἱερομηνίαις.* Vid. ad cap 56.

ὑμῶν μᾶλλον ἁμαρτεῖν.

τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα, καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν; Οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων. Ἀλλ' οὔτ' ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔθ' ἡμεῖς· πολῖται δὲ ὄντες, ὥςπερ ὑμεῖς, καὶ πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες, καὶ ἐς τὴν αὐτῶν πόλιν φιλίως, οὐ πολεμίως, κομίσαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους, μηκέτι μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν· σωφρονισταὶ ὄντες τῆς γνώμης, καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες· ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.

66. „Τεκμήριον δὲ, ὡς οὐ πολεμίως ἐπράσσομεν· οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομέν τε, τὸν βουλόμενον κατὰ τὰ τῶν πάντων Βοιωτῶν πάτρια πολιτεύειν ἰέναι πρὸς ἡμᾶς. Καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες, καὶ ξύμβασιν ποιησάμενοι, τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ, κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, (εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον πρᾶξαι, οὐ μετὰ τοῦ πλήθους ἡμῶν ἐςελθόντες,) τὰ μὲν ὅμοια οὐκ

Sic Benedictus ex codicum consensu scribendum censet pro ὑμαρτάνειν, praesertim cum praeteritum h. l. aptius sit. Sed eandem ob causam paullo post ἠδικοῦμεν ἂν exspectes, quamquam ibi vulgatum excusat Poppo concinnitatis ratione habita, quod sequitur: τί ἀδικοῦμεν.

οἱ γὰρ ἄγοντες — ἑπομένων. Non sine ironia vel contumelia haec interiecta mihi videntur, et cum respectu ad ea, quae cap. 55 extr. Plataeenses dixerant.

πλείω παραβαλλόμενοι, quatenus nobilissimi et ditissimi erant, ἄνδρες οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει, ut paullo superius dixerat. Mox τούς τε ὑμῶν, int. ἐξ ὑμῶν, et ad μᾶλλον γενέσθαι subaudi ἀδίκους ex χείρους, quamquam etiam comparativis interdum additur μᾶλλον, ut apud Eurip. Hecub. 375. μᾶλλον εὐτυχέστερος.

ἐς τὴν ξυγγένειαν, nempe τῶν Βοιωτῶν.

66. μετὰ τοῦ πλήθους ἡμῶν ἐςελθόντες. Codices Cl. Reg. Cass. Gr. pro ὑμῶν exhibent ἡμῶν, quod, etiam Abreschio et Gottlebero probatum, recepi. Non enim video, quare ironia

ἀνταπέδοτε ἡμῖν, μήτε νεωτερίσαι ἔργῳ, λόγοις τε πείσειν, ὥστε ἐξελθεῖν· ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπεκτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν· (κατὰ νόμον γὰρ δή τινα ἔπασχον) οὓς δὲ χεῖρας προϊσχομένους, καὶ ζωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν, παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; καὶ ταῦτα, τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυθεῖσαν ὁμολογίαν, καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον, καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπόσχεσιν, ἢν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν. Ὅμως φατὲ ἡμᾶς παρανομῆσαι, καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦναι δίκην· οὔκ, ἤν γε οὗτοι τὰ ὀρθὰ γιγνώσκωσι· πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε.

67. „Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν, καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι. Καὶ μὴ παλαιὰς ἀρετάς, εἴ τις ἄρα καὶ ἐγένετο, ἀκούοντες ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι, διπλασίας ζημίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι· μηδὲ ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν, πατέρων τε τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι, καὶ τὴν σφετέραν ἐρημίαν. Καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν

graviſſimo auctore Thucydide indigna videatur, quam vides adhibitam etiam cap. 61. ἵνα μήτε ἡ ἡμετέρα αὐτοῖς κακία ὠφελῇ, μήτε ἡ τούτων δόξα. 1, 37. κἂν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον — προβέβληνται.

μήτε νεωτερίσαι ἔργῳ, λόγοις τε πείσειν. Codicum auctoritate aptiſſimam lectionem recepimus νεωτερίσαι pro fut. νεωτεριεῖν. Idem faciendum erat infinitivo πείσειν. Sed contra omnes libros nihil mutare auſi ſumus, praeſertim cum ferri poſſe videatur infinitivus futuri πείσειν, cum aliis locis, ubi variorum temporum infinitivi coniunguntur, ut 7, 56. cf. 3, 58., tum vero hoc, quod de conatu perſuadendi tantum ſermo eſt.

τήν τε λυθεῖσαν ὁμολογίαν. Hoc reſpicit ad verba ἐπιθέμενοι παρὰ τὴν ξύμβασιν.

67. εἴ τις ἄρα καὶ ἐγένετο. Ita propter codicum conſenſum reſcripſimus pro vulgato εἴ τινες ἄρα καὶ ἐγένοντο.

ὅτι οὐκ ἐκ προσηκόντων. Meliore enim natura praediti erant; ergo in peius degeneraverant. Cf. c. 64. οὐ προσήκοντα.

πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην, ὧν πατέρες, οἱ μέν, πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες, ἀπέθανον ἐν Κορωνείᾳ, οἱ δέ, πρεσβῦται λελειμμένοι, καὶ οἰκίαι ἔρημοι, πολλῷ δικαιοτέραν ὑμῶν ἱκετείαν ποιοῦνται, τούσδε τιμωρήσασθαι. Οἴκτου τε ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀνθρώπων· οἱ δὲ δικαίως, ὥσπερ οἵδε, τὰ ἐναντία ἐπίχαρτοι εἶναι. Καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι. Τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο· παρηνόμησάν τε, οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ δίκῃ κρίναντες, καὶ οὐκ ἀνταποδίδοντες νῦν τὴν ἴσην τιμωρίαν. ἔννομα γὰρ πείσονται, καὶ οὐχὶ ἐκ μάχης χεῖρας προϊσχόμενοι, ὥσπερ φασίν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες. Ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι, καὶ

τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν. *Ἡλικία*, ut Latinorum *iuventus*, pro *iuvenibus*. Intelligit autem eos, qui Plataeis necati erant, quorum patres partim apud Coroneam obiiſſe, partim nunc relictos et orbatos filiis (*λελειμμένοι*) ultionem iuſtiorem petere ait. — *καὶ οἰκίαι ἔρημοι* int. *αὐτῶν*, quae verba aut in parentheſi ponenda, aut, quod praeſtat, praecedentibus adiungenda ſunt, ut ſit proſopopoeia.

ἐπίχαρτοι εἶναι pendet ab *ἄξιοί εἰσι*, quod ex *ἀξιώτεροι* ſubaudiendum. Scholiaſta: *ὧν τῷ ὀλέθρῳ ὀφείλει πάντας ἀνθρώπους ἐπιχαρῆναι.*

καὶ οὐκ ἀνταποδόντες. Haud dubie cum Poppone corrigendum eſt *ἀνταποδίδοντες* vel *ἀνταποδώσοντες*. Nam praeteritum hoc loco non quadrat propter adiectum *νῦν* et ſequens *πείσονται*. Depravationi anſam dederunt participia, quae praecedunt.

οὐχὶ ἐκ μάχης χεῖρας προϊσχόμενοι, ὥσπερ φασίν. Hoc quidem *ἐκ μάχης* nusquam in Plataeenſium oratione diſerte dictum eſt. Illud autem ſubinde monuerant Plataeenſes, Spartanis ſolis ſe ſuam cauſam diiudicandam mandaſſe (cap. 53 init.), ſperantes fore, ut ſalutem impetrarent ab iis, quibus ſponte ſe obtuliſſent (*ὅτι ἑκόντας τε ἐλάβετε, καὶ χεῖρας προϊσχομένους* cap. 58.) et de quorum patribus ipſi optime eſſent meriti. Cap. 58 med. Cf. 59 extr. *Ἐπισκήπτομέν τε ἅμα, μὴ — ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑμετέρας πίστεως, ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι.*

ἀλλ' ἀπὸ ξυμβάσεως ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες. Cap. 52 med. *Προσπέμπει δὲ (ὁ Λακεδαιμόνιος ἄρχων) αὐτοῖς κήρυκα, λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις, καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα. Οἱ δὲ παρέδοσαν τὴν πόλιν.*

τῷ τῶν Ἑλλήνων νόμῳ.

ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα. Καὶ μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν· ποιήσατε δὲ τοῖς Ἕλλησι παράδειγμα, οὐ λόγων τοὺς ἀγῶνας προθήσοντες, ἀλλ' ἔργων· ὧν ἀγαθῶν μὲν ὄντων, βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ· ἁμαρτανομένων δὲ, λόγοι ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται. Ἀλλ' ἢν οἱ ἡγεμόνες, ὥςπερ νῦν ὑμεῖς κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει."

68. Τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. Οἱ δὲ Λακεδαιμόνιοι δικασταὶ, νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον

68. Iudices Lacedaemonii, in ſententia perſtantes, Plataeenſes damnant et interficiunt, numero ducentos, cum viginti quinque Athenienſibus. Urbem Thebani Megaren-

Schol. τῷ κελεύοντι παρὰ τὰς σπονδὰς μηδένα ἀναιρεῖν. Vide, quae hanc in rem criminantur Thebani ſupra cap. 66. Οὓς δὲ χεῖρας προϊσχομένους, καὶ ζωγρήσαντες, ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν, παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε;

ὧν πρόθυμοι γεγενήμεθα (i. e. ἐκείνων ἃ προθ γεγ.) Circumſcriptio alacritatis et ſtudii.

οὐ λόγων τοὺς ἀγῶνας. Hoc pro vulgato τούτοις ἀγῶνας repoſuimus, partim codicum plurimorum conſenſu moti, ex quibus Caſſelanus praeterea τούτοις inter ἀγῶνας et προθήσοντες adſcriptum habet; partim propter futurum προθήσοντες, quod hanc generalem eſſe ſententiam et ad omnes Graecos in poſterum pertinere demonſtrat. — ἔπεσι, verborum ornatu.

ὥςπερ νῦν ὑμεῖς κεφαλαιώσαντες — ποιήσησθε. Pro ποιήσωνται. vid. ad 1, 82. κεφαλαιώσαντες Portus vertit: *brevi interrogatione uſi.* Ergo ad interrogationem ſolam refert, cum omnino de brevi agendi et cognoſcendi ratione accipi poſſit, quae non fallitur verborum cultu. Quo ducunt etiam verba διαγνώμας ποιήσησθε. Vertam: Si illi, penes quos arbitrium eſt, ut nunc penes vos, rebus ſingulis in ſummam contractis, de omnibus ſimul ſententias ferant —.

68. τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. Vulgo legitur τοιαῦτα μέν. Optimi codices Cl. Gr. Caſſ. Reg. Aug. Moſq. pro eo praebent δέ, quod Benedictus mutat in δή, nos integrum recepimus. Vide ad 1, 87 coll. 1, 43. — Mox delevimus τι poſt ἀγαθόν, codicum auctoritate. Cf. ad cap. 52.

σπονδὰς ἡσυχάζειν, καὶ ὅτε ὕστερον, ἃ πρὸ τοῦ περιτειχίζεσθαι προΐσχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα· ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι, αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσὶν, ὁπότε μὴ φαῖεν, ἀπάγοντες ἀπέκτεινον· καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα. Διέφθειραν δὲ Πλαταιέων μὲν αὐτῶν, οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ, πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν. Τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Θηβαῖοι Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι, καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες Πλαταιέων περιῆσαν, ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ, καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων, ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν, πανταχῇ κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν· καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιέων ἐχρήσαντο· καὶ τοῖς ἄλλοις, ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες, ἀνέθεσαν τῇ Ἥρᾳ,

ſibus Plataeenſibusque exſulibus tradunt; poſthac autem

καὶ ὅτε ὕστερον. Ad haec verba vel intelligendum ἠξίουν, quod praecedit, vel προΐσχοντο, quod ſequitur, bis intelligatur necesse eſt. Ὕστερον, vel potius ὅτε ὕστερον, reſpondet verbis τόν τε ἄλλον χρόνον. Impeditiorem reddit ſtructuram pronomen relativum ἅ. Totum locum ſic verto: Iudices vero Lacedaemonii, rati interrogationem ſuam recte ſe habituram, ecquid boni ab illis hoc in bello accepcrint, quia cum reliquo tempore eos rogaverant, ut in antiquo foedere, a Pauſania poſt Perſarum fugam icto, acquieſcerent, tum poſtea, cum proponerent, quae ante urbem circumvallandam iis proponebant, ut ſecundum Archidami conditiones utrorumque communes amici eſſent: quoniam nihil horum audiebant cet.

δικαίᾳ βουλήσει, iuſta rei exiſtimatione.

ἐς ἔδαφος — ἐκ τῶν θεμελίων. Vide de hoc pleonaſmorum genere ad 1, 53, et quos laudavimus 1, 23.

καὶ τοῖς ἄλλοις, ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα. Displicet τοῖς ἄλλοις, non multo minus ad κλίνας κατασκευάσαντες, quam ad ἀνέθεσαν relatum; tametſi illud, niſi hic aliquid vitii latet, teneamus (pro ἐκ τῶν ἄλλων), et ad ἀνέθεσαν ſubaudiendum eſt αὐτάς i. e. κλίνας. — ἐν τῷ τείχει, Plataeis.

καὶ νεὼν ἑκατόμποδον λίθινον ᾠκοδόμησαν αὐτῇ. Τὴν δὲ γῆν δημοσιώσαντες, ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. Σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους εἶναι. Καὶ τὰ μὲν κατὰ Πλάταιαν, ἔτει τρίτῳ καὶ ἐννενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο, οὕτως ἐτελεύτησεν.

69. Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων, αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους, ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι, καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι, καὶ ἀπ᾽ αὐτῆς σποράδες, πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ Κυλλήνῃ τρισκαίδεκα τριήρεις Λευκαδίων καὶ Ἀμπρακιωτῶν, καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον Ἀλκίδᾳ ἐπεληλυθότα. Ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες, ἐς τὴν Κέρκυραν πλεῦσαι στα-

ſunditus eam evertunt. 69. Quadraginta Lacedaemoniorum naves, Leſbo reverſae et ab Athenienſibus fugatae diſperſaeque tempeſtatibus, Cyllenen appellunt, ibique Leucadiorum aliorumque navibus auctae, ad expedi-

περὶ Πλαταιῶν. Videndum, ſcripſeritne Thucydides περὶ Πλαταιέων, de *Plataeenſibus*. Ad incolas enim potius pertinebant, quae Lacedaemonii ſeverius egerant, quam ad oppidum; neque usquam alibi apud Thucydidem huius civitatis nomen Πλάταιαι ſcribitur, ſed Πλάταια.

οὕτως ἐτελεύτησεν. Perperam vulgo ἐτελεύτησαν.

69. αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοπ. Redit ad eas, quas reliquerat ſupra c. 33. Pro ἔκ τε τῶν Ἀθηνῶν cum Benedicto recepimus Ἀθηναίων, non ſolum codicibus iubentibus, ſed etiam re ſic poſtulante. Paches enim Athenienſis, qui Alcidam perſequebatur, a Leſbo, non Athenis, profectus erat. vid. cap. 33. Corruptioni anſam dare potuit praepoſitio ἐκ, quae ſane h. l. inſolentior eſt, ubi ὑπό exſpectes. Comparari poteſt vernaculum *von Seiten*.

καὶ ἀπ᾽ αὐτῆς σποράδες — κατηνέχθησαν. Καί vulgo uncis includitur, quamquam in omnibus libris legitur, et Scholiaſtam, cum dicat: περιττὸς ὁ καί, idem in ſuo codice reperiſſe apparet. Errat Duckerus, qui hanc copulam, ſi κατηνέχθησαν retineatur, ante καταλαμβάνουσιν transponendum cenſet. Nam ab hoc verbo inci-

σιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων Ἀθηναίων περὶ Ναύπακτον· πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν, ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ, τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα.

70. Οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ, ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ, πεπεισμένοι Κορινθίοις Κέρκυραν προςποιῆσαι. Καὶ ἔπρασσον οὗτοι, ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. Καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας, πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι, κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι, ὥςπερ καὶ πρότερον Καὶ, (ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν Ἀθηναίων,

tionem in Corcyram parantur. 70. Seditio enim Corcyrae orta erat, cuius cauſa demonſtratur. Nam Pithias quidam, Athenienſium proxenus, reus abſolvitur. Is cum quinque alios ex parte adverſariorum accuſaſſet et grandi

pit apodoſis, quae copulam non fert: κατηνέχθησαν autem pendet ab ὡς. Vocabulum σποράδες, participiis admixtum, pro σποράδες οὖσαι accipiendum videtur. Ita omnis tolletur difficultas, et καί ſuo aptum eſt loco. Κυλλήνη, Elidis oppidum et portus.

δώδεκα μὲν ναυσὶ μόναις παρόντων Ἀθηναίων. Perperam vulgo diſtinguitur ante παρόντων, quaſi verba δώδεκα ναυσὶ μόναις ad πλεῦσαι, non ad παρόντων, (cf. c. 75 init.) pertineant. Item poſt Ναύπακτον colon mutavi in comma, ne dirimantur membra, particulis μὲν — δέ inter ſe iuncta.

70. *περὶ Ἐπίδαμνον.* Schol. ad pugnam ἐν Συβότοις (1, 47 ſeqq.) refert, et praepoſitionem διὰ τὴν αἰτίαν τῆς Ἐπιδάμνου explicat. Bauerus contra interpretatur *circa*, *e regione*, quod rei certe magis convenit et loquendi uſui, etiamſi minus ſitui locorum. Haud dubie Thucydides omnia ea, quae ineunte bello in Ionio mari geſta ſunt, ad Epidamnum ideo retulit, quia non procul ab illa inſula gerebantur, et certe vel ad oppugnationem, vel ad defenſionem et liberationem eius urbis ſpectabant.

τοῖς προξένοις διηγγυημένοι, διεγγύα τῶν προξένων. Schol. Hi proxeni erant cives Corinthii, Corcyraeorum civitati amici. Cf. locum parallelum Diod. 12, 57.

καὶ ἐς λόγους καταστάντων, int. τῶν πρέσβεων.

καὶ τοῦ δήμου προειστήκει,) ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες ἐς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. Ὁ δὲ, ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς τοῦ τεμένους καὶ τοῦ Ἀλκίνου. ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο στατήρ. Ὀφλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων, διὰ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὤν) πείθει, ὥστε τῷ νόμῳ χρήσασθαι. Οἱ δ', ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο, καὶ ἅμα ἐπυνθάνοντο, τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστι, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσταντό τε, καὶ λαβόντες ἐγχειρίδια, ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες, τόν τε Πειθίαν κτείνουσι, καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν, ἐς ἑξήκοντα. Οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ, ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον ἔτι παροῦσαν.

71. Δράσαντες δὲ τοῦτο, καὶ ξυγκαλέσαντες Κερκυραίους, εἶπον, ὅτι ταῦτα καὶ βέλτιστα εἴη, καὶ

pecunia damnaſſet, illi in deſperatione ſalutis Pithiam cum ſexaginta aliis trucidant. Ex Pithiae parte pauci admodum in navem Atticam confugiunt. 71. Quibus

οὗτοι οἱ ἄνδρες, deſignantur ii, qui nuper ex manibus Corinthiorum dimiſſi erant. — ἐθελοπρόξενος, Schol. ἀφ' ἑαυτοῦ γενόμενος καὶ μὴ κελευσθεὶς ἐκ τῆς πόλεως. ἐκ τοῦ τε Διὸς τοῦ τεμένους καὶ τοῦ Ἀλκίνου. Alcinous Corcyraeis heros celebratus inde a Troicis. Contractionem formae illuſtrat ad h. l. Duckerus. Ante τεμένους recte Benedictus inſeruit τοῦ, praeeuntibus libris Cl. Gr. Reg. Caſſ. Aug. Iisdem cum aliis iubentibus articulum τὸ ante πλῆθος expunximus, licet ferri poſſit, quia praeceſſit: ζημία — ἐπέκειτο στατήρ.

τοὺς αὐτοὺς Ἀθηναίοις, eosdem, quos etiam Athenienſes, amicos vel hoſtes putare. Pari modo mox dicitur τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ. — Paullo ante τῷ νόμῳ ἐξείργοντο cum Bredovio intelligo: civitate et ſenatu movebantur lege. Puto autem legem fuiſſe in eos, qui aerario publico debebant, nec ſolvendo erant, ut civitatem amitterent. Quare illi ſupplices paullo ante dicuntur fuiſſe, ut debitam multam, quam repraeſentare non poſſent, ſingulis diebus ſtatutis (ταξάμενοι) ſolverent.

ἥκιστ᾽ ἂν δουλωθεῖεν ὑπ᾽ Ἀθηναίων· τό, τε λοιπὸν μηδετέρους δέχεσθαι, ἀλλ᾽ ἢ μιᾷ νηΐ, ἡσυχάζοντας· τὸ δὲ πλέον, πολέμιον ἡγεῖσθαι. Ὡς δὲ εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην. Πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις, περί τε τῶν πεπραγμένων διδάξοντας, ὡς ξυνέφερε, καὶ τοὺς ἐκεῖ καταπεφευγότας πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται.

72. Ἐλθόντων δέ, οἱ Ἀθηναῖοι τούς τε πρέσβεις, ὡς νεωτερίζοντας, ξυλλαβόντες, καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν. Ἐν δὲ τούτῳ, τῶν Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα, ἐλθούσης τριήρους Κορινθίας, καὶ Λακεδαιμονίων πρέσβεων, ἐπιτίθενται τῷ δήμῳ· καὶ μαχόμενοι ἐνίκησαν. Ἀφικομένης δὲ νυκτός, ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει, καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύθη· καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον. Οἱ δὲ τήν τε ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον.

73. Τῇ δ᾽ ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα, καὶ

factis Corcyraei ſtatuunt, neutram partem, nec Peloponneſios, neque Athenienſes admittere, plus una nave appellentes. Legati his de rebus Athenas miſſi, 72. tamquam novatores ab Athenienſibus in vincula coniecti et Aeginam delati. Corcyrae autem, adventu Corinthiacae cuiusdam navis, iterum nobilium ſeditio cooita eſt, ita ut nobiles cum Spartanis legatis forum et unum portum, alterum cum caſtello plebs teneret. 73. Servi, ab utrisque

72. *ἐς Αἴγιναν.* Hanc inſulam primum ſtipendiariam fecerant Athenienſes (1, 108), deinde, incolis eiectis, novos Athenis incolas ex civibus ſuis eo miſerant (2, 27.) —. Paullo poſt τέ, quod erat inter τῶν et Κερκυραίων, cum nihil haberet quo referretur, et a codd. Reg. Caſſ. Aug. Moſq. aliisque abeſſet, expunximus.

ἱδρύθη. Hanc formam non ſolum codices plurimi hic et alibi praebent, ſed etiam Thomas confirmat. Quamobrem ſic correximus vulgatum ἱδρύνθη. Vid. Buttmann. Gr. Gr. p. 338. Mox, codicibus iubentibus, τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον ſcripſimus pro τὸν πρὸς αὐτήν —. Adiacebat foro hic alter portus, et ad continentem ſpectabat. Corruptionis cauſa patet.

ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι, τοὺς δούλους παρακαλοῦντές τε, καὶ ἐλευθερίαν ὑπισχνούμενοι. Καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον· τοῖς δ' ἑτέροις, ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

74. Διαλιπούσης δ' ἡμέρας, μάχη αὖθις γίγνεται· καὶ νικᾷ ὁ δῆμος, χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ, καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. Γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν, δείσαντες οἱ ὀλίγοι, μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν, καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς, καὶ τὰς ξυνοικίας, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας, οὔτε ἀλλοτρίας· ὥςτε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη, καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. Καὶ οἱ μὲν, παυσάμενοι τῆς μάχης, ὡς ἑκάτεροι ἡσυχάσαντες, τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία ναῦς, τοῦ δήμου κεκρατηκότος, ὑπεξανήγετο, καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν.

75. Τῇ δ' ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διϊτρεφοῦς, Ἀθηναίων στρατηγὸς, παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ, καὶ Μεσσηνίων πεντακο-

tentati, plebi accedunt; nobilibus octingenti ex continente. 74 — 75. Poſtridie pugna commiſſa ad veſperam, in qua plebs vicit, quae clades magnae viciſſitudinis cauſa fuit. Nam poſtridie eius diei, quo erat pugnatum, Nicoſtratus cum duodecim navibus Atticis advenit, pactionemque inter duas factiones et cum Athenienſibus conciliavit. Optimates

74. *διαλιπούσης δ' ἡμέρας*, Schol. *παρελθούσης μιᾶς ἡμέρας*, die uno interiecto. — *οἱ ὀλίγοι*, vid. ad cap. 39.
τοῦ τε νεωρίου κρατήσειεν. Intelligo navalia, quae erant in portu, foro adiacenti, quo ſe receperant optimates. — *Αἱ ξυνοικίαι* h. l. ſunt domus contiguae illis, quae forum cingunt. — *ὑπεξανήγετο*, *clam ex portu altum petiit.*

σίοις ὁπλίταις, ξύμβασίν τε ἔπρασσε, καὶ πείθει, ὥστε ξυγχωρῆσαι ἀλλήλοις, δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν· τοὺς δ' ἄλλους οἰκεῖν, σπονδὰς πρὸς ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. Καὶ ὁ μὲν, ταῦτα πράξας, ἔμελλεν ἀποπλεύσεσθαι. Οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν, πέντε μὲν ναῦς τῶν αὑτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἐν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν, ξυμπέμψειν. Καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. Δείσαντες δὲ ἐκεῖνοι, μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν Διοσκούρων ἱερόν. Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο. Ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος, ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε, καὶ αὐτῶν τινὰς, οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. Ὁρῶντες δ' οἱ ἄλλοι τὰ γιγνόμενα, καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. Ὁ δὲ δῆμος, δείσας, μή τι νεωτερίσωσιν, ἀνίστησί τε αὐτοὺς πείσας, καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

76. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν, αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες, μετὰ

tamen fidem non habebant adverfariis, necdum omnia pacata erant, cum 76. Peloponnefiorum naves quinquaginta

75. ξύμβασίν τε ἔπρασσε. Minus plene interpungendum erat ante haec verba. Imperfectum ἔπρασσε vim fuam habet propter rerum agendarum naturam. Ita c. 79 init. τὴν πόλιν ἐφύλασσον dicit, cum διεκόμισαν praeceſſerit. Nam transvehendi opera abſoluta erat una actione; urbis cuſtodia multos dies durabat.

οἱ οὐκέτι ἔμειναν, non exſpectabant iudicii eventum, ſed fuga incolumitatem quaerebant.

τὸν ἐκ τῆς Ἰωνίας πλοῦν, ἔφορμοι οὖσαι, παραγίγνονται τρεῖς καὶ πεντήκοντα. Ἦρχε δὲ αὐτῶν Ἀλκίδας, ὥςπερ καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. Ὁρμισάμενοι δὲ ἐς Σύβοτα, λιμένα τῆς ἠπείρου, ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ.

77. Οἱ δέ, πολλῷ θορύβῳ, καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν, παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς, καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι, καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι. Ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς ηὐτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ ἐμπλέοντες ἐμάχοντο. Ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων. Ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχήν, εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων· ὧν ἦσαν αἱ δύο Σαλαμινία καὶ Πάραλος.

78. Καὶ οἱ μὲν Κερκυραῖοι, κακῶς τε καὶ κατ' ὀλίγας προςπίπτοντες, ἐταλαιπωροῦντο καθ' αὑτούς· οἱ δ' Ἀθηναῖοι, φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύκλωσιν, ἀθρόαις μὲν οὐ προςέπιπτον, οὐδὲ κατὰ μέσον ταῖς ἐφ' ἑαυτοὺς τεταγμέναις· προςβαλόντες δὲ κατὰ κέρας, καταδύουσι μίαν ναῦν. καὶ μετὰ ταῦτα, κύκλον ταξαμένων αὐτῶν, περιέπλεον, καὶ ἐπειρῶντο θορυβεῖν. Γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις, καὶ δείσαντες, μή, ὅπερ ἐν Ναυπάκτῳ, γένοιτο, ἐπιβοηθοῦσι· καὶ γενόμεναι ἀθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθηναίοις ἐποιοῦντο. Οἱ δ' ὑπεχώρουν, ἤδη πρύμναν

tres ſub Alcida appropinquarent. 77. Corcyraei quidem ad certamen ſe parabant; ſed etiam in claſſe eorum, cum hoſti ex adverſo ſtaret, ſeditio erupit; 78. quare Athe-

76. ἐς Σύβοτα, λιμένα τῆς ἠπείρου. Hoc addit, quia etiam inſulae quaedam huius regionis Σύβοτα nominabantur. Haec autem Sybota in continente Theſprotiae erant portus deſertus. Cf. 1, 50 med.

κρουόμενοι· καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προκαταφυγεῖν, ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων, καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. ἡ μὲν οὖν ναυμαχία, τοιαύτη γενομένη, ἐτελεύτα ἐς ἡλίου δύσιν.

79. Καὶ οἱ Κερκυραῖοι, δείσαντες, μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν, ὡς κρατοῦντες, οἱ πολέμιοι, ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν, ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλαι ἐς τὸ Ἡραῖον διεκόμισαν, καὶ τὴν πόλιν ἐφύλασσον. Οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι, κρατοῦντες τῇ ναυμαχίᾳ, τρισκαίδεκα δὲ ναῦς ἔχοντες τῶν Κερκυραίων, ἀπέπλευσαν ἐς τὴν ἤπειρον, ὅθενπερ ἀνηγάγοντο. Τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμνην τὸ ἀκρωτήριον ἀποβάντες, ἐπόρθουν τοὺς ἀγρούς.

80. Ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ, περιδεὴς γενόμενος, μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ᾖεσαν ἐς λόγους, καὶ τοῖς ἄλλοις, ὅπως σωθή-

nienſes quoque ſe recipere coacti ſunt. 79. Corcyraei, veriti, ne, quod Braſidas ſuaſiſſe fertur, victores impetum faciant in urbem, eam cuſtodiunt; 80. Cumque idem perſuaſiſſent civibus adverſariis, Peloponneſii, vaſtata in-

79. πάλαι ἐς τὸ Ἡραῖον διεκόμισαν. In optimis quidem libris, etiam Pariſſ. omnibus, legitur πάλαι, cuius adverbii vulgarem ſignificationem alienam eſſe ab hoc loco, et quivis per ſe videt, et docet Poppo, qui cum Benedicto praefert πάλιν, quod exſtat in Ar. C. Dan. Moſq. et in Reg. ſuperſcriptum eſt. Idem mihi olim faciendum videbatur. Sed cum codicum illorum, ſi tantummodo inter ſe, non cum aliis conſpirant, minima ſit auctoritas, quia correctionibus ſcatent, retinui vulgatum, quod fortaſſe, quemadmodum Latinum *nuper*, etiam de parvis temporis intervallis dicitur. — Mox τρισκαίδεκα δὲ cum Benedicto dedimus pro vulgato τρεῖς δὲ καὶ δέκα, codicum auctoritate. Saepe librarii δὲ, quod etiam poſt plures voces arcte cohaerentes locum habet, primae ſuffixerunt. Exempla congeſſit Poppo Obſſ. critt. p. 30.

σεται ἡ πόλις. Καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐςβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα, προςδεχόμενοι τὸν ἐπίπλουν. Οἱ δὲ Πελοποννήσιοι, μέχρι μέσου ἡμέρας δῃώσαντες τὴν γῆν, ἀπέπλευσαν. Καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων, προςπλέουσαι ἀπὸ Λευκάδος· ἃς οἱ Ἀθηναῖοι, πυνθανόμενοι τὴν στάσιν, καὶ τὰς μετ' Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν, ἀπέστειλαν, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν.

81. Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δέ, αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προςπλεούσας, τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας· καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες, ἃς ἐπλήρωσαν, ἐς

ſulae parte, abeunt, et mox certiores fiunt de adventu LX navium Atticarum. 81. Quo facto ſtatim eadem nocte domum contendunt, praeter littora navigantes et ſuper Leucadiae iſthmum naves per machinas transvehentes, ne conſpicerentur. Corcyraei interim, ſub Athenienſis claſſis tutela, ira graſſantur in adverſarios, partim et privatas inimicitias ulciſcuntur. Eo proceſſit odium et cru-

80. *ἐς τὰς ναῦς ἐςβῆναι.* Vulgo *ἐμβῆναι*, contra codices. Iterum ſic cap. 81. legitur: *ὅσους ἔπεισαν ἐςβῆναι.* — *ὅμως* pertinet ad ſententiam tacite cogitandam: etſi victi erant. Vide ad 5, 49. — Verba *προςδεχόμενοι τὸν ἐπίπλουν* omittit cod. Caſſ., et qui cum eo ubique fere conſpirat, Auguſtanus. De Reg. non certo conſtat. Sed ſi abſunt illa verba, vitio vel errore omiſſa ſunt.

αὐτοῖς ἐφρυκτωρήθησαν — Λευκάδος. Vix dubitari poteſt, non ſolum multarum navium adventum, ſed ipſum ſexaginta navium numerum, a Leucade venientium, Peloponneſiis ſignificatum eſſe. Vid. Bredov. ad h. l.

81. *τὸν Λευκαδίων ἰσθμόν.* Leucadia tum temporis nondum erat inſula, ſed cum continente cohaerebat iſthmo perparvo, qui, etſi iam a Cypſelo Corinthio perfoſſus erat, tamen Thucydidis aetate per alluviones priſtinae formae redditus fuit, ut hoc loco patet, coll. 4, 8. ubi vid. Hudſon. Pluries igitur faciem mutavit. De uſu machinarum in navibus per terram vehendis vid. ſupra 3, 15.

τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν, ὅσους ἔπεισαν ἐςβῆναι, ἐκβιβάζοντες, ἀπεχώρησαν· ἐς τὸ Ἡραῖόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν, καὶ κατέγνωσαν πάντων θάνατον. Οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο· οἱ δ', ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. Ἡμέρας τε ἑπτὰ, ἃς ἀφικόμενος Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων

delitas, ut ad altaria deorum trucidare vel inde vi abstrahere supplices religio non esset, et filium pater occideret. Et gravior etiam, quam vere fuit, visa est seditio,

ἐν ὅσῳ περιεκομίζοντο, int. *χρόνῳ*. Dum illae naves, in quibus nonnulli etiam ex inimicis plebis erant, quibus ea, ut urbi periclitanti subvenirent, persuaserat (c. 80), in portum Hyllaicum circumnavigabant: singuli ex optimatium parte, ut obveniebant, occidebantur ab iis, qui in oppido erant.

ἀπεχώρησαν. Hanc lectionem corruptam esse, quilibet intelligit. Sed quae a Kistemakero et Bredovio commendatur *ἀπεχρῶντο*, codicibus Cl. et Aug. in margine appicta, licet ad sensum aptissima sit, tamen et correctionem sapit, et vel ideo minus probabilis est, quod longius recedit a codicum omnium scriptura. Lenissima sane Hermanni coniectura *ἀπεχώρισαν*. Ceterum e Grammaticorum a Duckero laudatorum testimoniis legendum censeas *ἀπεχρήσαντο*. — Mox *πάντων*, a Wassio mutatum in *ἁπάντων*, revocavimus, et paullo inferius articulum *οἱ* ante *Κερκυραῖοι*, quod a codd. plerisque omnibus ignoratur, expunximus.

τοῖς τὸν δῆμον καταλύουσιν. Multa de h. l. disputarunt viri docti. At nihili est, quod nonnulli contendunt, *τοῖς* esse pro *αὐτοῖς*, alii pro *τούτοις* saltem. Illud quidem exemplis esset probandum. Praeterea Bauerus recte vidit, si *τοῖς* accipias pro *αὐτοῖς*, deesse particulam in hac constructione usitatissimam *ὡς*. Articulo autem loco pronominis demonstrativi nonnisi ab initio membri utitur Thucydides. Vid. ad 1, 37. Sed quid quaerimus? *Τοῖς τὸν δῆμον καταλύουσιν* Bauerus iam bene explicavit: *democratiam evertere conantibus*. Nempe sub praetextu, se hos ulturos, suos inimicos et creditores trucidabant.

σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων. Πᾶσά τε ἰδέα κατέστη θανάτου· καὶ, οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ, τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω. Καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο· οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. Οὕτως ὠμὴ στάσις προυχώρησε· καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο.

82. Ἐπεὶ ὕστερόν γε καὶ πᾶν, ὡς εἰπεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ, τοῖς τε τῶν δήμων προστάταις, τοὺς Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις, τοὺς Λακεδαιμονίους· καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν, οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς· πολεμουμένων δὲ, καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει, καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει, ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τὶ βουλομένοις ἐπορίζοντο. Καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν, καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων

quod prima. 82 — 84. Quae crudelitas posthac omnes seditione plebis pro Atheniensibus, optimatium pro Lacedaemoniis.

πᾶσά τε ἰδέα κατέστη θανάτου. Ita saepe loquitur Scriptor. Cap. 83 init. *πᾶσα ἰδέα κατέστη κακοτροπίας.* Cap. 98. *πᾶσα ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου.* Cap. 112. *ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς.* Sic Virgil. Aen. 2, 369. plurima mortis imago. Tacit. Histor. 3, 28. omni imagine mortium.

οὕτως ὠμὴ στάσις προυχώρησε, pro *εἰς τοῦτο τῆς ὠμότητος ἡ στάσις προυχώρησε.*

ἐν τοῖς πρώτη. Schol. male *ἐν τοῖς* refert ad Corcyraeos, quasi *τοῖς* pro *τούτοις* accipi possit. *ἐν τοῖς πρώτη* simpliciter est *prima.* Vid. ad 3, 17. In sequentibus enim non de Corcyraeis loquitur Auctor, sed de communi per omnem Graeciam

82. *ἐπεὶ ὕστερον.* Quae hinc de communibus Graecarum civitatum malis addit Thucydides, ea, tamquam tragica, et obscuros atque implicitos verborum ac sententiarum nexus habentia, et a communi usu sermonis abhorrentia, non iniuste reprehendit Dionysius Halic., notante Duckero.

παρακαλεῖν αὐτούς, i. e. utrosque, et Athenienses et Lacedaemonios.

πολεμουμένων δέ, pro *ἐν πολέμῳ, πολέμου ὄντος, ἐπεὶ πολεμεῖται.* — *ξυμμαχίας,* int. *οὔσης.* — *προσποιήσει, κτήσει βοηθείας.*

ᾖ, μᾶλλον δέ, καὶ ἡσυχαίτερα, καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. Ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι, διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος, ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν, βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που, πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. Καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. Τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθής, δειλία εὐπρεπής. τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν. τὸ δ' ἐμπλήκτως ὀξὺ, ἀνδρὸς μοίρᾳ προσετέθη. ἀσφαλείᾳ δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος. ἐπιβουλεύσας δέ τις, τυχὼν, ξυνετὸς, καὶ ὑπονοήσας, ἔτι δεινότερος. προβουλεύσας δέ, ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε

Graeciae urbes, ſeditionibus ortis, invaſit. Temeritas

μᾶλλον δὲ καὶ ἡσυχαίτερα. Sunt, qui poſt *μᾶλλον δὲ καὶ* vel ſubaudiant vel excidiſſe putent *ἧσσον*. Quo ſupplemento facile carebis, ſi cum Bauero *μᾶλλον* pro adiectivo *μείζονα* accipias, ex more Noſtri (2, 47. *φθορὰ οὕτως ἀνθρώπων*, pro *τοιαύτη* cf. 4, 10. *ῥᾳδίως*). Idem videtur ſenſiſſe Scholiaſta, qui *ἡσυχαίτερα* exponit *ἧττον* (mehr und weniger).

τὰ ἐφυστερίζοντα, i. e. *αἱ ὕστερον τῶν ἄλλων στασιάζουσαι πόλεις.* – *πολὺ ἐπέφερε* – *τὰς διανοίας.* Sententia: „ſuperabant multo novitate conſiliorum."

τῇ δικαιώσει. *Δικαίωσις* eſt, Schol. interprete, *δίκαια κρίσις*, quae tamen, dum nomina ad res (*ἐς τὰ ἔργα*) refert, non raro *arbitrium* evadit; *ἀξίωσις* autem vis et ſignificatio verborum. Cum ſequentibus compara ſimilem *ὑποκορισμοῦ* rationem apud Horat. Serm. 1, 3, 45 ſqq.

ἀσφαλείᾳ. Cum Schol. reddat *δι' ἀσφάλειαν*, non videtur legiſſe *ἀσφάλεια*, quae vulgata lectio eſt. Quare illud, Bredovio et Popponi unice probatum, recepi.

ὅπως μηδὲν αὐτῶν δεήσει. Ita correxit Benedictus o-

ἑταιρίας διαλυτὴς, καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. Ἁπλῶς δὲ, ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾷν, ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν. οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο, ἢ τῷ κοινῇ τι παρανομῆσαι. Τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι. Ἀντιτιμωρήσασθαί τε τινὰ περὶ πλείονος ἦν, ἢ αὐτὸν μὴ προπαθεῖν. Καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢ ἀπὸ τοῦ προφανοῦς. Καὶ τό τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι, ἀπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσελάμβανε. Ῥᾷον δ' οἱ πολλοὶ, κακοῦργοι ὄντες, δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς

laudata, infidiae, dolus, falfa fides; damnata fimplicitas,

Mff. vulgatum δεήσοι. Vid. Buttmann Gr. p. 473. Paullo ante ad ὑπονοήσας fubaudi ἐπιβουλεύεσθαι. — τοὺς ἐναντίους ἐκπεπληγμένος, adverfarios metuens, quatenus caute profpicit, priusquam rem aggrediatur.

διὰ τὸ ἑτοιμότερον εἶναι, nempe τὸ ἑταιρικόν.

τῷ θείῳ νόμῳ, iureiurando interpofito, ὅρκῳ. — τῷ κοινῇ τι παρανομῆσαι, i. e. κοινῇ παρανομίᾳ. Cogebantur promiffis ftare et fidem datam folvere, non iurisiurandi religione, fed metu, ne, fi quis alterum decepiffet, rurfus ab illo falleretur.

ἔργων φυλακῇ. Obfcura fententia. Intelligo: ita ut facta eorum (his dictis obligata) obfervarent, fi quidem ipfi fuperiores effent. Bredovius cum Scholiafta iungere videtur ἔργων φυλ. εἰ προὔχοιεν, quod volunt effe: „Si revera fuperiores effent, et in tuto conftituti."

οὐκ ἐχόντων, int. αὐτῶν τῶν ἀνθρώπων. Non diutius valebat apud eos iurisiurandi religio, quam fuis ipfi viribus diffiderent.

διὰ τὴν πίστιν, ob fidem, qua adverfarius nitebatur, non metuens dolum et infidias. Dolo libentius quam vi aperta fuperabant, partim quod ita certiorem victoriam fperarent, partim quod ingenii laudem inde acquirere fibi viderentur.

ἀγαθοί· καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. Πάντων δ' αὐτῶν αἴτιον ἡ ἀρχὴ, ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν, καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς, καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ, λόγῳ θεραπεύοντες, ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῇεσάν τε, τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου, προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐμπιπλάναι· ὥςτε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τὶ διαπράξασθαι, ἄμεινον ἤκουον. Τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο.

83. Οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ. Καὶ τὸ εὔηθες (οὗ τὸ γενναῖον πλεῖστον μετέχει) καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως, ἐπὶ πολὺ διήνεγκεν. Οὐ γὰρ ἦν ὁ διαλύσων, οὔτε λόγος ἐχυρὸς,

prudens ſed lenta conſultatio, indulgentia. Illis gloria-

ἐκ δ' αὐτῶν, int. *ἦν*, natum eſt, ut recte Kiſtem. Subiectum autem eſt *τὸ πρόθυμον*, unde pendet genitivus *καθισταμένων ἐς τὸ φίλον*. „Cauſa, inquit, malorum omnium principatus erat, avaritia ille quidem et honoris ſtudio appetitus. Inde orta contentionis cupiditas."

ἆθλα ἐποιοῦντο, contentiones proponebant, inter ſe contendebant de re publica, quam verbo quidem curabant, ſed revera de principatu certantes inter ſe, in discrimen adducebant, et graviſſima quaeque conabantur et exſequebantur. —

ἐνόμιζον, ex ſequentibus ſubaudi *διαπράξασθαι*. Conferri poteſt locus cap. 68., in hoc certe ſimilis, quod ex ſequenti membro eoque dependenti, verbum anticipandum eſt cogitatione. Verba haec ſunt: *διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς — ἡσυχάζειν, καὶ ὅτε ὕστερον, ἃ πρὸ τοῦ περιτειχίζεσθαι προΐσχοντο αὐτοῖς.* Comma ante *οἷς* recte ſuſtulit Bredov.

οὔτε ὅρκος φοβερός· κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πιστεῦσαι ἐδύναντο. Καὶ οἱ φαυλότεροι γνώμην, ὡς τὰ πλείω περιεγίγνοντο. Τῷ γὰρ δεδιέναι τό, τε αὐτῶν ἐνδεές, καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἥσσους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. Οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν, ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

84. Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη, καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι δράσειαν· πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστα δ' ἂν διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην γιγνώσκοιεν· οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ, ἀπὸ ἴσου δὲ μάλιστα ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερόμενοι, ὠμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν. Ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν καιρὸν τοῦτον τῇ πόλει, καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία φύσις, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, ἀσμένη ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ δικαίου, πολεμία δὲ τοῦ προὔχοντος.

bantur, has vituperabant.

83. *τὸ ἀνέλπιστον τοῦ βεβαίου* intellige desperationem de fide et constantia alterius.

καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβ. subaudi *νομίζοντες* ex *καταφρονοῦντες*. Depinguntur autem *οἱ φρονιμώτεροι δοκοῦντες εἶναι*, qui, prudentia sua confisi, dedignabantur praesentiscere aliorum molimina, et necessarium non esse arbitrabantur, ea praecipere etiam factis, quae consilio licet. Ita recte locum exposuit Kiltem. — *κἂν* semper apud Nostrum est *vel, sogar.* Cf. c. 84.

84. *ἀρχόμενοι.* Hoc participium pendet a verbis *ὑπὸ τῶν τὴν τιμ. παρασχόντων*. Nam *ὕβρει* est *μεθ' ὕβρεως*. Sensus: Pleraque eiusmodi facinorum Corcyrae iam antea patrata erant, quaeque facere soleant, qui iniurias ulciscantur illatas ab iis, a quibus insolentiore quam moderatiore imperio ad vindictam provocati fuerint.

καὶ τῶν νόμων κρατήσασα, vel ipsis legibus superatis.

Οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τιμωρεῖσθαι προὐτίθεσαν, τοῦ τε μὴ ἀδικεῖν τὸ κερδαίνειν, ἐν ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν. Ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι νόμους, ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι, ἐν ἄλλων τιμωρίαις προκαταλύειν, καὶ μὴ ὑπολείπεσθαι, εἴ ποτε ἄρα τὶς κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.

85. Οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο. Καὶ ὁ Εὐρυμέδων καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν. Ὕστερον δὲ οἱ φεύγοντες τῶν Κερκυραίων, (διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους,) τείχη τε λαβόντες, ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς, καὶ ἐξ αὐτῆς ὁρμώμενοι, ἐλῄζοντο τοὺς ἐν τῇ νήσῳ, καὶ πολλὰ ἔβλαπτον· καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει. Ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρόνῳ, πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι, διέβησαν ἐς τὴν νῆσον ἑξακόσιοι μάλιστα οἱ πάντες. Καὶ τὰ πλοῖα ἐμπρήσαντες, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς,

85. Exſules Corcyraei numero quingenti in continentem, inſulae ex adverſo ſitam, ſe recipiunt, munimentaque, quae ibi erant, occupant. Inde in inſulam reverſi, ibi quoque munimenta fecerunt, et oppidanis multa damna

ἐν ᾧ μὴ — εἶχε τὸ φθονεῖν. Kiſtem. verba *ἐν ᾧ μὴ* explicat *quando non, niſi ſi.* Mihi videtur eſſe pro *ἐν ἐκείνῳ, ἐν ᾧ, in quo non habeat vim pernicioſam invidia.*

Κἂν αὐτοὺς διασώζεσθαι. Male Portus *αὐτοὺς* ad leges refert; ad homines pertinet. Sed *αὐτῶν* in fine capitis referendum ad leges.

85. *ἐκράτουν τῆς πέραν οἰκείας γῆς*, int. agros eorum, adverſus continentem in inſula ſitos. Pro *ἐλῄζοντο* legendum cenſeo *ἐλῄζόν τε.* Nam *ἐλῄζον* praebent meliores libri Cl. Reg. Caſſ., et in loco ſimillimo 4, 41. rurſus ſic omnes praeter depravatos illos.

τοῦ ἄλλο τι ἢ κρατεῖν. Ad *ἄλλο τι* ſubaudiendum *ποιεῖν*. Cf. Duckerus, qui laudat 5, 39 init. 58 extr. Adde 4, 14. Livius ſaepiſſime, e. c. lib. 4, c. 3. *nihil aliud quam admonere.* Vid. Erneſt. Gloſſar. Liv. voc. *nihil aliud.*

ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰστώνην, τεῖχος ἐνοικοδομησάμενοι, ἔφθειρον τοὺς ἐν τῇ πόλει, καὶ τῆς γῆς ἐκράτουν.

86. *Τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος, Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν, καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν, καὶ Χαροιάδην τὸν Εὐφιλήτου. Οἱ γὰρ Συρακούσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις καθέστασαν. Ξύμμαχοι δὲ τοῖς μὲν Συρακουσίοις ἦσαν, πλὴν Καμαριναίων, αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ πρὸς τὴν τῶν Λακεδαιμονίων, τὸ πρῶτον ἀρχομένου τοῦ πολέμου, ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε· τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις, καὶ Καμαρίνα. Τῆς δὲ Ἰταλίας, Λοκροὶ μὲν Συρακουσίων ἦσαν, Ῥηγῖνοι δὲ, κατὰ τὸ ξυγγενὲς, Λεοντίνων. Ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι, κατά τε παλαιὰν ξυμμαχίαν, καὶ ὅτι Ἴωνες ἦσαν, πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς. Ὑπὸ γὰρ τῶν Συρακουσίων τῆς τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης. Καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι, τῆς μὲν οἰκειότητος προφάσει, βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι αὐτόθεν, πρόπειράν τε ποιούμενοι, εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. Καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας, τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων· καὶ τὸ θέρος ἐτελεύτα.*

intulerunt. 86. Leontinis in Sicilia cum Syracuſanis bellum gerentibus, Athenienſes, auxilium rogati, viginti mittunt naves, propinquitatis quidem nomine uſi, revera tamen tentantes, an poſſint Siciliae urbes, partim ſibi, partim Lacedaemoniis addictas, omnes in ſuam poteſtatem

86. *τὸ πρῶτον ἀρχομ. τ. πολ.* Haec verba commatibus a reliquis ſeiungenda ſunt. Ceterum Siculas urbes non retulerat in catalogum ſociorum 2, 9.

ἐς οὖν τὰς Ἀθήνας πέμψαντες. Uberius de hac legatione, in qua Gorgias ille Leontinus erat, exponit Diodor. Sic. 12, 53.

87. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὸ παντάπασιν, ἐγένετο δέ τις ὅμως διακωχή. Παρέμεινε δὲ τὸ μὲν ὕστερον, οὐκ ἔλασσον ἐνιαυτοῦ· τὸ δὲ πρότερον, καὶ δύο ἔτη· ὥςτε Ἀθηναίων γε μὴ εἶναι ὅ, τι μᾶλλον [τούτου ἐπίεσε, καὶ] ἐκάκωσε τὴν δύναμιν. Τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακιςχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων, καὶ τριακοσίων ἱππέων· τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. Ἐγένοντο δὲ καὶ οἱ πολλοὶ τότε σεισμοὶ τῆς γῆς, ἔν τε Ἀθήναις, καὶ ἐν Εὐβοίᾳ, καὶ ἐν Βοιωτοῖς, καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

88. Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι, τοῦ αὐτοῦ χειμῶνος, τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας· θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. Νέμονται δὲ Λιπαραῖοι αὐτάς, Κνιδίων ἄποικοι ὄντες. Οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωργοῦσι, Διδύμην, καὶ Στρογγύλην, καὶ Ἱεράν. Νομίζουσι δὲ οἱ ἐκείνῃ ἄν-

redigere. 87. Poſt parvam intermiſſionem peſtis Athenis denuo acrius ingraveſcit, et cum antea duos annos expleverit, nunc iterum unum ferme annum conficit. Terrae motus tum temporis plurimi. 88. Athenienſes contra Siciliam profecti per hiemem expeditionem adverſus Liparaeos, in Aeoli inſulis habitantes, faciunt, ſed

87. ὥςτε Ἀθηναίων γε —. Multi et optimi codices habent ὥςτε Ἀθηναίων γε μὴ εἶναι ὅ, τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν. Omittunt igitur τούτου et ἐπίεσε καί, quae verba tamen Scholiaſtes in alio cod. reperit. Certe τέ vitioſum eſt, cum nihil ſit, quo referatur, et τούτου ex interpretatione ortum eſſe, recte cenſet Poppo, qui vulgatam inde ortam ſuſpicatur, quod, cum Thucyd. ſcripſiſſet: ὥςτε Ἀθηναίους γε μὴ εἶναι ὅ, τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν, alii accuſativum in genitivum mutarint, alii novum verbum addiderint. Equidem optimorum librorum auctoritatem ſecutus, ἐπίεσε pro interpretis additamento habeo. — Paullo poſt ordinem verborum ad codd. fidem conſtitui pro ἐγένοντο δὲ τότε καὶ οἱ πολλοὶ σεισμοί. Ita etiam in fine cap. 88. ordo verborum ἐτελεύτα τῷ πολ. τῷδε e codd. mutandus erat. Item cap. 89 extr. ἔγωγε τοῦ τοιούτου νομίζω.

θρωποι, ἐν τῇ Ἱερᾷ ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ, καὶ τὴν ἡμέραν καπνόν. Κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν· ξύμμαχοι δ' ἦσαν Συρακουσίων. Τεμόντες δ' οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ Ῥήγιον· καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

89. Τοῦ δ' ἐπιγιγνομένου θέρους, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ ἰσθμοῦ ἦλθον, ὡς ἐς τὴν Ἀττικὴν ἐσβαλοῦντες, Ἄγιδος τοῦ Ἀρχιδάμου ἡγουμένου, Λακεδαιμονίων βασιλέως· σεισμῶν δὲ γενομένων πολλῶν, ἀπετράποντο πάλιν, καὶ οὐκ ἐγένετο ἐσβολή. Καὶ περὶ τούτους τοὺς χρόνους, τῶν σεισμῶν κατεχόντων τῆς Εὐβοίας ἐν Ὀροβίαις, ἡ θάλασσα ἐπελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς, καὶ κυματωθεῖσα, ἐπῆλθε τῆς πόλεως μέρος τι· καὶ τὸ μὲν κατέκλυσε, τὸ δ' ὑπενόστησε· καὶ θάλασσα νῦν ἐστι πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν, ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. Καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσον παραπλησία γίγνεται ἐπίκλυσις, καὶ τοῦ τε φρουρίου τῶν Ἀθηναίων παρεῖλε, καὶ δύο νεῶν ἀνειλκυσμένων

re infecta redeunt Rhegium. Finis quinti belli Peloponnesiaci anni. 89. Variis terrae motibus et inundationibus, quae acciderant in Euboea, Atalanta et Peparetho

89. *ἡ θάλασσα ἐπελθοῦσα.* Scholiastam illum, qui interpretatur: *εἰς ἑαυτὴν ἐπαναχωρήσασα, καὶ ὑποστρέψασα ἀπὸ τοῦ λιμένος καὶ τῆς γῆς ἐπὶ τὰ κυματώδη, αὖθις δ' ἐλθοῦσα ἐπὶ τὴν γῆν* — colligas legisse *ἐπανελθοῦσα* pro *ἐπελθοῦσα*. Sic etiam paullo inferius de eadem re dicitur *ἐπαναχώρησις*. Itaque *ἐπανελθοῦσα* verum videtur. *καὶ τὸ μὲν κατέκλυσε.* Schol. *τὸ μὲν* refert ad *κῦμα*, *τὸ δέ* autem explicat *μέρος τῆς γῆς*, et *ὑπενόστησε* ei est *ὑποκαθέστη καὶ ταπεινότερον ἐγένετο.* Portus utrumque *τό* ad mare refert; neque aliter Kistemakerus videtur accepisse. Sed Scholiastae ratio probabilior est. Cf. Diodor. 12, 59. ubi tamen de Atalanta insula ab his diversa traduntur. Vid. etiam supra 2, 32.

τὴν ἑτέραν κατέαξεν. Ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τὶ κατέβαλε, καὶ τὸ Πρυτανεῖον, καὶ ἄλλας οἰκίας ὀλίγας. Αἴτιον δ' ἔγωγε νομίζω τοῦ τοιούτου, ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν, καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην, βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν. Ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

90. Τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι, ὡς ἑκάστοις ξυνέβαινεν, ἐν τῇ Σικελίᾳ, καὶ αὐτοὶ οἱ Σικελιῶται, ἐπ' ἀλλήλους στρατεύοντες, καὶ οἱ Ἀθηναῖοι ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου μάλιστα ἄξια ἢ μετὰ τῶν Ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν, ἢ πρὸς τοὺς Ἀθηναίους οἱ ἀντιπολέμιοι, τούτων μνησθήσομαι. Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ Συρακουσίων πολέμῳ, Λάχης, ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχὴν, ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων. Ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι, καί τινα καὶ ἐνέδραν πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν. Οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας τρέπουσι, καὶ διαφθείρουσι πολλούς· καὶ τῷ ἐρύματι προσβαλόντες, ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν παραδοῦναι, καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι. Καὶ μετὰ τοῦτο, ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε Ἀθηναίων καὶ τῶν ξυμμάχων, προσεχώρησαν καὶ αὐτοὶ, ὁμήρους τε δόντες, καὶ τὰ ἄλλα πιστὰ παρασχόμενοι.

91. Τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης τε ὁ Ἀλκισθένους, καὶ Προκλῆς ὁ Θεο-

infulis, Lacedaemonii, in Atticam duce Agide irrupturi, deterrentur a confilio. 90. Athenienfes cum fociis in Sicilia Mylas Meffeniorum capiunt, ipfosque Meffenios ad fuas partes transire cogunt. 91. Triginta Athe-

δώρου, ἑξήκοντα δὲ ἐς Μῆλον, καὶ δισχιλίους ὁπλίτας· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου. Τοὺς γὰρ Μηλίους, ὄντας νησιώτας, καὶ οὐκ ἐθέλοντας ὑπακούειν, οὐδὲ ἐς τὸ αὐτῶν ξυμμαχικὸν ἰέναι, ἐβούλοντο προςαγαγέσθαι. Ὡς δὲ αὐτοῖς, δῃουμένης τῆς γῆς, οὐ προςεχώρουν, ἄραντες ἐκ τῆς Μήλου, αὐτοὶ μὲν ἔπλευσαν ἐς Ὠρωπὸν τῆς πέραν γῆς· ὑπὸ νύκτα δὲ σχόντες, εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς Τάναγραν τῆς Βοιωτίας· οἱ δ᾽ ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι, Ἱππονίκου τε τοῦ Καλλίου στρατηγοῦντος, καὶ Εὐρυμέδοντος τοῦ Θουκλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων. Καὶ στρατοπεδευσάμενοι, ταύτην τὴν ἡμέραν ἐν τῇ Τανάγρᾳ ἐδῄουν καὶ ἐνηυλίσαντο, καὶ τῇ ὑστεραίᾳ, μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων, καὶ Θηβαίων τινὰς προςβεβοηθηκότας, καὶ ὅπλα λαβόντες, καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς. Καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα ναυσὶ, τῆς Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε, καὶ ἀνεχώρησεν ἐπ᾽ οἴκου.

92. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν τὴν ἐν Τραχινίαις ἀποικίαν καθίσταντο, ἀπὸ τοιᾶςδε γνώμης. Μηλιεῖς οἱ ξύμπαντες εἰσὶ μὲν τρία μέρη, Παράλιοι, Ἱερεῖς, Τραχίνιοι· τούτων δὲ οἱ

riensium naves; ducibus Demosthene et Procle, circa Peloponnesum mittuntur; aliae sexaginta, duce Nicia, Melum, ut eam insulam Atheniensibus subigerent: Frustratus Nicias Oropum tendit, unde, classe appulsa, adversus Tanagram proficiscitur, adiutus simul ab Atheniensibus ex urbe succurrentibus. Tanagraei, eruptione facta, profligantur. Athenienses domum redeunt. 92 — 93. La-

92. *Ἡράκλειαν τὴν ἐν Τραχινίαις*. Ultimum nomen haud dubie corruptum est. Legendum aut *Τραχινίοις*, aut *Τραχινίᾳ* cum codd. Marg. Gr., aut *Τραχῖνι*, quod in Mosq. est. Hoc alibi fere Thucydides utitur (cf. Duck. ad 4, 78); sed h. l. videtur fuisse *Τραχινίᾳ*, quod corrumpi facile potuit. *Τραχῖνι* habet Diodorus in loco parallelo 12, 59.

Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ Οἰταίων ὁμόρων ὄντων, τὸ πρῶτον μελλήσαντες Ἀθηναίοις προςθεῖναι σφᾶς αὐτοὺς, δείσαντες δὲ, μὴ οὐ σφίσι πιστοὶ ὦσι, πέμπουσιν ἐς Λακεδαίμονα, ἑλόμενοι πρεσβευτὴν Τισαμενόν. Ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριεῖς, ἡ μητρόπολις τῶν Λακεδαιμονίων, τῶν αὐτῶν δεόμενοι· ὑπὸ γὰρ τῶν Οἰταίων καὶ αὐτοὶ [πολέμῳ] ἐφθείροντο. Ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι, γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι τιμωρεῖν, καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι· ἐπί τε γὰρ τῇ Εὐβοίᾳ ναυτικὸν παρασκευασθῆναι ἂν, ὥςτ' ἐκ βραχέος τὴν διάβασιν γίγνεσθαι, τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἕξειν. τό, τε ξύμπαν, ὥρμηντο τὸ χωρίον κτίζειν. Πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο· κελεύοντος δὲ, ἐξέπεμψαν τοὺς οἰκήτορας αὐτῶν τε καὶ τῶν περιοίκων· καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον ἐκέλευον ἕπεσθαι, πλὴν Ἰώνων, καὶ Ἀχαιῶν, καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. Οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων ἡγήσαντο, Λέων, καὶ Ἀλκίδας, καὶ Δαμάγων. Καταστάντες δὲ, ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν Ἡράκλεια καλεῖται, ἀπέχουσα Θερμοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα, τῆς δὲ θαλάσσης εἴκοσι. Νεώριά τε παρεσκευάζοντο, καὶ ἤρξαντο κατὰ Θερμοπύλας, κατ' αὐτὸ τὸ στενὸν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη.

cedaemonii coloniam mittunt in Trachiniam Theſſaliae, ibique Heracleam prope Thermopylas condunt, partim ut Trachiniis morem gerant, partim propter loci opportunitatem in hoc bello. Sed priusquam Athenienſes quicquam

ἐπὶ — τῇ Εὐβοίᾳ, i. e. κατὰ τῆς Εὐβοίας. Sic cap. 93. — Paullo ante πολέμῳ ignorant codd. Cl. Reg. Caſſ. Aug. De genitivo apud καλῶς vid. ad 1, 56.

οἰκήτορας αὐτῶν. Vulgo αὐτῶν. Vid. ad c. 61.

ἐκ καινῆς, denuo. Iam enim antea urbs ibi fuerat non eiusdem nominis, ſed Trachis nominata. Herodot. 7, 199.

93. Οἱ δὲ Ἀθηναῖοι, τῆς πόλεως ταύτης ξυνοικιζομένης, τὸ πρῶτον ἔδεισάν τε, καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα καθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας· ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη· οὐ γὰρ ἐγένετο ἀπ' αὐτῆς δεινὸν οὐδέν. Αἴτιον δὲ ἦν· οἵ τε Θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων, καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο, φοβούμενοι, μὴ σφίσι μεγάλῃ ἰσχύϊ παροικῶσιν, ἔφθειρον, καὶ διὰ παντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν, γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς. Πᾶς γάρ τις, Λακεδαιμονίων οἰκιζόντων, θαρσαλέως ᾔει, βέβαιον νομίζων τὴν πόλιν. Οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν Λακεδαιμονίων οἱ ἀφικνούμενοι τὰ πράγματά τε ἔφθειρον, καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλοὺς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι· ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.

94. Τοῦ δ' αὐτοῦ θέρους, καὶ περὶ τὸν αὐτὸν χρόνον, ὃν ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο, καὶ οἱ ἀπὸ τῶν τριάκοντα νεῶν Ἀθηναῖοι, περὶ Πελοπόννησον ὄντες, πρῶτον ἐν Ἐλλομένῳ τῆς Λευκαδίας φρουρούς τινας λοχήσαντες διέφθειραν, ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον, Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ, πλὴν Οἰνιαδῶν, ξυνέσποντο, καὶ Ζακυνθίοις, καὶ Κεφαλλῆσι, καὶ Κερκυραίων πεντεκαίδεκα ναυσί. Καὶ οἱ μὲν Λευκάδιοι, τῆς τε ἔξω γῆς δῃουμένης, καὶ τῆς ἐντὸς τοῦ ἰσθμοῦ, (ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι, καὶ

faciant ad rem impediendam, Thessalorum invidia et obtrectatione non minus, quam rectorum socordia res dilapsae. 94. Athenienſium XXX naves, duce Demoſthene circa Peloponneſum miſſae, una cum Acarnanibus Leucadem

93. *Κήναιον.* Euboeae promontorium eſt cum fano Iovis. Sophocl. Trachin. 765.

94. *τῆς Λευκαδίας.* In plurimis codd. eſt *τῆς Ἀρκαδίας.* Vulgatam tamen et res tuetur, et Vallae verſio. Cf. Benedict.

ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι. Vid. quae monuimus ad cap. 81. Summum autem odium Acarna-

τὸ ἱερὸν τοῦ Ἀπόλλωνος,) πλήθει βιαζόμενοι ἡσύχαζον. Οἱ δὲ Ἀκαρνᾶνες ἠξίουν Δημοσθένην τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν αὐτούς· νομίζοντες ῥᾳδίως γ' ἂν ἐκπολιορκῆσαι, πόλεώς τε ἀεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης δ' ἀναπείθεται κατὰ τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων, ὡς καλὸν αὐτῷ, στρατιᾶς τοσαύτης ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις οὖσι· καὶ, ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο ἠπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προςποιήσειν. Τὸ γὰρ ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν, καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους, καὶ ταύτας διὰ πολλοῦ, καὶ σκευῇ ψιλῇ χρώμενον, οὐ χαλεπὸν ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι. Ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδώτοις, ἔπειτα δὲ Ὀφιονεῦσι, καὶ μετὰ τούτους, Εὐρυτᾶσιν (ὅπερ μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν· ἀγνωστότατοι δὲ γλῶσσαν καὶ ὠμοφάγοι εἰσὶν, ὡς λέγονται) τούτων γὰρ ληφθέντων, ῥᾳδίως καὶ τἆλλα προςχωρήσειν.

95. Ὁ δὲ, τῶν Μεσσηνίων χάριτι πεισθεὶς, καὶ μάλιστα νομίσας ἄνευ τῆς τῶν Ἀθηναίων δυνάμεως τοῖς ἠπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δυνα-

urbem oppugnant, intra iſthmum cognominis inſulae ſitam. Et cum Acarnanes Demoſthenem hortarentur, ut urbem expugnaret, quod fieri poſſe tum videbatur: is a Meſſeniis inductus eſt, ut exercitum omnem contra Aetolos ducere decerneret. 95. Nam bellicoſis his gentibus devictis,

num erat in Leucadios, ideoque offenſi, quod Demoſthenes occaſionem urbis inimiciſſimae expugnandae praetermitteret, ei contra Aetolos non ſunt opitulati.

ῥᾳδίως γ' ἂν — ἀπαλλαγῆναι. Vulgatam ſervo, a qua Benedictus nonnullis in rebus diſcedit, non ſemper bonos libros ſecutus. Ἀεὶ ſane ad codd. fidem et hic et ubique ſcribendum pro αἰεί.

ὑπὸ Μεσσηνίων, qui cum Naupactum incolebant.

95. Ὁ δὲ — πεισθείς. Animadverte anacoluthon. Pergit enim ἄρας οὖν — priusquam inchoatam periodum verbo finito abſolverit. — ξυστρατεύειν. De hoc praeſentis infinitivo vid. ad 1, 127. Phocenſium cum Peloponneſiis ſocietas (vid. 2, 9.) non videtur ſatis certa fuiſſe, cum h. l. Athenienſibus ſemper propenſiores dicantur.

σθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Ὀζολῶν ἐς Κυτίνιον τὸ Δωρικὸν, ἐν δεξιᾷ ἔχον τὸν Παρνασσὸν, ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν κατὰ τὴν Ἀθηναίων ἀεί ποτε φιλίαν ξυστρατεύειν, ἢ κἂν βίᾳ προςαχθῆναι (καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν) — ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος, ἀκόντων τῶν Ἀκαρνάνων, παρέπλευσεν ἐς Σόλλιον. Κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ προςεδέξαντο, διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι, καὶ Μεσσηνίοις, καὶ Ζακυνθίοις, καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις τῶν σφετέρων νεῶν (αἱ γὰρ πεντεκαίδεκα τῶν Κερκυραίων ἀπῆλθον νῆες) ἐστράτευσεν ἐπ᾽ Αἰτωλούς. Ὡρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς Λοκρίδος. Οἱ δὲ Ὀζόλαι οὗτοι Λοκροὶ ξύμμαχοι ἦσαν, καὶ ἔδει αὐτοὺς πανστρατιᾷ ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν. Ὄντες γὰρ ὅμοροι τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι, μεγάλη ὠφέλεια ἐδόκουν εἶναι ξυστρατεύοντες, μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων, καὶ χωρίων.

96. Αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ ἱερῷ, (ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ

non ſolum omnem eius regionis continentem Athenienſibus addictam, ſed etiam viam ſibi apertam eſſe videbat in Boeotiam terreſtri itinere deſcendendi. Itaque, invitis Acarnanibus relicta Leucade, Solium appellit, et cum omnibus ſuis ſociis, praeter Acarnanes et Corcyraeorum naves, domum reverſas, per Locros Ozolas contra Aetolos proficiſcitur. 96. Primo ſatis feliciter progreſſus, plures pagos occupat. Sed Aetoli, non ignorantes hoſtium con-

ἐς Σόλλιον. Vide 2, 30. Urbs eſt Acarnaniae, alibi etiam *Σόλιον* ſcripta. — *Οἰνεῶν* oppidum Locrorum Ozolarum.

ἐς τὴν μεσόγειαν. Sic e codd. emendavit Poppo vulgatum *μεσόγειον*.

96. *χρησθέν*, pro *χρησθέντος*. Frequens imprimis hic participii uſus eſt apud Arrianum. Vid. eius interpretes ad Anab. I, 29, 4. Ceterum *ἐν Νεμέᾳ* ad *παθεῖν*, non ad *χρησθέν* referendum eſt.

τοῦτο παθεῖν,) ἅμα τῇ ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν. Καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν, καὶ τῇ δευτέρᾳ Κροκύλιον, καὶ τῇ τρίτῃ Τείχιον· ἔμενέ τε αὐτοῦ, καὶ τὴν λείαν ἐς Εὐπάλιον τῆς Λοκρίδος ἀπέπεμψε. Τὴν γὰρ γνώμην εἶχε, τὰ ἄλλα καταστρεψάμενος, οὕτως ἐπὶ Ὀφιονέας, εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς Ναύπακτον ἐπαναχωρήσας, στρατεῦσαι ὕστερον. Τοὺς δὲ Αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευὴ οὔτε ὅτε τὸ πρῶτον ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς ἐσεβεβλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες· ὥστε καὶ οἱ ἔσχατοι Ὀφιονέων, οἱ πρὸς τὸν Μηλιακὸν κόλπον καθήκοντες, Βωμιῆς καὶ Καλλιῆς ἐβοήθησαν.

97. Τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι παρῄνουν, ὅπερ καὶ τὸ πρῶτον, ἀναδιδάσκοντες αὐτὸν, τῶν Αἰτωλῶν ὡς εἴη ῥᾳδία ἡ αἵρεσις, ἰέναι [ἐκέλευον] ὅτι τάχιστα ἐπὶ τὰς κώμας, καὶ μὴ μένειν, ἕως ἂν ξύμπαντες ἀθροισθέντες ἀντιτάξωνται, τὴν δ' ἐν ποσὶν ἀεὶ πειρᾶσθαι αἱρεῖν. Ὁ δὲ, τούτοις τε πεισθεὶς, καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ ἠναντιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας, οὓς αὐτῷ ἔδει προσβοηθῆσαι, (ψιλῶν γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα,) ἐχώρει ἐπὶ Αἰγιτίου, καὶ κατὰ κράτος αἱρεῖ ἐπιών. Ὑπέφευγον γὰρ οἱ ἄνθρωποι, καὶ ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν

ſilia et adventum, undique vel ex remotiſſimis locis ſuccurrunt laborantibus gentilibus. 97. Demoſthenes autem, eventu pariter atque Meſſeniorum adhortationibus deceptus, non moratur, dum Locri, illius regionis gnari, ad-

οἱ ἔσχατοι Ὀφιονέων. Hinc diſcimus, Ophionenſes inter Aetoliae populos non ſolum ſeptemtriones, ſed etiam orientem ſpectaſſe, cum ad Meliacum ſinum, qui Theſſaliam alluit, aliquot populi eius gentis, Bomienſes et Callienſes, pertinuiſſe tradantur. — *Τείχιον* et *Εὐπάλιον* cum aliis reſcripſi pro *Τίχιον* et *Εὐπόλιον*, codicum conſtantem ſcripturam ſecutus. Etiam *Κροκύλειον* fortaſſe ſcribendum ex Reg. Gr. Caſſ. Aug. In mappis hae urbes perperam in Locrorum finibus notatae ſunt.

97. *ἰέναι [ἐκέλευον].* Verbum uncis incluſum interpretamentum eſſe, ex Schol. et Vallae verſione docuit Poppo.

ὑπὲρ τῆς πόλεως. Ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων, ἀπέχουσα τῆς θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα. Οἱ δὲ Αἰτωλοὶ (βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ Αἰγίτιον,) προςέβαλλον τοῖς Ἀθηναίοις, καὶ τοῖς ξυμμάχοις, καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν, καὶ ἐςηκόντιζον· καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ ἐπέκειντο· καὶ ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαὶ, ἐν οἷς ἀμφοτέροις ἥσσους ἦσαν οἱ Ἀθηναῖοι.

98. Μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς, καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱδε ἀντεῖχον· τοξευόμενοι γὰρ οἱ Αἰτωλοὶ, ἄνθρωποι ψιλοὶ, ἀνεστέλλοντο· ἐπειδὴ δέ, τοῦ τε τοξάρχου ἀποθανόντος, οὗτοι διεσκεδάσθησαν, καὶ αὐτοὶ ἐκεκμήκεσαν, καὶ ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι, οἵ τε Αἰτωλοὶ ἐνέκειντο καὶ ἐςηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον· καὶ ἐςπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους, καὶ χωρία, ὧν οὐκ ἦσαν ἔμπειροι, διεφθείροντο. Καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν, Χρόμων ὁ Μεσσήνιος, ἐτύγχανε τεθνηκώς. Οἱ δὲ Αἰτωλοὶ ἐςακοντίζοντες, πολλοὺς μὲν αὐτοῦ ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦντες, ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ, διέφθειρον· τοὺς δὲ πλείους, τῶν ὁδῶν ἁμαρτάνοντας, καὶ ἐς τὴν ὕλην ἐςφερομένους,

veniant, ſed aggreſſus Aegitium, illud quidem occupat, ſed cum Aetolis grave proelium committere cogitur. 98. Cuius eventus miſerabilis fuga et cruentiſſima clades Athenienſium eorumque ſociorum fuit. Reliquiae

98. **αὐτοῖς.** Pronomen cum *οἱ τοξόται* ita nectatur, ut ſit pro **αὐτῶν**, ipſorum ſagittarii. Scholiaſtes hoc idioma Atticorum fruſtra appellat. Frequentatur enim etiam ab Homero.

οὗτοι διεσκεδάσθησαν, int. *οἱ τοξόται.* Mox **αὐτοὶ** ſunt Athenienſes, vel *ὁπλῖται.*

καὶ ἐπὶ πολὺ — ξυνεχόμενοι. Structurae impeditae Poppo ſuccurrit delendo **καί,** quod eſt ante *ἐπὶ πολύ.* Sed fortaſſe etiam h. l. participium *ξυνεχόμενοι* pro verbo finito poſitum eſt. Vid. ad 2, 68. cf. 1, 25.

κατὰ πόδας αἱροῦντες. Schol. *συντόμως*, i. e. illico, e veſtigio. Hoc verum puto. Bredovius videtur ad celeritatem curſus horum hominum retuliſſe, quaſi eſſet: *pedibus aſſecuti.*

ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν. Πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου τῶν στρατοπέδων τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθεν περ καὶ ὡρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον. Ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ, καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν· τοσοῦτοι μὲν τὸ πλῆθος, καὶ ἡλικία ἡ αὐτή. Οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν. Ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς. Τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν, καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον, ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ πέρὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.

99. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ περὶ Σικελίαν Ἀθηναῖοι, πλεύσαντες ἐς τὴν Λοκρίδα, ἐν ἀποβάσει τέ τινι τοὺς προςβοηθήσαντας Λοκρῶν ἐκράτησαν, καὶ Περιπόλιον αἱροῦσιν, ὃ ἦν ἐπὶ τῷ Ἄληκι ποταμῷ.

100. Τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ, προπέμψαντες πρότερον ἔς τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις, Τόλοφόν τε τὸν Ὀφιονέα, καὶ Βοριάδην τὸν Εὐρυτᾶνα, καὶ Τίσανδρον τὸν Ἀπόδωτον, πείθουσιν, ὥςτε σφίσι

Naupactum, inde Athenas navibus revertuntur, praeter Demosthenem, qui propter metum Naupacti remanet. 99. Athenienses circa Siciliam contra Locros Epizephyrios dimicantes Peripolium capiunt. 100. Aetoli per

τῶν στρατοπέδων. Etiam mihi displicebat pluralis στρατοπέδων. Veram puto Benedicti coniecturam τῷ στρατοπέδῳ, quam etiam Vallae versio tuetur: ,, Ut nullum non mortis genus in Atheniensium *exercitu* viseretur.

ἡλικία ἡ αὐτή, aetas militaris optima solet esse.

99. Περιπόλιον. Pro appellativo accipit Duckerus ad 6, 45. hoc nomen, ut sit munimentum, castellum. Si ita esset, Thucydides fortasse addidisset pronomen τι. Quare vulgatum servo.

πέμψαι στρατιὰν ἐπὶ Ναύπακτον, διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν. Καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. Τούτων ἦσαν πεντακόσιοι ἐξ Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως, τότε νεοκτίστου οὔσης. Σπαρτιάτης δ᾽ ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς, καὶ ξυνηκολούθουν αὐτῷ Μακάριος καὶ Μενεδαῖος οἱ Σπαρτιᾶται.

101. Ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς, ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις. Διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς. Ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς, διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες· καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους, καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι, φοβουμένους τὸν ἐπιόντα στρατόν. Πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας, (ταύτῃ γὰρ δυσεσβολώτατος ἡ Λοκρὶς,) ἔπειτα Ἰπνέας, καὶ Μεσσαπίους, καὶ Τριταιέας, καὶ Χαλαίους, καὶ Τολοφωνίους, καὶ Ἡσσίους, καὶ Οἰανθέας. Οὗτοι καὶ ξυνεστράτευον πάντες. Ὀλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ. Καὶ Ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους, πρὶν αὐτῶν εἷλον κώμην, Πόλιν ὄνομα ἔχουσαν.

102. Ἐπειδὴ δὲ παρεσκεύαστο πάντα, καὶ τοὺς ὁμήρους κατέθετο ἐς Κυτίνιον τὸ Δωρικὸν, ἐχώρει τῷ

miſſos Spartam legatos auxilium petunt contra Naupactum. Mittuntur iis tria millia ſociorum. 101. Hi circa Delphos congregati per Locros contendunt, multis Locrorum civitatibus in fidem receptis. 102. Peloponneſii,

100. *ἐπαγωγήν*, propterea quod Naupactii contra ipſos adduxerant Athenienſes.

ἐξ Ἡρακλείας. Vid. ſupra c. 92.

101. *διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες.* Ergo timebant, ne Phocenſes, quos ipſi odio habebant, et quibus haud dubie viciſſim erant inviſi, ſibi nocerent tum, cum Athenienſium vires in his regionibus fractae eſſent.

Χαλαίους. Ita ad codicum fidem edidi pro *Χαλλαίους* duplici λ. Etiam paullo ante in nomine *Ἀμφισσῆς* praeſtantiſſimi codices Caſſ. Aug. Reg. aliique ſimplici σ utuntur.

102. *ἐχώρει*, Eurylochus.

στρατῷ ἐπὶ τὴν Ναύπακτον διὰ τῶν Λοκρῶν, καὶ πορευόμενος, Οἰνεῶνα αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον· οὐ γὰρ προσεχώρησαν. Γενόμενοι δ' ἐν τῇ Ναυπακτίᾳ, καὶ οἱ Αἰτωλοὶ ἅμα, ἤδη προσβεβοηθηκότες, ἐδῄουν τὴν γῆν, καὶ τὸ προάστειον, ἀτείχιστον ὄν, εἷλον. Ἐπί τε Μολύκρειον ἐλθόντες, τὴν Κορινθίων μὲν ἀποικίαν, Ἀθηναίων δὲ ὑπήκοον, αἱροῦσι. Δημοσθένης δὲ ὁ Ἀθηναῖος, (ἔτι γὰρ ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον,) προαισθόμενος τοῦ στρατοῦ, καὶ δείσας περὶ αὐτῆς, ἐλθὼν, πείθει Ἀκαρνᾶνας χαλεπῶς, διὰ τὴν ἐκ τῆς Λευκάδος ἀναχώρησιν, βοηθῆσαι Ναυπάκτῳ. Καὶ πέμπουσι μετ' αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας· οἳ ἐσελθόντες, περιεποιήσαντο τὸ χωρίον. Δεινὸν γὰρ ἦν, μὴ, μεγάλου ὄντος τοῦ τείχους, ὀλίγων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. Εὐρύλοχος δὲ καὶ οἱ μετ' αὐτοῦ, ὡς ᾔσθοντο τὴν στρατιὰν ἐσεληλυθυῖαν, καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν, οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ' ἐς τὴν Αἰολίδα, τὴν νῦν καλουμένην Καλυδῶνα, καὶ Πλευρῶνα, καὶ ἐς τὰ ταύτῃ χωρία, καὶ ἐς Πρόσχιον τῆς Αἰτωλίας. Οἱ γὰρ Ἀμπρακιῶται, ἐλθόντες πρὸς αὐτοὺς, πείθουσιν, ὥστε μετὰ σφῶν Ἄργει τε τῷ Ἀμφιλοχικῷ καὶ

duce Eurylocho, Locridem ingreſſi, vaſtant Naupactiorum agros, una cum Aetolis, qui et ipſi advenerant. Demoſthenes autem, adhuc Naupacti moratus, metuens de urbe iam tum, cum Peloponneſii appropinquarent, contendit ad Acarnanes, ab iisque petit, ut auxilio ſuccurrant. Illi gravate quidem, tamen mille gravis armaturae milites navibus cum illo mittunt. Cum hi Naupactum veniſſent, Eurylochus deſiſtit conſilio urbis oppugnandae, et in Aetoliam meridionalem (Aeolida) profectus, Ambraciotis, ex-

Μολύκρειον, vid. ad 2, 84.

περιεποιήσαντο τὸ χωρίον, i. e. *ἔσωσαν*, ſervarunt; niſi forte cum Benedicto legendum *περιεποίησαν τὸ χ.*

ἐς τὴν Αἰολίδα, regio erat Aetoliae, meridiem verſus ſita, ut h. l. certiſſime patet. cf. Theocrit. 1, 56., ubi *Αἰολικὸν θάημα* eſt pro *Καλυδωνικόν*. Vid. ibi Schol. Erant etiam in Theſſalia Aeoles, auctore Diodoro. cf. Ducker.

Ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειρῆσαι, καὶ Ἀκαρνανίᾳ· ἅμα λέγοντες, ὅτι, ἢν τούτων κρατήσωσι, πᾶν τὸ ἠπειρωτικὸν Λακεδαιμονίοις ξύμμαχον καθεστήξει. Καὶ ὁ μὲν Εὐρύλοχος, πεισθεὶς, καὶ τοὺς Αἰτωλοὺς ἀφεὶς, ἡσύχαζε τῷ στρατῷ περὶ τοὺς χώρους τούτους, ἕως τοῖς Ἀμπρακιώταις ἐκστρατευσαμένοις περὶ τὸ Ἄργος δέοι βοηθεῖν. Καὶ τὸ θέρος ἐτελεύτα.

103. Οἱ δ᾽ ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, τοῦ ἐπιγιγνομένου χειμῶνος ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων, καὶ ὅσοι Σικελῶν κατὰ κράτος ἀρχόμενοι ὑπὸ Συρακουσίων, καὶ ξύμμαχοι ὄντες, ἀποστάντες αὐτοῖς ἀπὸ Συρακουσίων ξυνεπολέμουν, ἐπ᾽ Ἴνησσαν, τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακούσιοι εἶχον, προσέβαλλον· καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, ἀπῇεσαν. Ἐν δὲ τῇ ἀναχωρήσει, ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος Συρακούσιοι· καὶ προσπεσόντες, τρέπουσί τε

peditionem adverſus Argos Amphilochicum molientibus, opem promittit. 103. Athenienſium in Sicilia adverſus Neſſam et in Locrorum fines expeditiones parum memo-

τὸ ἠπειρωτικόν. Intelligo incolas continentis totius, qui inſulanis, Athenienſium ſociis, h. l. opponuntur. Bredovius *Epiroticos populos* intelligit, quibus quidem a Thucydide etiam Acarnanes et Amphilochi accenſentur (vid. cap. 95 init.), ſed eo ſenſu latiore, quem nos modo indicavimus. Cf. c. 94. Itaque ubique littera minuſcula hoc nomen ſcribendum videtur, ut et alibi iam factum 1, 46. 47. Etiam infra 3, 114 extr. ἤπειρος pro appellativo potius habendum eſt, quam pro nomine cuiusdam regionis proprio. Fruſtra igitur Bredovius Heilmannum ibi corrigebat, qui verterat *zu Lande.* Enimvero ἡ ἤπειρος latius patet apud Scriptorem noſtrum, qui 1, 46. non ſimpliciter ἤπειρον vocat eam regionem, quam ſequiores Epirum, ſed τὴν κατὰ Κέρκυραν ἤπειρον, et Θεσπρωτίδα γῆν. cf. 1, 136.

103. αὐτοῖς ἀπὸ Συρακουσίων. Ultima verba pro gloſſemate τοῦ αὐτοῖς habebat Kiſtemak. Haud dubie virum doctum offendebat transpoſitio pronominis αὐτοῖς, quae Noſtro ſatis familiaris eſt. Quamobrem fruſtra idem, αὐτοῖς intelligi poſſe πρὸς αὐτοὺς, opinatur. Nam hoc pronomen pertinet ad ξυνεπολέμουν, quare comma poſt Συρακουσίων ſuſtuli. Cf. 4, 2 med. Εἶπον δὲ τούτοις, καὶ Κερκυραίων ἅμα προσπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι.

ἐπ᾽ Ἴνησσαν. Haud dubie ſic cum Cluverio legendum pro ἐπὶ Νῆσσαν, addicentibus

μέρος τὶ τοῦ στρατοῦ, καὶ ἀπέκτειναν οὐκ ὀλίγους. Καὶ μετὰ τοῦτο, ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ τὸν Καΐκινὸν ποταμὸν, τοὺς προςβοηθοῦντας Λοκρῶν μετὰ Προξένου τοῦ Καπάτωνος, ὡς τριακοσίους, μάχῃ ἐκράτησαν, καὶ ὅπλα λαβόντες ἀπεχώρησαν.

104. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι, κατὰ χρησμὸν δή τινα. Ἐκάθηρε μὲν γὰρ καὶ Πεισίστρατος ὁ τύραννος πρότερον αὐτὴν, οὐχ ἅπασαν, ἀλλ' ὅσαν ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε δὲ πᾶσα ἐκαθάρθη, τοιῷδε τρόπῳ. Θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ, πάσας ἀνεῖλον, καὶ τὸ λοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ, μήτε ἐντίκτειν, ἀλλ' ἐς τὴν Ῥήνειαν διακομίζεσθαι. Ἀπέχει δὲ ἡ Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον, ὥςτε Πολυκράτης ὁ Σαμίων τύραννος, ἰσχύσας τινὰ χρόνον ναυτικῷ, καὶ τῶν τε ἄλλων νήσων ἄρξας, καὶ τὴν Ῥήνειαν ἑλὼν, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ, ἁλύσει δήσας πρὸς τὴν Δῆλον. Καὶ τὴν πεντετηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια. Ἦν δέ ποτε καὶ τὸ πάλαι μεγάλη ξύνοδος ἐς τὴν Δῆλον τῶν Ἰώνων τε καὶ περικτιόνων νησιωτῶν. Ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν, ὥςπερ νῦν ἐς τὰ Ἐφέσια Ἴωνες· καὶ ἀγὼν ἐποιεῖτο αὐτόθι καὶ γυμνικὸς καὶ μουσικός· χορούς τε ἀνῆγον αἱ πόλεις. Δηλοῖ δὲ μά-

rabiles. 104. Delus luſtratur, omnibus ex inſula cadaveribus et urnis remotis, cum eo, ut ne quisquam in Delo neque naſceretur, nec moreretur, ſed omnes in

codd. Reg. Caſſ. Aug. Ita Strabo huius regionis urbem quandam appellat, et ipſe Thucydides 6, 94. Ἰνησσαίων mentionem facit una cum Hyblaeorum, ubi vid. Hudſon.

104. ἐναποθνήσκειν. Vetitum erat, ne quisquam ad mortem aegrotans in inſula eſſet, neve mulier gravida, inſtante partu, quia inſula Apollini ſacra erat, qui eius luſtrationem Atheniensibus mandaverat.

ἐθεώρουν. Schol. τῆς θεωρίας καὶ πανηγύρεως μετεῖχον. — τὰ Ἐφέσια, feſtum Dianae Epheſiae.

λιστα Ὅμηρος, ὅτι τοιαῦτα ἦν, ἐν τοῖς ἔπεσι τοῖσδε, ἅ ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος,

Ἄλλοτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης,
Ἔνθά τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται,
Σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν·
Ἔνθα σε πυγμαχίῃ [τε] καὶ ὀρχηστὺι καὶ ἀοιδῇ
Μνησάμενοι τέρπουσιν, ὅταν καθίσωσιν ἀγῶνα.

Ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν, καὶ ἀγωνιούμενοι ἐφοίτων, ἐν τοῖσδε αὖ δηλοῖ, ἅ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου. Τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας, ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη,

Ἀλλ' ἄγεθ', ἱλήκοι μὲν Ἀπόλλων, Ἀρτέμιδι ξὺν,
Χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθε
Μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
Ἐνθάδ' ἀνείρηται ταλαπείριος ἄλλος ἐπελθὼν,
Ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
Ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;
Ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθε ἀφήμως,
Τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ.

Τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν, ὅτι ἦν καὶ τὸ πάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον

vicinam Rheneam inſulam deportarentur. De ludis et certaminibus Deli cum antea, tum eo tempore inſtitutis.

ἐκ προοιμίου. Eſt hymnus primus in Apollinem V. 146 ſeqq. et 165—172. Codicum vero Thucydidis lectiones in his verſibus mirum quantum discrepant a vulgatis et Thucydidis ipſius et Homericorum hymnorum editionibus. Qua de re a recentioribus Criticis, imprimis a Poppone, ſatis accurate et ſubtiliter actum eſt; quos ſecutus vulgatam lectionem, ad hymnorum exemplaria paſſim correctam, mutavi, eam ſcripturam, quae codicum Thucydidis conſenſu tamquam antiquior firmatur (nam altera Alexandrinorum tantum aetatem attingit) revocando. Singulas autem correctiones una cum earum auctoritatibus optime cognoſces ex Popponis Obſſ. p. 156 ſqq. Nam noviſſima hymnorum exemplaria non ubique integrum hymnorum praebent textum, ſed nonnullis in locis ad Thucydidis libros mutatum. *Ἀφήμως* cum plurimis Mſſ. etiam Schol. habet.

δὲ τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ' ἱερῶν ἔπεμπον· τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη ὑπὸ ξυμφορῶν, ὡς εἰκὸς, πρὶν δὴ οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν, καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

105. Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀμπρακιῶται, ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις· καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν, καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὅ ποτε Ἀκαρνᾶνες τειχισάμενοι, κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως, ἐπιθαλασσίας οὔσης, πέντε καὶ εἴκοσι σταδίους μάλιστα. Οἱ δὲ Ἀκαρνᾶνες, οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ, ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους, μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο. Πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην, τὸν ἐς τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται· καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων, αἳ ἔτυχον περὶ Πελοπόννησον οὖσαι· ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ Τιμοκράτους, καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. Ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν, κελεύοντες σφίσι βοηθεῖν πανδημεί· δεδιότες, μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται διελθεῖν τοὺς Ἀκαρνᾶνας, καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ μάχη γένηται, ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ᾖ ἀσφαλές.

105. Ambraciotarum una cum Peloponnesiis circa Aetoliam versantibus expeditio adversus Argos Amphilochicum et Acarnaniam. Acarnanes Peloponnesiis viam parant claudere, et Demosthenem sibi ducem expetunt.

105. *ὑποσχόμενοι — κατέσχον*, pro κατεσχόντες ὑπέσχοντο. Retinuerant nempe Eurylochum in Aetolia meridionali. Vid. c. 102 extr.

ἐς τὴν πόλιν, Ambraciam,

106. *Οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι, ὡς ᾔσθοντο τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ Προσχίου, ἐβοήθουν κατὰ τάχος. Καὶ διαβάντες τὸν Ἀχελῷον, ἐχώρουν δι' Ἀκαρνανίας, οὔσης ἐρήμου, διὰ τὴν ἐς Ἄργος βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν, καὶ τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν. Καὶ διελθόντες τὴν Στρατίων γῆν, ἐχώρουν διὰ τῆς Φυτίας, καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα· ἔπειτα διὰ Λιμναίας· Καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσι. Λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ ἐστιν ἄγροικον, ἐχώρουν δι' αὐτοῦ, καὶ κατέβησαν ἐς τὴν Ἀργείαν νυκτὸς ἤδη. Καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς ἔλαθον, καὶ προσέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις.*

107. *Γενόμενοι δὲ ἀθρόοι, ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην, καὶ στρατόπεδον ἐποιήσαντο. Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ*

106. Peloponnesii incolumes ad Ambraciotas circa Olpas perveniunt. 107. Etiam Acarnanes et Athenienses

quae non admodum remota erat ab Olpis.

106. *ἥκοντας*, advenisse, adesse.

ἐχώρουν διὰ τῆς Φυτίας. In tabula Danvilliana Phaeteae mendose scribitur. Praeterea multa in hac Acarnaniae descriptione ab iis, quae in tabula illa designata sunt, valde discrepant. Maximae Limnaeae situs perverse notatus est ad sinum Ambracicum inter Argos et Anactorium, quum inter Medeonem et fines Argivorum atque Agraeorum eum situm fuisse necesse sit, propterea quod Peloponnesii inde ad Agraeos convertebantur. Vid. Poppo p. 110., ex cuius accuratissima Acarnaniae descriptione Agraeorum fines rectius cognoscuntur. Erat hic populus finitimus Argivis et Amphilochis, et ad Acheloum pertinebat. Vid. 2, 102. ubi pro *Ἀγραῶν* legendum erat *Ἀγραίων*. Thucydides eum non accenset Acarnanibus 3, 106. et Peloponnesiorum socium perhibet (vid. ib. et c. 111.) Etiam Argivorum urbs nimis a mari remota notatur vulgo, cum 3, 105. *ἐπιθαλάσσια* dicatur. Praeterea duo oppida, *Κρῆναι* 3, 105. et *Μητρόπολις* 3, 107. a Thucydide memorata, a Danvillio autem praetermissa, recte a Poppone collocata sunt, illa inter Medeonem et Argos, haec autem prope Olpas. cf. 3, 106.

πολλῷ ὕστερον παραγίγνονται ἐς τὸν Ἀμπρακικὸν [κόλπον], βοηθοῦντες τοῖς Ἀργείοις· καὶ Δημοσθένης, Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων. Καὶ αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες, καὶ Ἀμφιλόχων ὀλίγοι, (οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο,) ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες, παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις. Καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται Δημοσθένην μετὰ τῶν σφετέρων στρατηγῶν. Ὁ δὲ προσαγαγὼν ἐγγὺς τῆς Ὄλπης ἐστρατοπεδεύσατο. Χαράδρα δ᾽ αὐτοὺς μεγάλη διεῖργε. Καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ δ᾽ ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. Καί, (μεῖζον γὰρ ἐγένετο, καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπεδον,) ὁ Δημοσθένης, δείσας, μὴ κυκλωθῇ, λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη ὁπλίτας καὶ ψιλούς, ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γίγνωνται. Ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ᾖεσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλίγων· τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον, καὶ Ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί. Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι, πλὴν Μαντινέων. Οὗτοι δὲ ἐν τῷ εὐωνύ-

congregantur. Poſtquam quinque dies ſibi exadverſo ſtetiſſent quieti, ſexto aciem inſtruunt, quae deſcribitur.

107. *Ἀμπρακικὸν κόλπον.* Vocem *κόλπον*. cum abſit a praeſtantiſſimis libris Reg. Cl. Caſſ. Aug. Par. H., atque alibi non raro omittatur, recte ſuſpectam habet Poppo.

τὰς Ὄλπας τὸν λόφον. Supra cap. 105. *Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρόν.*

βίᾳ κατείχοντο, aut domi retinebantur ab hoſte, qui fines eorum transgreſſus erat, quo minus Argivis ſubſidio venirent; aut Ambraciae, tamquam obſides. Cf. ad cap. 114.

ὡς ἕκαστοι τεταγμένοι, pro ſe quique collocati, ex ordine ſingulorum populorum; cui contrarium eſt *ἀναμίξ*.

μῳ μᾶλλον, καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες, ἀθρόοι ἦσαν· ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον, καὶ οἱ μετ' αὐτοῦ, κατα Μεσσηνίους καὶ Δημοσθένην.

108. Ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι, καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες, ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου, προςπίπτουσί τε, καὶ τρέπουσιν, ὥςτε μήτε ἐς ἀλκὴν ὑπομεῖναι, φοβηθέντας τε ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος καταστῆσαι. Ἐπειδὴ γὰρ εἶδον τὸ κατ' Εὐρύλοχον, καὶ ὃ κράτιστον ἦν, διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. Καὶ οἱ Μεσσήνιοι ὄντες ταύτῃ μετὰ τοῦ Δημοσθένους, τὸ πολὺ τοῦ ἔργου ἐπεξῆλθον. Οἱ δὲ Ἀμπρακιῶται, καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας, ἐνίκων τὸ καθ' ἑαυτοὺς, καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν. Καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. Ἐπαναχωροῦντες δὲ, ὡς ἑώρων τὸ πλέον νενικημένον, καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προςέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς Ὄλπας, καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως καὶ οὐδενὶ κόσμῳ προςπίπτοντες, πλὴν Μαντινέων. Οὗτοι δὲ μάλιστα ξυντεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. Καὶ ἡ μὲν μάχη ἐτελεύτα ἐς ὀψέ.

109. Μενεδαῖος δὲ τῇ ὑστεραίᾳ, Εὐρυλόχου τεθνεῶτος, καὶ Μακαρίου, αὐτὸς παρειληφὼς τὴν ἀρχὴν,

108. Pugna coorta, Peloponnefii cum fociis caeduntur, Demofthenis confilio. 109. Is petentibus pacem aperte non concedit, fed tantum cum Mantinenfibus et ducibus

108. ἐς ἀλκήν. Non folum non adoriebantur hoftem, fed ne fustinebant quidem hoftium impetum; ne manebant quidem usque ad defenfionem hoftilis impetus.

προςπίπτοντες. Perperam τοῖς ἐναντίοις intelligit Schol. Portus rectius: „Dum in Olpas perturbatis ordinibus et nulla rei militaris difciplina fervata, irruerent.“ Sermo eft de ἀναχωρήσει.

ἐς ὀψέ. Cum Duckero et Benedicto recepi pro ἕως ὀψέ plurimorum codicum lectionem ἐς ὀψέ. Ita etiam 8, 25 legitur, et folet Thucydides verbo τελευτᾶν iungere praepofitionem ἐς. Cf. 1, 51. 3, 78. In Aug. et Mofq. ἕως ἐς ὀψέ legitur, qua ex fcriptura vulgatae origo apparet.

καὶ ἀπορῶν, μεγάλης ἥσσης γεγενημένης, ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Ἀττικαῖς ναυσὶν ἀποκεκλεισμένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προςφέρει λόγον περὶ σπονδῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ἀκαρνάνων στρατηγοῖς, καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. Οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν, καὶ τροπαῖον αὐτοὶ ἔστησαν, καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο· ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασι, κρύφα δὲ Δημοσθένης μετὰ τῶν ξυστρατηγῶν Ἀκαρνάνων σπένδονται Μαντινεῦσι καὶ Μενεδαίῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων, καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι, ἀποχωρεῖν κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικὸν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρῄζων Ἕλληνας, ὡς, καταπροδόντες, τὸ ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. Καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο, καὶ διὰ τάχους ἔθαπτον, ὥςπερ ὑπῆρχε· καὶ τὴν ἀποχώρησιν κρύφα, οἷς ἐδέδοτο, ἐπεβούλευον.

110. Τῷ δὲ Δημοσθένει καὶ τοῖς Ἀκαρνᾶσιν ἀγγέλλεται, τοὺς Ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ὀλπῶν ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Ἀμφιλόχων, βουλομένους τοῖς ἐν

omnibus clam ſponſionem facit, ut ſine mora iis abire liceat; ſperans, hoc modo Peloponneſios populis illius tractus, tamquam proditores, inviſos fore. 110. Interim Demoſthenes comperit, Ambraciotas ex urbe in

109. *πολιορκήσεται*, i. e. obſidionem toleret ac ſuſtineat. Cf. c. 52, ubi eſt *οὐδὲ δυνάμενοι πολιορκεῖσθαι*. — Mox *ἀποκεκλῃμένος*, pro *ἀποκεκλειομένος*, Codices multi exhibent. Cf. ad 4, 8.

καὶ τὸν μισθοφόρον ὄχλον. Ita codices bene multi, quod amplexus ſum, quia non video, quomodo in tot codd. vulgatum *μισθοφόρων*, per ſe ſatis aptum, mutari potuerit in adiectivum *μισθοφόρον*, quod paullo exquiſitius videtur.

Ὄλπαις ξυμμίξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. Καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας, καὶ τὰ καρτερὰ προκαταληψομένους· καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο βοηθεῖν ἐπ' αὐτούς.

111. Ἐν τούτῳ δ' οἱ Μαντινεῖς, καὶ οἷς ἔσπειστο, πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες, ὑπαπῄεσαν κατ' ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν· προκεχωρηκότες δὲ ἤδη ἄπωθεν τῆς Ὄλπης, θᾶσσον ἀπεχώρουν. Οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι, ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι ξυνελθόντες, ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ, καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. Οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν, κωλύοντας, καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς, ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. Καὶ ἦν πολλὴ ἔρις, καὶ ἄγνοια, εἴ τε Ἀμπρακιώτης τίς ἐστιν, εἴ τε Πελοποννήσιος. Καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα, ὅμορον οὖσαν· καὶ Σαλύνθιος αὐτοὺς, ὁ βασιλεὺς τῶν Ἀγραίων, φίλος ὢν, ὑπεδέξατο.

112. Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐπ' Ἰδομένην. Ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη

auxilium arceſſitos (cf. cap. 105.), appropinquare, omnium ignaros, quae adhuc geſta eſſent. Statim idonea loca per praemiſſos milites occupat; ipſe cum ceteris ſequitur. 111. Peloponneſii abeunt intacti, Ambraciotae, eos ſequentes, caeduntur. Nonnulli eorum ad Salynthium, Agraeorum regem, evadunt. 112. Alteri illi Ambra-

111. *οὕτως ἀθρόοι ξυνελθόντες.* Intelligo in caſtris ad Olpas, non in agris congreſſos.

ἠκόντισέ τις. Recte Schol. poſt varios explicandi conatus, *τὶς* interpretatur *ἄλλος καὶ ἄλλος,*

ὑψηλῷ. Τούτοιν τὸν μὲν μείζω, νυκτὸς ἐπιγενομένης, οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου, ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες· τὸν δ' ἐλάσσω ἔτυχον οἱ Ἀμπρακιῶται προαναβάντες, καὶ ηὐλίσαντο. Ὁ δὲ Δημοσθένης, δειπνήσας, ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθὺς, αὐτὸς μὲν, τὸ ἥμισυ ἔχων, ἐπὶ τῆς ἐςβολῆς, τὸ δ' ἄλλο διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. Καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς, καὶ οὐ προῃσθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι. Καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε, καὶ προςαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν ἱέντας, καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει, νυκτὸς ἔτι οὔσης. Ὡς οὖν ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσι· καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. Προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς, καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅπῃ τράπωνται, ἐςπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας, διεφθείροντο. Καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς, ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν, οὐ πολὺ ἀπέχουσαν. Καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προςένευσαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν

ciotae ex urbe ſubmiſſi a Demoſthene ad internecionem

quo ſenſu ſaepiſſime apud Homerum legitur: ὧδε δέ τις εἴπεσκεν — v. c. Il. η, 201.

112. τοὺς Μεσσηνίους πρώτους — προὔταξε. De pleonaſmo hoc cf. ad 1, 23. Meſſenii ex Dorica erant gente. — Mox τρέπουσι pro τρέπει. Intelligendi οἱ στρατιῶται ex στρατεύματι. Similiter c. 109. transit a ſingulari ad pluralem, rurſusque ad ſingularem. Δημοσθένης μετὰ τῶν ξυστρατηγῶν Ἀκαρνᾶσιν σπένδονται — βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας.

ὅπῃ τράπωνται. Vulgo legitur ὅποι contra pleroſque codices.

ὑπὸ τῶν ἐν ταῖς ναυσὶν, εἰ δεῖ, διαφθαρῆναι, ἢ ὑπὸ τῶν βαρβάρων, καὶ ἐχθίστων Ἀμφιλόχων. Οἱ μὲν οὖν Ἀμπρακιῶται, τοιούτῳ τρόπῳ κακωθέντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν. Ἀκαρνᾶνες δὲ, σκυλεύσαντες τοὺς νεκροὺς, καὶ τροπαῖα στήσαντες, ἀπεχώρησαν ἐς Ἄργος.

113. Καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κήρυξ ἀπὸ τῶν ἐς Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὄλπης Ἀμπρακιωτῶν, ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν, οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῄεσαν ἄσπονδοι. Ἰδὼν δ' ὁ κήρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν, ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ ᾔδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. Καί τις αὐτὸν ἤρετο ὅ, τι θαυμάζοι, καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν· οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομέναις. Ὁ δ' ἔφη διακοσίους μάλιστα. Ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν, οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων. Αὖθις δὲ εἶπεν ἐκεῖνος, οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν. Ὁ δ' ἀπεκρίνατο, εἴπερ γε ὑμεῖς ἐν Ἰδομένῃ χθὲς ἐμάχεσθε. — Ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθὲς, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. — Καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Ἀμπρακιωτῶν ἐμαχόμεθα. — Ὁ δὲ κήρυξ, ὡς ἤκουσε, καὶ ἔγνω, ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας, καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν, ἀπῆλθεν εὐθὺς ἄπρακτος, καὶ οὐκέτι ἀπῄτει τοὺς νεκρούς. Πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο.

occisi. 113. Praeconis cum Acarnane quodam de multitudine clypeorum colloquium. Ambraciae infortunium.

εἰ δεῖ, διαφθαρῆναι. Ita cum aliis dedimus pro corrupto ἤδη. Paullo ante τοῦ ἔργου, i. e. μάχης.

113. ἐκ τῆς Ὄλπης. In undecim codd. est ἐκ, quod recepimus. Vulgo ἀπό.

Καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι, ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι, οἶδα, ὅτι, εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι, Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι, ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' ἔδεισαν, μὴ οἱ Ἀθηναῖοι, ἔχοντες αὐτὴν, χαλεπώτεροι σφίσι πάροικοι ὦσι.

114. Μετὰ δὲ ταῦτα, τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις, τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. Καὶ τὰ μὲν τῶν Ἀθηναίων, πλέοντα ἑάλω· τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς, Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε. Καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. Ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι, ἀπελθόντων Ἀθηναίων καὶ Δημοσθένους, τοῖς ὡς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν, οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον. Καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν

114. Pax inter Amphilochos et Ambraciotas in centum

114. *μετὰ τὴν τῆς Αἰτωλίας ξυμφοράν.* Vulgo legitur *μετὰ τὴν ἐν Αἰτωλίᾳ ξυμφοράν*, quod interpretamentum esse eius lectionis, quam nos ex codd. Cl. Reg. Gr. Caff. Aug. repofuimus, facile eft intellectu. In tribus illorum codicum recenti manu inter verfus adfcriptum erat *ἐκ*, quod deinde in cod. Vindob. tranfiit. Videlicet librarii fimplicem genitivum concoquere non poterant. Contra nemo, fi vulgatum in fuo codice reperiffet, inde genitivum *τῆς Αἰτωλίας* effinxiffe putandus effet.

ἀδεεστέρα ἡ κάθοδος, quia fortiter et ftrenue geftis rebus ea compenfaverat, quae antea in Aetolis infeliciter cefferant. Cf. c. 98.

ἐξ Οἰνιαδῶν. Pro puncto ponendum effe comma poft haec verba, quivis videt. Nam *οἵπερ* aperte ad Oeniadas fpectat.

οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον καὶ Ἀγραίους. Ultima verba *καὶ Ἀγραίους*, tamquam inutilem pannum nomini *Σαλύνθιον* ex fuperioribus adiectum, cum Bened. et Poppone expunximus. Suffragantur codices bene multi, Gr. Cl. Caff. Aug. Dan. Vind. et quinque Pariff. — Oeniadae focii Peloponnefiorum erant. 2, 102. cf. 3, 94. Credibile igitur eft, cum eius focietatis paffim

ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας, ἐπὶ τοῖςδε, ὥςτε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους, μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων, καὶ ἀποδοῦναι Ἀμπρακιώτας, ὁπόσα ἢ χωρία, ἢ ὁμόρους Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν, πολέμιον ὂν Ἀκαρνᾶσι. Ταῦτα ξυνθέμενοι, διέλυσαν τὸν πόλεμον. Μετὰ δὲ ταῦτα Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομιζόμενοι, χαλεπῶς διὰ τῆς ἠπείρου ἀφίκοντο. Τὰ μὲν κατ' Ἀμπρακίαν οὕτως ἐγένετο.

115. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι, τοῦ αὐτοῦ χειμῶνος, ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν, μετὰ τῶν Σικελιωτῶν ἄνωθεν ἐςβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. Ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον, Πυθόδωρον τὸν

annos facta. 115. Atticae naves in Himeraeam Siciliae, et in Aeoli infulas navigant. Pythodorus in Lache-

mentio iniecta fit, eos quoque in praefidiis Peloponnefiorum fuiffe, et poft cladem ad Salynthium confugiffe, licet Auctor eos paullo fuperius diferte non nominaverit. Quod fi tenueris, iam evanefcent, opinor, illae difficultates, quas nimis h. l. urget Poppo p. 116 fq. Ne coniectura quidem *ἐπ' Οἰνιαδῶν* pro *ἐξ Οἰνιαδῶν* opus eft. Scriptor enim defignat locum, quo per foedus cum Peloponnefiis Ambraciotisque ictum his tuto abire licuerit, ut inde domum navibus confcenfis proficifcerentur. Cf. 2, 82. Qui locus etfi ab Agraeorum finibus fatis remotus erat, tamen et Peloponnefiis, quorum maior erat numerus, aptiffimus erat ad transeundum, et Ambraciotis certe tutus propter Oeniadarum amicitiam. Et ipfis Oeniadis, (*οἵπερ μετανέστησαν παρὰ Σαλύνθιον*), fi qui ad eum confugerant ex pugna, eodem una revertendum erat.

ἢ ὁμόρους Ἀμφιλόχων ἔχουσι. Hudfonus intelligi iubet *ἀγρούς*. Quae ellipfis cum non fit ufitata, minimeque foederibus apta fit definitio tam vaga: recte Poppo fufpicatur legendum effe *ὁμήρους*, quam coniecturam confirmat allato loco c. 107. *Οἱ πλείους (Ἀμφιλόχων) ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο.* Quamquam haec verba aliam interpretationem non folum admittunt, fed propemodum pofcere videntur. quia Ambraciotae in Amphilochorum agro caftra pofuerant.

Κορίνθιοι φυλακὴν ἑαυτῶν — Diodor. 12, 60 extr. *Lacedaemone* praefidium ab ipfis Ambraciotis arceffitum effe tradit.

Ἰσολόχου Ἀθηναίων στρατηγὸν καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδοχον, ὧν ὁ Λάχης ἦρχεν. Οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι ναυσί. Τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακούσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι, παρεσκευάζοντο, τὸ ναυτικὸν ξυναγείροντες, ὡς οὐ περιοψόμενοι. Καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι, ὡς ἀποστελοῦντες αὐτοῖς· ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. Τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν Πυθόδωρον ὀλίγαις ναυσί· Σοφοκλέα δὲ τὸν Σωστρατίδου, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους, ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. Ὁ δὲ Πυθόδωρος, ἤδη ἔχων τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχὴν, ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἷλε. Καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν, ἀνεχώρησεν.

116. Ἐῤῥύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥσπερ καὶ τὸ πρότερον· καὶ γῆν τινα ἔφθειρε τῶν Καταναίων, οἳ ὑπὸ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. Λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα· τὸ δὲ ξύμπαν, τρὶς γεγενῆσθαι τὸ ῥεῦμα, ἀφ᾽ οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. Ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο· καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

tis locum Athenis miſſus, quem maior claſſis ſecutura erat. 116. Aetnae eruptio eius anni, tertia ab eo tempore, quo Sicilia primum a Graecis culta eſt. Finis anni ſexti belli Peloponneſiaci.

115. ὀλίγαις ναυσὶν εἰργόμενοι. Schol. ὑπὸ ὀλίγων νεῶν, δηλαδὴ τῶν Ἀττικῶν.

τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἷλε. Haud dubie intelligendum Peripolium. Vid. c. 99.

ΘΟΥΚΥΔΙΔΟΥ

ΌΛΟΡΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΤΟ ΤΕΤΑΡΤΟΝ.

ΤΟΥ δ' ἐπιγιγνομένου θέρους, περὶ σίτου ἐκβολὴν, Συρακουσίων δέκα νῆες πλεύσασαι, καὶ Λοκρίδες ἴσαι, Μεσσήνην τὴν ἐν Σικελίᾳ κατέλαβον, αὐτῶν ἐπαγαγομένων· καὶ ἀπέστη Μεσσήνη Ἀθηναίων. Ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ μὲν Συρακούσιοι, ὁρῶντες προσβολὴν ἔχον τὸ χωρίον τῆς Σικελίας, καὶ φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐξ αὐτοῦ ὁρμώμενοί ποτε, σφίσι μείζονι παρασκευῇ ἐπέλθωσιν· οἱ δὲ Λοκροὶ, κατὰ ἔχθος τὸ Ῥηγίνων, βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς καταπολεμεῖν. Καὶ ἐσεβεβλήκεσαν ἅμα ἐς τὴν Ῥηγίνων οἱ Λοκροὶ πανστρατιᾷ, ἵνα μὴ ἐπιβοηθῶσι τοῖς Μεσσηνίοις· ἅμα δὲ καὶ ξυνεπαγόντων Ῥηγίνων φυγάδων, οἳ ἦσαν παρ' αὐτοῖς. Τὸ γὰρ Ῥήγιον ἐπὶ πολὺν χρόνον ἐστασίαζε, καὶ ἀδύνατα ἦν ἐν τῷ παρόντι τοὺς Λοκροὺς ἀμύνεσθαι· ᾗ καὶ μᾶλλον ἐπετίθεντο. Δῃώσαντες δὲ, οἱ μὲν Λοκροὶ τῷ πεζῷ ἀπεχώρησαν, αἱ δὲ νῆες Μεσσήνην ἐφρούρουν· καὶ ἄλλαι αἱ πληρούμεναι ἔμελλον, αὐτόσε ἐγκαθορμισάμεναι, τὸν πόλεμον ἐντεῦθεν ποιήσεσθαι.

1. Syracuſii cum Locris Meſſenam, ab Athenienſibus deficientem, recipiunt, Rhegiumque Locri adoriuntur.

1. περὶ σίτου ἐκβολήν. Similiter noſtrates de ſegete dicunt *ſchoſſen*.

ᾗ καὶ μᾶλλον. Hunc verborum ordinem cum Benedicto praetuli vulgato μᾶλλον καί.

2. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος, πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἆγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς· καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν. Ἀθηναῖοι δὲ τάς τε τεσσαράκοντα ναῦς ἐς Σικελίαν ἀπέστειλαν, ὥσπερ παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπολοίπους, Εὐρυμέδοντα καὶ Σοφοκλέα. Πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς Σικελίαν. Εἶπον δὲ τούτοις, καὶ Κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ ἐλῃστεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ Πελοποννησίων αὐτόσε νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροί· καὶ, λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει, νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Δημοσθένει δὲ, ὄντι ἰδιώτῃ, μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ Ἀκαρνανίας, αὐτῷ δεηθέντι, εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἢν βούληται, περὶ τὴν Πελοπόννησον.

3. Καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν Λακωνικὴν, καὶ ἐπυνθάνοντο, ὅτι αἱ νῆες ἐν Κερκύρᾳ ἤδη εἰσὶ τῶν Πελοποννησίων, ὁ μὲν Εὐρυμέδων καὶ [ὁ] Σοφοκλῆς

2. Eodem tempore, vere, Peloponnefii in Atticam invadunt, duce Agide, eamque vaftant. Athenienfes XL naves, in Siciliam deftinatas, ducibus Eurymedonte et Sophocle, mittunt, mandantes, ut praetereuntes Corcyram teneant, quo Peloponnefiorum claffis in auxilium exfulum devecta erat. Demofthenes, tum privatus, eam claffem Athenienfium comitatur, ut ea circum Peloponnefum utatur, quemadmodum voluerit. 3. Itaque cum circa Laconicam

2. *τάς τε τεσσαράκοντα ναῦς.* Vid. 3, 115 med.

εἶπον δὲ τούτοις — παραπλέοντας, pro *παραπλέουσι,* de qua conftructione egimus fupra ad 2, 11. — De inteftinis Corcyraeorum bellis, ad quae h. l. refpicit Thucydides, expofuit fupra 3. 70 feqq. cf. c. 85.

μετὰ τὴν ἀναχώρησιν. Vid. 3, 114 init.

ταῖς ναυσὶ ταύταις, nimirum iisdem, quibus Eurymedon cum Sophocle et Pythodoro praeerat; ne cum Duckero de peculiari imperio cogites, quod neque hic commemoratur, et fequentibus (cap. 3.) minime congruit.

3. *καὶ [ὁ] Σοφοκλῆς.* Articulus abeft a multis codd., nec folet Thucydides eum repetere.

ἠπείγοντο ἐς τὴν Κέρκυραν· ὁ δὲ Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς, καὶ πράξαντας ἃ δεῖ, τὸν πλοῦν ποιεῖσθαι. Ἀντιλεγόντων δὲ, κατὰ τύχην χειμὼν ἐπιγενόμενος κατήνεγκε τὰς ναῦς ἐς τὴν Πύλον. Καὶ ὁ Δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον· ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι. Καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων, καὶ φύσει καρτερὸν ὂν, καὶ ἔρημον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας. Ἀπέχει γὰρ σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους, καὶ ἔστιν ἐν τῇ Μεσσηνίᾳ ποτὲ οὔσῃ γῇ. Καλοῦσι δὲ αὐτὴν οἱ Λακεδαιμόνιοι Κορυφάσιον. Οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς Πελοποννήσου, ἣν βούληται καταλαμβάνων τὴν πόλιν δαπανᾷν.

navigarent, Eurymedonte et Sophocle in Corcyram properantibus, ſuadet Demoſthenes, ut prius quam eo progrederentur, Pylum munirent, et commoda inde reditura

Exempla congeſſi ad 1, 71. Etiam cap. 5. articulus abeſt alteri nomini in verbis: *τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ Σικελίαν ἠπείγοντο.*

ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι. Hanc lectionem defendo, licet in undecim libris reperiatur *ξυνέπλευσε*, quod Benedicti aſſenſum tulit. Nihil eſt, quod hic in memoriam lectorum revocet Auctor; nam cap. 2. nihil niſi hoc dixerat, Demoſtheni petenti conceſſum eſſe a populo Athenienſi, ut navibus in Siciliam miſſis, ſi videretur, circa Peloponneſum uteretur. De Pylo eiusque munitione neque ibi, neque paullo poſt initio huius cap. mentionem facit, ubi dicit: *ὁ Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς, καὶ πράξαντας ἃ δεῖ, τὸν πλοῦν ποιεῖσθαι.* Videtur igitur hoc conſilium aut ne cum ipſis quidem praetoribus, antequam proficiſcerentur, communicatum eſſe, aut e re nata exſtitiſſe. Difficilior certe vulgata lectio eſt, quam altera illa, quae naſci potuit, quod librarii non intelligebant, unde infinitivus *ξυμπλεῦσαι* penderet. Porro verba *ἐπὶ τούτῳ*, (quae vulgo male accipiunt *hac de cauſa*, cum ſignificent *ea lege et conditione*, nempe ut Pylus muniretur) ſi vera eſt lectio, peius etiam interpretatus eſt Scholiaſta: *ἐπὶ τούτῳ*] *ἤγουν ἕνεκα τοῦ τειχισθῆναι.* Suſpiceris igitur, eum in ſuo codice reperiſſe: *ἐπὶ τοῦτο γὰρ ξ.*, quod huic loco aptiſſimum eſt.

ἀπέχει γὰρ — τῆς Σπάρτης. Ex depravatis libris Ar. C. Dan., qui etiam ordinem horum verborum aliter conſtituunt, Kiſtem. praeferebat *δέ*, quod ſaepius cum *γάρ* in codicibus permutatur, ut cap. 2. poſt *Πυθόδωρος* Ar. habet *δέ*. *Γάρ* h. l. ſpectat ad *ἐρημίαν πολλὴν τῆς χώρας*, quae decem ferme milliaria germanica aberat ab urbe capitali et a firmo ſatis praeſidio.

τὴν πόλιν δαπανᾷν, es-

Τῷ δὲ διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χωρίον ἑτέρου μᾶλλον, λιμένος τε προσόντος, καὶ τοὺς Μεσσηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον, καὶ ὁμοφώνους τοῖς Λακεδαιμονίοις, πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους, καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας ἔσεσθαι.

4. Ὡς δὲ οὐκ ἔπειθεν οὔτε τοὺς στρατηγούς, οὔτε τοὺς στρατιώτας, ὕστερον καὶ τοῖς ταξιάρχοις κοινώσας, ἡσύχαζεν ὑπὸ ἀπλοίας, μέχρι αὐτοῖς τοῖς στρατιώταις σχολάζουσιν ὁρμὴ ἐπέπεσε περιστᾶσιν ἐκτειχίσαι τὸ χωρίον. Καὶ ἐγχειρήσαντες εἰργάζοντο, σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν, ὡς ἕκαστόν τι ξυμβαίνοι. Καὶ τὸν

demonſtrat. 4. Sed adverſantibus ei non ſolum ducibus, verum etiam militibus, tandem, cum diutius propter tempeſtatem morandum eſſet, milites in animum inducunt,

haurire urbem nimios ei ſumptus iniungendo. — τῷ δέ vid. ad 1, 37.

καὶ τοὺς Μεσσηνίους. Recte intelligunt eos, qui Naupactum incolebant, qui Pylo, unde antiquitus oriundi erant, cognati et propinqui erant. Sed de accuſativi cum infinitivo conſtructione, ſatis inſolenti h. l. poſt λιμένος τε προσόντος, nemo quidquam monuit, quae haud dubie brevitatis ſtudio debetur. Cum enim pergere debuiſſet: καὶ τῶν Μεσσηνίων οἰκείων ὄντων αὐτῷ, καὶ ὁμοφώνων τοῖς Λακεδαιμονίοις· οὓς Μεσσηνίους ἐνόμισε πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους καὶ — φύλακας ἔσεσθαι: ſtatim ab initio accuſativum poſuit, quia fortaſſe ex ἐδόκει animo obverſabatur ὅτι ἐνόμισε, aut ſimile quid.

4. ἡσύχαζεν ὑπὸ ἀπλοίας, μέχρι αὐτοῖς —. Poppo ſtatim poſt ἡσύχαζεν comma ponit. Sed primum plerumque μέχρι, ſi coniunctionis vim habet, ab initio membri collocatur, ut ἕως et aliae eiusmodi particulae; deinde verba ὑπὸ ἀπλοίας, ſi ad σχολάζουσιν pertinerent, nimis ab hoc participio eſſent remota. Denique ἡσύχαζεν ὑπὸ ἀπλοίας non ſolum vere dicitur de Demoſthene, ſed etiam recte intelligitur de tota claſſe, cui malacia cauſa erat manendi. Cf. Bredov. Μέχρις et h. l. corrigendum eſt cum Duckero et Benedicto, quorum hic codicum, ille grammaticorum auctoritates attulit. — Mox pro ἐπέπεσε περὶ στάσιν recepi lectionem codicis Caſſelani περιστᾶσιν. Infra cap. 12. ἐς τοῦτο περιέστη ἡ τύχη. Nihil hoc loco aptius eſt, quam haec lectio, quae animum militum mutatum ſignificat. Nam antea recuſaverant opus. Contra vulgata lectio aptam loci ſententiam non admittit, niſi vocabulo στάσις vim non uſitatam Thucydidi tribuere velis. Cf. Poppo p. 72.

καὶ ξυνετίθεσαν, pro καὶ

πηλὸν, εἴ που δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ, ἐπὶ τοῦ νώτου ἔφερον, ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τὼ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι. Παντί τε τρόπῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους, τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι, πρὶν ἐπιβοηθῆσαι. Τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε, καὶ οὐδὲν ἔδει τείχους.

5. *Οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες, καὶ ἅμα, πυνθανόμενοι, ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς, ὅταν ἐξέλθωσιν, ἢ οὐχ ὑπομενοῦντας σφᾶς, ἢ ῥᾳδίως ληψόμενοι βίᾳ· καί τι καὶ αὐτοὺς ὁ στρατὸς ἔτι ἐν ταῖς Ἀθήναις ὢν ἐπέσχε. Τειχίσαντες δὲ οἱ Ἀθηναῖοι τοῦ χωρίου τὰ πρὸς ἤπειρον, καὶ ἃ μάλιστα ἔδει, ἐν ἡμέραις ἓξ, τὸν μὲν Δημοσθένην μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσι, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ Σικελίαν ἠπείγοντο.*

6. *Οἱ δ' ἐν τῇ Ἀττικῇ ὄντες Πελοποννήσιοι, ὡς ἐπύθοντο τῆς Πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου· νομίζοντες μὲν οἱ Λακεδαιμόνιοι καὶ Ἆγις ὁ βασιλεὺς οἰκεῖον σφίσι τὸ περὶ τὴν Πύλον· ἅμα δὲ, πρωῒ ἐσβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς· χειμών τε ἐπι-*

urbem munire, idque multa contentione ſex diebus conficiunt. 5. Lacedaemonii partim feriis occupati, partim rem parvi aeſtimantes, tum in Attica adhuc verſantes, non poterant prohibere munitionem. Itaque, re perfecta, Demoſthenes cum V navibus remanet, ceteri Athenienſes Corcyram pergunt. 6. Peloponneſii ſtatim poſt quin-

ξυντιθέντες. Vid. ad 3, 37. — *λογάδην* Schol. *ἐπιλέκτως, ἤγουν ἐκλελεγμένους λίθους.* cf. c. 31 extr.

5. *καί τι καὶ αὐτοὺς ὁ στρατός* —. Vulgo: *καί τι αὐτούς*, omiſſo altero *καί*, quod in hac formula ſolenne eſt apud Thucydidem. Vid. Poppo p. 106. Eodem ducit lectio codd. Cl. Aug. *καί τε καί.* — Paullo poſt *τοῦ χωρίου* vulgo uncis includitur, cuius ſuſpicionis cauſam videmus nullam.

6. *ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς*, i. e. plerisque rebus, quae ad victum pertinent, egebant. Ita rectius Heilmannus intellexit, quam cum Scholiaſta et Porto Bredovius, qui *τοῖς πολ-*

γενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν, ἐπίεσε τὸ στράτευμα. Ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον αὐτοὺς, καὶ βραχυτάτην γενέσθαι τὴν ἐσβολὴν ταύτην. Ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ Ἀττικῇ.

7. Κατὰ δὲ τὸν αὐτὸν χρόνον Σιμωνίδης, Ἀθηναίων στρατηγὸς, Ἠιόνα τὴν ἐπὶ Θρᾴκης, Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας Ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων, καὶ τῶν ἐκείνῃ ξυμμάχων πλῆθος, προδιδομένην κατέλαβε. Καὶ παραχρῆμα ἐπιβοηθησάντων Χαλκιδέων καὶ Βοττιαίων, ἐξεκρούσθη τε, καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν.

8. Ἀναχωρησάντων δὲ τῶν ἐκ τῆς Ἀττικῆς Πελοποννησίων, οἱ Σπαρτιᾶται, αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα τῶν περιοίκων, εὐθὺς ἐβοήθουν ἐπὶ τὴν Πύλον· τῶν δὲ ἄλλων Λακεδαιμονίων βραδυτέρα ἐγίγνετο ἡ ἔφοδος, ἄρτι ἀφιγμένων ἀφ᾽ ἑτέρας στρατείας. Περιήγγελλον δὲ καὶ κατὰ τὴν Πελοπόννησον, βοηθεῖν ὅτι τάχιστα ἐπὶ Πύλον. Καὶ ἐπὶ τὰς ἐν τῇ Κερκύρᾳ

decim dies ex Attica redeunt. 7. Eïum, a Simonide Atheniensi proditione captum, statim a Chalcidensibus et Bottiaeis receptum. 8. Spartani ad Pylum recuperan-

λοῖς ad milites refert. Nam σπανίζειν dativo iungitur.

μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν. Frigus incidit gravius, quam pro illa anni tempestate, i. e. vere. Schol. tamen legit περί, quod ne ipsum quidem sensu cassum est. Sed praestat vulgata lectio.

7. Μενδαίων ἀποικίαν, πολεμίαν δέ. Deest μὲν post Μενδαίων, ut saepe. Vid. ad 1, 12. De urbe Menda cf. infra c. 123.

8. οἱ ἐγγύτατα τῶν περιοίκων. Proprie περίοικοι vocantur omnes Laconicae extra Spartam incolae, qui iidem sunt Lacedaemonii sensu strictiore, cf. infra c. 53. Nam Spartani Σπαρτιᾶται proprie dicuntur, sed plerumque communi Lacedaemoniorum nomine comprehenduntur.

ἀφ᾽ ἑτέρας στρατείας. Sic cum Porto rescripsi pro στρατιᾶς. Saepissime haec vocabula inter se permutantur. Cf. 1, 10. 14. ubi codices plurimi habent στρατιᾶς, contra sensum. Post περιήγγελλον δὲ ex pluribus codicibus inserui καί, quod et per se aptissimum huic loco, et nostro Scriptori usitatissimum est, ubicunque ulla huiusmodi relatio locum habet.

ναῦς σφῶν τὰς ἑξήκοντα ἔπεμψαν· αἵ, ὑπερενεχθεῖσαι τὸν Λευκαδίων ἰσθμὸν, καὶ λαθοῦσαι τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς, ἀφικνοῦνται ἐπὶ Πύλον. Παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς στρατός. Δημοσθένης δὲ, προσπλεόντων ἔτι τῶν Πελοποννησίων, ὑπεκπέμπει φθάσας δύο ναῦς, ἀγγεῖλαι Εὐρυμέδοντι καὶ τοῖς ἐν ταῖς ναυσὶν ἐν Ζακύνθῳ Ἀθηναίοις, παρεῖναι, ὡς τοῦ χωρίου κινδυνεύοντος. Καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον, κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους· οἱ δὲ Λακεδαιμόνιοι παρεσκευάζοντο ὡς τῷ τειχίσματι προσβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν, ἐλπίζοντες ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον, καὶ ἀνθρώπων ὀλίγων ἐνόντων. Προσδεχόμενοι δὲ καὶ τὴν ἀπὸ τῆς Ζακύνθου τῶν Ἀττικῶν νεῶν βοήθειαν, ἐν νῷ εἶχον, ἢν ἄρα μὴ πρότερον ἕλωσι, καὶ τοὺς ἔσπλους τοῦ λιμένος ἐμφράξαι, ὅπως μὴ ᾖ τοῖς Ἀθηναίοις ἐφορμίσασθαι ἐς αὐτόν. Ἡ γὰρ νῆσος ἡ Σφακτηρία καλουμένη, τόν τε λιμένα, παρατείνουσα καὶ ἐγγὺς ἐπικειμένη, ἐχυρὸν ποιεῖ, καὶ τοὺς ἔσπλους στενοὺς, τῇ μὲν, δυοῖν νεοῖν διάπλουν, κατὰ τὸ τείχισμα τῶν Ἀθηναίων, καὶ τὴν Πύλον· τῇ δὲ, πρὸς τὴν ἄλλην ἤπειρον, ὀκτὼ ἢ ἐννέα. Ὑλώδης τε καὶ ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν, καὶ μέγεθος περὶ πεντεκαίδεκα σταδίους μάλιστα. Τοὺς μὲν οὖν ἔσπλους ταῖς ναυσὶν

dam concurrunt, utrumque portus aditum navibus occludunt, et littora continentis, ſicut Sphacteriam inſulam,

ὑπερενεχθεῖσαι τὸν Λευκαδ. ἰσθμόν. Vid. ſupra ad 3, 81.
τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς. Eaedem ſunt naves, quibuscum Demoſthenes Pylum venerat, et quibus praeerant Eurymedon et Sophocles, nondum ulterius provecti. Cf. c. 5. et 13.
τόν τε λιμένα, παρατείνουσα. Comma, quod poſt παρατείνουσα erat, migrare iuſſi poſt λιμένα, ut illud participium, quod cum accuſativo hoc ſenſu coniungi nequit, abſolute accipiatur, intellecto ἑαυτήν.

δυοῖν νεοῖν διάπλουν. Cum Benedicto ad optimorum codicum fidem ſcripſimus δυοῖν pro δυεῖν. Vid. dicta ad 1, 20.

περὶ πεντεκαίδεκα σταδίους μάλιστα. Μάλιστα h. l. eſt admodum, ad ſummum, non circiter, quae vis ineſt τῷ περί.

ἀντιπρώροις βύζην κλήσειν ἔμελλον· τὴν δὲ νῆσον ταύτην φοβούμενοι, μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται, ὁπλίτας διεβίβασαν ἐς αὐτὴν, καὶ παρὰ τὴν ἤπειρον ἄλλους ἔταξαν. Οὕτω γὰρ τοῖς Ἀθηναίοις τήν τε νῆσον πολεμίαν ἔσεσθαι, τήν τε ἤπειρον, ἀπόβασιν οὐκ ἔχουσαν. Τὰ γὰρ αὐτῆς τῆς Πύλου, ἔξω τοῦ ἔσπλου, πρὸς τὸ πέλαγος ἀλίμενα ὄντα, οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς αὑτῶν· σφεῖς δὲ, ἄνευ τε ναυμαχίας καὶ κινδύνου, ἐκπολιορκήσειν τὸ χωρίον, κατὰ τὸ εἰκὸς, σίτου τε οὐκ ἐνόντος, καὶ δι' ὀλίγης παρασκευῆς κατειλημμένου. Ὡς δ' ἐδόκει αὐτοῖς ταῦτα, καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας, ἀποκληρώσαντες ἀπὸ πάντων τῶν λόχων. Καὶ διέβησαν μὲν καὶ ἄλλοι πρότερον κατὰ διαδοχήν· οἱ δὲ τελευταῖοι καὶ ἐγκαταληφθέντες εἴκοσι καὶ τετρα-

propugnatoribus firmant, ne ab ulla parte Atheniensium

ἀντιπρώροις βύζην κλείσειν ἔμελλον. Vulgo ἀντιπρώροις. Multo melius ad naves, quam ad ἔσπλους hoc adiectivum refertur; et sic legitur in novem codd., neque aliter Valla vertit. Itaque vulgatum non amplius tenendum est. — βύζην, ἀθρόως. Pro κλήσειν, quae ionica forma est, ex quatuor Pariss. dedit Benedictus κλείσειν, ut Koenius ad Gregor. p. 42. iam coniecerat. Thucydidis Mss. plerumque fluctuant inter ει et η in hoc verbo, neque prorsus abstinet scriptor noster ionicis formis, ut cap. 31. ὧδε γὰρ διετετάχατο. Cf. 5, 6 extr. ἐτετάχατο. Itaque reliqui κλήσειν, ut c. 35. ξυγκλήσαντες, et c. 34. ἀποκεκλημένοι, optimis codd. praeeuntibus, qui etiam audiendi 4, 85. 6, 64. 7, 52. 56. 60.

παρὰ τὴν ἤπειρον ἄλλους ἔταξαν. Vulgatum περὶ h. l. non quadrat, quia non de insula sermo est. Quare codicum plerorumque consensu scribendum est παρά, quod cum illo sexcenties mutatum est in codicibus.

δι' ὀλίγης παρασκευῆς κατειλημμένου. Hoc ad σῖτον referri cum Bauero, non licet per ordinem verborum σίτου τε οὐκ ἐνόντος, quorum loco dicendum fuisset σίτου οὔτε ἐνόντος vel οὔτε ἐνόντος σίτου, καὶ —. Solet quidem Thucydides variare structuram; quare suspiceris h. l. scribendum esse κατειλημμένον. Sed vulgata contra omnes libros non est tentanda, cum et absoluti casus κατειλημμένου (subaudi τοῦ χωρίου) locum habeant. „Cum ab exiguo apparatu oppidum occupatum esset."

καὶ ἐγκαταληφθέντες. Hoc recepi ex codd. Cass. Aug. pro ἐγκαταλειφθέντες, quia postremi illi non solum relicti in insula erant, ut alii prius, sed etiam capti. Consentit Poppo.

κόσιοι ἦσαν, καὶ Εἵλωτες οἱ περὶ αὐτούς. Ἦρχε δὲ αὐτῶν Ἐπιτάδας ὁ Μολόβρου.

9. Δημοσθένης δέ, ὁρῶν τοὺς Λακεδαιμονίους μέλλοντας προςβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ, παρεσκευάζετο καὶ αὐτὸς, καὶ τὰς τριήρεις, αἵπερ ἦσαν αὐτῷ ἀπὸ τῶν καταλειφθεισῶν, ἀνασπάσας ὑπὸ τὸ τείχισμα, προςεσταύρωσε, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὥπλισεν ἀσπίσι τε φαύλαις, καὶ οἰσυΐναις ταῖς πολλαῖς. Οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι. Ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. Τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προειπὼν ἀμύνασθαι τὸν πεζὸν, ἢν προςβάλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας, καὶ τοξότας ὀλίγους, ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ᾗ μάλιστα ἐκείνους προςεδέχετο πειράσειν ἀποβαίνειν, ἐς χωρία μὲν χαλεπὰ καὶ πε-

naves poſſint appellere. 9. Quae Demoſthenes contra

9. *ἀπὸ τῶν καταλειφθεισῶν*, ex quinque navibus, ipſi relictis (cap. 5.), duas miſerat Zacynthum (cap. 8.), ergo tres tantum ſecum habebat. — *προςεσταύρωσε*, vallis ſive in terra, ſeu, ut vult Duckerus, in mari defixis circumdedit, quae munitionis ratio *σταύρωσις* dicitur. Vid. 7, 25. 38. Comma, quod erat poſt *ἀνασπάσας*, cum Duckero poſui poſt *τείχισμα*.

ἐκ λῃστρικῆς. Scholiaſta hunc locum perverſe cepit. Non ademptum erat piraticum illud navigium Meſſeniis, neque captum ab Athenienſibus; ſed forte Pylum appulerant Meſſenii, et ipſi Demoſthenis ſocii. Docent hoc verba ſequentia: *οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων*. Cf. c. 32. Recte vero etiam h. l. cogites de Meſſeniis Naupactum colentibus, de quibus ſermo 3, 94. et infra 4, 41. Erant quidem praeter illos, qui liberum ex Ithome discesſum pepigerant (1, 103.) et alii Meſſenii relicti in Peloponneſo, ſed Helotum conditione uſi (1, 101.), qui licet haud dubie non ſegnius quam Naupactii illi patriam liberam recuperare, vel certe inimiciſſimis Lacedaemoniis nocere niterentur; tamen non poterant prius ad Athenienſes Pylum tranſire, quam poſt Lacedaemoniorum diſceſſum cap. 39. coll. 41. *τῶν Εἱλώτων* (i. e. *Μεσσηνίων*) *αὐτομολούντων*.

ἀποβαίνειν, ἐς χωρία

τρώδη πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος, ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι. Οὔτε γὰρ αὐτοὶ ἐλπίζοντες ποτὲ ναυσὶ κρατήσεσθαι, οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν, ἁλώσιμον τὸ χωρίον γίγνεσθαι. Κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας ἔταξε τοὺς ὁπλίτας, ὡς εἴρξων, ἢν δύνηται· καὶ παρεκελεύσατο τοιάδε.

10. „ΑΝΔΡΕΣ οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὼς

molitus ſit. 10. Demoſthenis oratio ad milites.

Punctum poſt ἀποβαίνειν mutavi in comma, ut iam ſuaſerat Kiſtem. Pendent enim, cum verbum ipſis deſit, a praecedenti verbo ἐχώρει. — προθυμήσεσθαι pendet ab ἐπισπάσασθαι, intellecto ὥστε, pro ἐς προσθυμίαν, nempe ut ibi aggredi conarentur. — Quod in codd. nonnullis pro κρατήσεσθαι legitur κρατηθήσεσθαι, pro interpretamento habendum eſt. Ceterum verba οὐκ ἰσχυρὸν ἐτείχιζον, quae totam periodum continent, de more Thucydidis interiecta ſunt duobus membris, quibus infirmioris illius munitionis rationes exponuntur. Participium quidem ἐλπίζοντες ad utrumque pertinet infinitivum κραιήσεσθαι et γίγνεσθαι; ipſa autem membra inter ſe diſtinguuntur particulis οὔτε — τέ. „Non enim firmius (illam muri partem) muniverant, exiſtimantes, neque ſe umquam navibus devictum iri, et ab illis, ſi per vim in terram eſcenderent, hoc caſtellum facili negotio capi poſſe."

πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας ἔταξε τ. ὁ. Vulgatum χωρίσας qui defendunt, referunt ad verba paullo ſuperius lecta: ἀπολεξάμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας, ut ſit: ſecernens a ceteris, qui in ipſa munitione erant. At huic interpretationi neque locus, quem hic occupat participium χωρίσας, favet, cum verba πρὸς αὐτὴν τὴν θάλασσαν ad ἔταξε referenda eſſent, neque haec ipſa ſtructura τάσσειν πρὸς θάλασσαν, pro παρά, ut ſupra cap. 8. παρὰ τὴν ἤπειρον ἄλλους ἔταξαν. cf. cap. 11 init. Praeterea Demoſthenes milites non mittit ad mare, ſed ipſe eo ducit (αὐτὸς δὲ — ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν). Denique οὖν, quod hanc periodum cum ſuperioribus, poſt interiecta verba οὔτε γὰρ αὐτοὶ — γίγνεσθαι, nectit, ad rem ultimo loco ibi memoratam reſpiciat neceſſe eſt, niſi forte quis putet, Thucydidem praepoſtere et neglecto rerum ordine ſcribere. Praeſtat igitur altera lectio χωρήσας, quam exhibent optimi codices Cl. Caſſ. Aug. Moſq. Scholion χωρίσας] τοὺς ὁπλίτας δηλονότι me non movet. Nam in levioribus iſtis etiam Scholiaſtarum temporibus multi loci depravati erant, certe varie ſcripti; quare Scholiaſtae nonnumquam varias lectiones memorant, e. c. 1, 95.

ἡμᾶς δεινὸν, μᾶλλον δὲ ἀπερισκέπτως εὔελπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ τούτων ἂν περιγενόμενος. Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται, ὥςπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προςδεῖται. Ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι, καὶ μὴ, τῷ πλήθει αὐτῶν καταπλαγέντες, τὰ ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι. Τοῦ τε γὰρ χωρίου τὸ δυςέμβατον ἡμέτερον νομίζω, (μενόντων ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ, καίπερ χαλεπὸν ὂν, εὔπορον ἔσται, μηδενὸς κωλύοντος· καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ ῥαδίας αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἢν καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι· ἀποβάντες δὲ, ἐν τῷ ἴσῳ ἤδη·) τό τε πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ' ὀλίγον γὰρ μαχεῖται, καίπερ πολὺ ὂν, ἀπορίᾳ τῆς προςορμίσεως. Καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια δεῖ ἐν τῇ

10. *μᾶλλον δὲ ἀπερισκέπτως* — Vulgo *μᾶλλον ἢ ἀπερ.* Sed codices plurimi ignorant *ἤ*, alii fimpliciter *μᾶλλον*, alii *μᾶλλον δέ* exhibentes, quod cum aliis recepi. *Μᾶλλον* h. l. eſt potius. — *Καὶ ἐκ τούτων ἂν περιγενόμενος.* Participium, quod h. l. eſt pro infinitivo, pendet ab *εὔελπις*: cum bona ſpe, vel ex his malis ſe emerſurum.

ὃ μενόντων ἡμῶν ξύμμαχον γίγνεται —. Relativum *ὅ*, cum ab omnibus fere codicibus et edd. abſit, ab interprete profectum merito videtur, eoque magis ſuſpectum, quo difficilior eo ſublato ſtructura verborum exiſtit; quamquam etiam apud Dionyſ. Halic. II. p. 135. legitur, qui etiam *μέν* habet ante *ἡμῶν*. Equidem Popponis rationem in totius loci interpunctione ſecutus, parentheſeos ſignis haec ita ſeclufi, ut ad verba *τοῦ τε χωρίου* referri poſſit *τό τε πλῆθος*, quo ea ſpectare manifeſtum eſt. *δεινότερον*, infeſtiorem, propter ſalutis periculum, ſi in difficili loco ab Athenienſibus urgeatur. — Pro *ῥαδίας* codices Gr. Cl. Caſſ. Aug. praebent *ῥαδίως*, quod in plerisque illorum manu recenti correctum eſt in *ῥαδίας*, et a Poppone defenditur. Cf. dicta ad 3, 82.

καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου μείζων. „Neque exercitus eſt eiusmodi, qui in terra, cum eadem nobis conditione utatur, numero ſuperet, ſed a navibus dimicans, quibus multa periculoſa in mari accidant neceſſe eſt." *Τὰ καίρια* intelligo letalia, periculoſa, ut recte vertit Valla. Ceteri cum Scholiaſta interpretantur *opportuna*, quod minime ſequentibus verbis: *τὰς τούτων ἀπορίας*, et

θαλάσσῃ ξυμβῆναι. "Ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει. Καὶ ἅμα ἀξιῶ ὑμᾶς, Ἀθηναίους ὄντας, καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν (ὅτι, εἴ τις ὑπομένοι, καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο,) καὶ αὐτοὺς νῦν μεῖναί τε, καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν, σώζειν ἡμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον."

11. Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου, οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον, καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. Οἱ δὲ Λακεδαιμόνιοι, ἄραντες, τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τειχίσματι, καὶ ταῖς ναυσὶν ἅμα, οὔσαις τεσσαράκοντα καὶ τρισί. Ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους, Σπαρτιάτης. Προσέβαλλε δὲ, ᾗπερ ὁ Δημοσθένης προσεδέχετο. Καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο. Οἱ δὲ, κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι προσχεῖν, καὶ ἀναπαύοντες, ἐν τῷ μέρει τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ, εἴ πως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα. Πάντων δὲ φανερώτατος [ὁ] Βρασίδας ἐγένετο. Τρι-

11. Lacedaemonii terra marique aggredi munitiones

totius orationis ſententiae congruit. — Ante *στρατός* ne articulus deſideretur, quem in interpretatione non neglexit Scholiaſta, cogitandum, omnino eiusmodi exercitum deſcribi, qualis fuerit tum Lacedaemoniorum. Sed vide ad 1, 107.

ἀντιπάλους — πλήθει. Vox media eſt *τὸ πλῆθος*, quae etiam de paucitate dici poteſt. — *ἀντίπαλος, ἀντάξιος.* Mox *ῥόθιον* eſt *ὁ ἦχος τῆς εἰρεσίας*, *νεῶν* autem pendet a *κατάπλου*, et per hoc a *δεινότητος*. *Βιάζοιτο* h. l. paſſive accipiendum eſt.

τὴν ῥαχίαν. Schol. *ῥαχία ἐστὶ πετρώδης τόπος, περὶ ὃν περιῤῥήγνυται ἡ θάλασσα.* Cf. c. 9. ubi haec loca dicebat eſſe *χωρία χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα.*

11. *ἔκ τε γῆς*, i. e. ab ea parte, qua hoſtium impetus e terra fiebat. Similiter accipiendum eſt *καὶ ἐκ θαλάσσης*, ubi item a terra, non e navibus, Demoſthenes arcebat Peloponneſiorum naves. — *προσέβαλλε*, Thraſymelidas.

φανερώτατος [ὁ] Βρασίδας. Articulus *ὁ* deeſt in Cl. Gr. Reg. Caſſ. Aug. Ar. C. et neceſ-

ηραρχῶν γάρ, καὶ ὁρῶν, τοῦ χωρίου χαλεποῦ ὄντος, τοὺς τριηράρχους καὶ κυβερνήτας, εἴ που καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας, καὶ φυλασσομένους τῶν νεῶν, μὴ ξυντρίψωσιν, ἐβόα, λέγων, ὡς οὐκ εἰκὸς εἴη, ξύλων φειδομένους, τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιϊδεῖν τεῖχος πεποιημένους· ἀλλὰ τάς τε σφετέρας ναῦς, βιαζομένους τὴν ἀπόβασιν, καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι· ὀκείλαντας δέ, καὶ παντὶ τρόπῳ ἀποβάντας, τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι.

12. Καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχε, καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν, ἐχώρει ἐπὶ τὴν ἀποβάθραν. Καὶ πειρώμενος ἀποβαίνειν, ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων· καὶ τραυματισθεὶς πολλά, ἐλειποψύχησέ τε, καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν, ἡ ἀσπὶς περιεῤῥύη ἐς τὴν θάλασσαν. Καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν, οἱ

Athenienſium parant, ſed navibus caventes. Braſidae ſtudium — 12. et fortis animi exemplum. Vulne-

ſarius non eſt, cum hic primum in huius rei expoſitione hoc nomen legatur. In ſcholiis quidem legitur articulus; ſed inde in Thucydidis orationem potuit inferri. Quare eum uncis incluſi. — Mox γάρ poſt τριηραρχῶν damnat Poppo, quia eius loco in Reg. eſt δέ, Pariſ. D. utrumque omittit. Conſtare autem, particulas δέ et γάρ ſaepenumero ab interpretibus additas eſſe. Conſentire etiam Vallam et Schol. Ergo mutata diſtinctione poſt ἐγένετο, totum locum ita eſſe ſcribendum: Πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο, τριηραρχῶν. Καὶ ὁρῶν, τοῦ χωρίου χαλεποῦ ὄντος —. Apud nos iſta argumenta non tantum valent, ut a lectione plerorumque omnium librorum, quae ſatis bona eſt, recedamus. Saepe enim unus et alter codex voculam omittit, vel cum alia permutat. Paullo poſt pro εἴ που codd. Cl. et Caſſ. habent εἴ πῃ, non male. — φυλασσομένους τῶν νεῶν, Schol. addit περί, quod fortaſſe ſubaudiendum eſt; quamquam genitivus per ſe ſufficit, ut ſit pro φυλακὴν ποιουμένους τῶν νεῶν.

12. ἐπὶ τὴν ἀποβάθραν. Ἀποβάθρα eſt ſcala navis, qua deſcenditur. Παρεξειρεσία Schol. ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος οὐκέτι κώπαις κέχρηνται. Ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύμνης καὶ τῆς πρώρας.

Ἀθηναῖοι ἀνελόμενοι, ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο, ὃ ἔστησαν τῆς προςβολῆς ταύτης. οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν, ἀδύνατοι δ' ἦσαν ἀποβῆναι, τῶν τε χωρίων χαλεπότητι, καὶ τῶν Ἀθηναίων μενόντων, καὶ οὐδὲν ὑποχωρούντων. Ἐς τοῦτό τε περιέστη ἡ τύχη, ὥςτε Ἀθηναίους μὲν ἐκ γῆς τε, καὶ ταύτης Λακωνικῆς, ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ, ἐκ νεῶν τε καὶ εἰς τὴν ἑαυτῶν, πολεμίαν οὖσαν, ἐπ' Ἀθηναίους ἀποβαίνειν. Ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε, τοῖς μὲν, ἠπειρώταις μάλιστα εἶναι, καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ, θαλασσίοις τε, καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

13. Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τὶ προςβολὰς ποιησάμενοι, ἐπέπαυντο. καὶ τῇ τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινας ἐς Ἀσίνην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν, ἀποβάσεως δὲ μάλιστα οὔσης, ἑλεῖν μηχαναῖς. Ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται τεσσαράκοντα. Προςεβοή-

ratur et clypeum amittit. Pugnatur utrimque atrociſſime. 13. Dum ad obſidionem ſe parant, advenit claſſis Athenienſium, cui non audet obviam ire Peloponneſiorum

ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης. Subiectum eſt εἶναι.

13. ἐς Ἀσίνην, oppidum Meſſeniae.

ἑλεῖν μηχαναῖς. Infinitivos aoriſti et praeſentis ſine particula ἂν locum habere poſt verba νομίζειν, ἐλπίζειν, ubi futuri infinitivo opus eſſe videatur, paſſim monuimus. Vid. ad 1, 96. 127. Ἐλπίζειν ambiguitatem quandam ſignificationis habere, ut ſit tam putare, quam ſperare, notiſſimum eſt.

παραγίγνονται τεσσαράκοντα. Bredovius defendit πεντήκοντα, quod legitur in cod. Cl. Cum enim 40 naves Athenis profectae eſſent (c. 2.), atque earum quinque, quas Demoſtheni relictae erant (c. 5.), duae remiſſae (c. 8.): navium numerum apud Zacynthum 37 fuiſſe. His acceſſiſſe quatuor Chiorum, nonnullasque ex Naupacto; ergo ſummam omnium navium excedere numerum quadraginta. Quae argumentatio licet luculenta et manifeſta videatur, tamen vulgata defendi poteſt. Nam quod cap. 2. αἱ τεσσαράκοντα νῆες commemorantur, inde non ſequitur, hunc numerum re vera fuiſſe navium earum, quae una cum Eurymedonte et Sophocle profectae ſunt; ſed reſpicit is locus ad alium 3, 115. ubi conſilium Athenienſium, quadraginta naves in

θησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου, καὶ Χῖαι τέσσαρες. Ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων, τήν τε νῆσον, ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς, καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες, ὅπῃ καθορμίσωνται, τότε μὲν ἐς Πρώτην τὴν νῆσον, ἣ οὐ πολὺ ἀπέχει, ἔρημος οὖσα, ἔπλευσαν, καὶ ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίαν, ἀνήγοντο, ἢν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν· εἰ δὲ μή, ὡς αὐτοὶ ἐπεσπλευσούμενοι. Καὶ οἱ μὲν οὔτε ἀντανήγοντο, οὔτε, ἃ διενοήθησαν, φράξαι τοὺς ἔσπλους, ἔτυχον ποιήσαντες· ἡσυχάζοντες δ' ἐν τῇ γῇ, τάς τε ναῦς ἐπλήρουν, καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι, ὄντι οὐ σμικρῷ, ναυμαχήσοντες.

14. Οἱ δ' Ἀθηναῖοι, γνόντες, καθ' ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ' αὐτούς. Καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους, προσπεσόντες, ἐς φυγὴν κατέστησαν, καὶ ἐπιδιώκοντες, ὡς διὰ βραχέος, ἔτρωσαν μὲν πολλάς, πέντε δὲ ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσι· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον· αἱ δὲ καὶ πληρού-

classis. 14. Sed Athenienses eam ab utroque aditu portus adoriuntur, totamque vel delent, vel capiunt; ab utrisque acerrime pugnatur, nec moribus et studio utro-

Siciliam mittendi demonstratum erat. Ibidem autem diserte narratur Pythodorus cum paucis navibus ex earum numero, quae in Siciliam mittendae erant, praemissus. Quare verisimile est, Eurymedontem *non integrum quadraginta* navium numerum, cum Athenis proficisceretur, habuisse, etsi is postea, Chiis Atticisque ex Naupacto navibus auctus, ad quadraginta septem habuerit, quae cum illis tribus apud Demosthenem relictis et viginti Athenis advectis (c. 23.), numerum septuaginta ibi memoratum complent. Quod si conceditur, tota Bredovii ratiocinatio corruit. Neque enim tam severe accurateque inire numerum solent scriptores in classibus vel commemorandis vel designandis; neque obstat 4, 23. ubi non simpliciter classis designatur, sed navium numerus accurate perhibetur, adiectis illis, quae postea accesserant. Cf. cap. 23. Quarum ex Bredovii ratione 73 efficerentur.

μεναι ἔτι, πρὶν ἀνάγεσθαι, ἐκόπτοντο· καί τινας καὶ ἀναδούμενοι, κενὰς εἷλκον, τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. Ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι, καὶ περιαλγοῦντες τῷ πάθει, ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν· καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον, ἐπιλαμβανόμενοι τῶν νεῶν. Καὶ ἐν τούτῳ κεκωλύσθαι ἐδόκει ἕκαστος, ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. Ἐγένετό τε ὁ θόρυβος μέγας, καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς. Οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως, ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν· οἵ τε Ἀθηναῖοι, κρατοῦντες, καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν, ἀπὸ νεῶν ἐπεζομάχουν. Πολύν τε πόνον παρασχόντες ἀλλήλοις, καὶ τραυματίσαντες, διεκρίθησαν. Καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς, πλὴν τῶν τὸ πρῶτον ληφθεισῶν, διέσωσαν. Καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον, οἱ μὲν τροπαῖόν τε ἔστησαν, καὶ νεκροὺς ἀπέδοσαν, καὶ ναυαγίων ἐκράτησαν· καὶ τὴν νῆσον εὐθὺς περιέπλεον, καὶ ἐν φυλακῇ εἶχον, ὡς τῶν ἀνδρῶν ἀπειλημμένων· οἱ δ᾽ ἐν τῇ ἠπείρῳ Πελο-

rumque circa naves convenienter. Athenienſes victores tropaeum erigunt, inſulamque navibus circumdantes, eos, qui in ea erant, intercludunt. Peloponneſii in caſtris ad

14. *ἐπιλαμβανόμενοι.* Haec lectio plurimorum codicum iam a Kiſtemakero propter ſonum vulgatae minus gratum *ἀνθεῖλκον ἀντιλαμβανόμενοι*, (quae illius interpretatio eſt,) praeferebatur.

καὶ ἐν τούτῳ κεκωλύσθαι ἐδόκει ἕκαστος. Schol. interpretationis cauſa addit *τὰ πράγματα*, ut plene legitur 2, 8 extr. Sed quominus illa verba ſubaudiamus, vetat nominativus *ἕκαστος*, qui ad infinitivum referendus eſt. An fuit *κεκωλύσθαι ἐδόκει ἑκάστῳ*? Saepe in codicibus permutantur ῑ ſubſcriptum et ς̄ finale.

ἄλλο οὐδὲν ἢ ἐκ τῆς γῆς ἐναυμάχουν. Vid. ad 3, 85.

πλὴν τῶν τὸ πρῶτον ληφθεισῶν. Supra dixerat: *ἔτρωσαν μὲν πολλὰς, πέντε δὲ ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσι.* Has quinque intelligit hoc loco. Nam paullo inferius dicit: *καί τινας καὶ ἀναδούμενοι κενὰς εἷλκον.* Eas igitur receperant Lacedaemonii.

πονήσιοι, καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες, ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ.

15. Ἐς δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον, ἔδοξεν αὐτοῖς, ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ, τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον, βουλεύειν πρὸς τὸ χρῆμα ὁρῶντας, ὅ, τι ἂν δοκῇ. Καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι, καὶ κινδυνεύειν οὐκ ἐβούλοντο, ἢ ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς, ἢ ὑπὸ πλήθους βιασθέντας κρατηθῆναι, ἔδοξεν αὐτοῖς, πρὸς τοὺς στρατηγοὺς τῶν Ἀθηναίων, ἢν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως, καὶ τοὺς ἄνδρας ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι.

16. Δεξαμένων δὲ τῶν στρατηγῶν τὸν λόγον, ἐγίγνοντο σπονδαὶ τοιαίδε· Λακεδαιμονίους μὲν τὰς ναῦς, ἐν αἷς ἐναυμάχησαν, καὶ τὰς ἐν τῇ Λακωνικῇ πάσας, ὅσαι ἦσαν μακραὶ, παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι, μήτε

Pylum positis se continent. 15. Spartani magistratus summos in castra mittunt, qui, rebus inspectis, de tempore consilium capiant. Hi optimum factu esse rati, pacisci cum Atheniensibus, ut viros interclusos servent, neve periclitari sinant, inducias pangere constituunt cum Atheniensium ducibus. 16. Pactione igitur inter

15. ἔδοξεν αὐτοῖς. Vid. ad 1, 2 extr.

βουλεύειν πρὸς τὸ χρῆμα ὁρῶντας —. Codices plurimi exhibent παραχρῆμα ὁρῶντας, quod Benedictus recipiendum censet, etsi vulgatum apte explicari posse concedit. Non video, quomodo παραχρῆμα in πρὸς τὸ χρῆμα depravari potuerit: quod potius vice versa factum esse suspicor, cum παραχρῆμα librariis familiarius vocabulum videatur. Ὁρῶντας per se accipiendum est, *re inspecta*, ut c. 16. ὁρώντων τῶν Ἀθηναίων. Illud πρὸς τὸ χρῆμα ad βουλεύειν spectat, ut infra cap. 87. πρὸς ταῦτα βουλεύεσθε εὖ. cf. 1, 71 extr. quod alibi est βουλεύεσθαι ἐκ τῶν παρόντων, 5, 29.

ἢ ὑπὸ λιμοῦ — κρατηθῆναι. E codicibus bene multis recepimus ἢ ante ὑπὸ λιμοῦ, quod vulgo aberat, et eandem particulam sustulimus infra correximusque vulgatum βιασθέντας, ἢ κρατηθέντας, ut jam Kistemakerus suaserat, et codices recens collati cum ceteris plerisque confirmant. cf. Bredov.

κατὰ γῆν, μήτε κατὰ θάλασσαν· Ἀθηναίους δὲ τοῖς ἐν τῇ νήσῳ ἀνδράσι σῖτον ἐᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν, καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων, καὶ δύο κοτύλας οἴνου. καὶ κρέας· θεράποντι δὲ, τούτων ἡμίσεα· ταῦτα δὲ ὁρώντων τῶν Ἀθηναίων ἐςπέμπειν· καὶ πλοῖον μηδὲν ἐςπλεῖν λάθρα· φυλάσσειν δὲ καὶ τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον, ὅσα μὴ ἀποβαίνοντας· καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ Πελοποννησίων στρατῷ, μήτε κατὰ γῆν, μήτε κατὰ θάλασσαν· ὅ, τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. Ἐσπεῖσθαι δὲ αὐτὰς, μέχρι οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις. Ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους, καὶ πάλιν κομίσαι. Ἐλθόντων δὲ, τάς τε σπονδὰς λελύσθαι ταύτας, καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας, οἵαςπερ ἂν παραλάβωσιν. Αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο, καὶ αἱ νῆες παρεδόθησαν, οὖσαι περὶ ἑξήκοντα, καὶ οἱ πρέσβεις ἀπεστάλησαν· ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας, ἔλεξαν τοιάδε.

17. „ΕΠΕΜΨΑΝ ἡμᾶς Λακεδαιμόνιοι, ὦ Ἀθηναῖοι, περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας, ὅ, τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν τὸ αὐτὸ πείθωμεν, καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν, ὡς ἐκ τῶν παρόντων, κόσμον μάλιστα μέλλῃ οἴσειν. Τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν, οὗ μὲν βραχεῖς ἀρκῶσι, μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ, ἐν

utrumque exercitum facta, legati Athenas mittuntur Lacedaemoniorum, qui de ea re agerent. 17 — 20. Ho-

16. *μεμαγμένον*, ne conservari diutius posset. —

ὅ, τι δ' ἂν τούτων —. Ex depravatis codicibus Benedictus recepit *ὅτε δ' ἂν τούτων*, quod manifestum interpretamentum est.

οὖσαι περὶ ἑξήκοντα. Vid. cap. 8 init.

17. *μακροτέρους*. Hoc vocabulum recte dicit *παρέλκειν* Schol. — Mox *ἐπιχώριον ὂν* absolute accipiendum. Male Kistem. *ὂν* omittit cum codd. Ar. C. Dan., quorum perexigua fides.

ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν προὔργου λόγοις τὸ δέον πράσσειν. Λάβετε δὲ αὐτοὺς μὴ πολεμίως, μηδ' ὡς ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. Ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν, ὧν κρατεῖτε, προςλαβοῦσι δὲ τιμὴν καὶ δόξαν· καὶ μὴ παθεῖν, ὅπερ οἱ ἀήθως τὶ ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται, διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. Οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοί εἰσι καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις. ὃ τῇ τε ὑμετέρᾳ πόλει, δι' ἐμπειρίαν, καὶ ἡμῖν μάλιστ' ἂν ἐκ τοῦ εἰκότος προςείη.

18. „Γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν ξυμφορὰς ἀπιδόντες· οἵτινες, ἀξίωμα μέγιστον τῶν Ἑλλήνων ἔχοντες, ἥκομεν παρ' ὑμᾶς, πρότερον αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι, ἐφ' ἃ νῦν ἀφιγμένοι ὑμᾶς αἰτούμεθα. Καίτοι οὔτε δυνάμεως ἐνδείᾳ ἐπάθομεν αὐτὸ, οὔτε μείζονος προςγενομένης ὑβρίσαντες, ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφαλέντες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει. Ὥστε οὐκ εἰκὸς, ὑμᾶς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν προςγεγενημένων, καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἔσεσθαι. Σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον

rum oratio coram Athenienſibus habita. Declarant Lace-

18. *σωφρόνων δὲ ἀνδρῶν οἵτινες* —. Horum verborum ſtructura impeditior eſt, ex eo nimirum genere, quod explicavimus ad 1, 22., ubi verbum aliquod, vel etiam totum membrum, inter duas ſententias, ad quas communiter pertinet, inſeritur. Ita h. l. *οἵτινες ἔθεντο* et *τόν τε πόλεμον νομίσωσι*, iungenda illa quidem, periodi natura ſic poſtulante, disiunguntur verbis: *καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προςφέροιντο.* Nam male vulgo iungunt diverſos modos *ἔθεντο, προςφέροιντο ἂν* et *νομίσωσι*, quod non ferendum eſſe, recte indicat Poppo, qui, licet indicativus praeceſſerit, tamen *νομίσωσι* ad *οἵτινες* pertinere putat, cuiusmodi tranſitus etiam alibi fiat. „Moderatorum autem hominum quicunque ſecundas res in tuto ponunt, propterea quod ambiguas eas exiſtimant, iidem etiam adverſas ſapientius

ἀσφαλῶς ἔθεντο, καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο, τόν τε πόλεμον νομίσωσι, μὴ, καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν, τούτῳ ξυνεῖναι, ἀλλ' ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται. Καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες, διὰ τὸ μὴ, τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες, ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο. Ὃ νῦν ὑμῖν, ὦ Ἀθηναῖοι, καλῶς ἔχει πρὸς ἡμᾶς πρᾶξαι· καὶ μήποτε ὕστερον, ἢν ἄρα μὴ πειθόμενοι σφαλῆτε, (ἃ πολλὰ ἐνδέχεται,) νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι· ἐξὸν ἀκίνδυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως ἐς τὸ ἔπειτα καταλιπεῖν.

19. „Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦνται ἐς σπονδὰς καὶ διάλυσιν πολέμου, διδόντες μὲν εἰρήνην καὶ ξυμμαχίαν, καὶ ἄλλην φιλίαν πολλὴν καὶ οἰκειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τοὺς ἐκ τῆς νήσου ἄνδρας· καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις μὴ διακινδυνεύεσθαι, εἴ τε βίᾳ διαφύγοιεν, παρατυχούσης τινὸς σωτηρίας, εἴ τε καὶ ἐκπολιορκηθέντες, μᾶλλον ἂν χειρωθεῖεν. Νομίζομέν τε τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀνταμυνόμενός τις καὶ ἐπικρατήσας τὰ πλέω τοῦ πολέμου, κατ' ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων, μὴ ἀπὸ τοῦ ἴσου ξυμβῇ· ἀλλ' ἢν, παρὸν τὸ αὐτὸ δρᾶσαι, πρὸς τὸ ἐπιεικὲς, καὶ ἀρετῇ αὐτὸ νικήσας, παρὰ ἃ προσεδέχετο,

daemoniorum pacis desiderium, docentque hoc tempore

tulerint; et (qui) putant, non solum bello se adfuturos, quod capessere ipsi studeant, sed utcumque fors ipsos duxerit.“ Ante *μεταχειρίζειν*, quod pendet a *βούληται*, comma delevi. *Αὐτῶν* commode refertur ad subiectum *οἵτινες νομίσωσι.*

τῷ ὀρθουμένῳ αὐτοῦ, int. *πολέμου*, belli successibus prosperis minime confisi. — *καταλύοιντο*, Schol. *ἀναπαύοιντο*, pacem faciant.

καὶ μήποτε ὕστερον — νομισθῆναι. „Decetque vos curare, ne credamini *forte* nunc vicisse (non consilio).“

19. *παρὸν τὸ αὐτὸ δρᾶσαι, πρὸς τὸ ἐπιεικὲς —.* *Τὸ αὐτὸ δρᾶσαι* est *μὴ ἐκ τοῦ ἴσου ξυμβῆναι.* Post *δρᾶσαι* distinxi, ut verba *πρὸς τὸ ἐπιεικὲς*

μετρίως ξυναλλαγῇ. Ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς, ἀλλ' ἀνταποδοῦναι ἀρετὴν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν οἷς ξυνέθετο. Καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν οἱ ἄνθρωποι, ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα καὶ παρὰ γνώμην διακινδυνεύειν.

20. „Ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει ἀμφοτέροις ἡ ξυναλλαγὴ, πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀΐδιον ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν, ὑμᾶς δὲ στερηθῆναι, ὧν νῦν προκαλούμεθα. Ἔτι δ' ὄντων ἀκρίτων, καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προςγιγνομένης, ἡμῖν δὲ πρὸ αἰσχροῦ τινος, ξυμφορᾶς μετρίως κατατιθεμένης, διαλλαγῶμεν· καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν· οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται. Πολεμοῦνται μὲν γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων· καταλύσεως δὲ γενομένης, ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοί ἐστε, τὴν χάριν ὑμῖν προςθήσουσιν. Ἢν

Athenienſibus et utile et glorioſum apud omnes Graecos

iungi poſſint cum *μετρίως ξυναλλαγῇ*. Non enim placet Benedicti interpretatio, qui praepoſitionem *πρός* h. l. comparationem lenitatis cum ſaevitia involvere putat. Deinde comma etiam poſui poſt *νικήσας*, perſpicuitatis cauſa. *Προσεδέχετο* h. l. paſſive accipiendum eſſe, monuit Poppo. Denique *αὐτὸ νικήσας* ex optimis Mſſ. dedmus cum Benedicto, pro vulgato *αὐτὸς νικ.*, quod a correctore eſt, ſicut tertia quaedam lectio *αὐτόν*. *Αὐτό* refer ad illud *μὴ ἀπὸ τοῦ ἴσου ξυμβῆναι* vel ad *τὸ αὐτὸ δρᾶσαι*. Eſt igitur pro *ἐκεῖνο*, quod diſtinctius h. l. et magis finite dictum eſſet, quia intercedit *τὸ ἐπιεικές*.

20. *ὑμᾶς δὲ στερηθῆναι.* Recepi *ὑμᾶς* pro *ἡμᾶς*, ſententia et loci concinnitate ita poſtulante. Nam cum ſupra dixiſſet *ἡμῖν ἀμφοτέροις*, eo referendum eſt ab altera parte *ἡμᾶς καταλαβεῖν*, ab altera *ὑμᾶς δὲ στερηθῆναι*. Adſtipulantur codices plerique.

οἳ καὶ ἐν τούτῳ — int. *ἐν τοῖς κακοῖς ἐκ τοῦ πολέμου.* Poſt *πολεμοῦνται* inſeruimus *μέν* ex codd. multis et Schol., licet id non neceſſario poſtulet ſequens *δέ*. Vide ad 1, 12. — Infra *χαρισαμένοις* refer ad *ὑμῖν*.

τε γνῶτε, Λακεδαιμονίοις ἔξεστιν ὑμῖν φίλους γενέσθαι βεβαίως, αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε μᾶλλον ἢ βιασαμένοις. Καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε ὅσα εἰκὸς εἶναι. Ἡμῶν γὰρ καὶ ὑμῶν ταυτὰ λεγόντων, τόγε ἄλλο Ἑλληνικὸν, ἴστε, ὅτι, ὑποδεέστερον ὂν, τὰ μέγιστα τιμήσει."

21. Οἱ μὲν οὖν Λακεδαιμόνιοι τοσαῦτα εἶπον, νομίζοντες τοὺς Ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ σπονδῶν μὲν ἐπιθυμεῖν, σφῶν δὲ ἐναντιουμένων, κωλύεσθαι· διδομένης δὲ εἰρήνης, ἀσμένους δέξασθαί τε, καὶ τοὺς ἄνδρας ἀποδώσειν. Οἱ δὲ, τὰς μὲν σπονδὰς, ἔχοντες τοὺς ἄνδρας ἐν τῇ νήσῳ, ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι, ὁπόταν βούλωνται ποιεῖσθαι πρὸς αὐτοὺς, τοῦ δὲ πλέονος ὠρέγοντο. Μάλιστα δὲ αὐτοὺς ἐνῆγε Κλέων ὁ Κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν χρόνον ὢν, καὶ τῷ πλήθει πιθανώτατος· καὶ ἔπεισεν ἀποκρίνασθαι, ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ νήσῳ παραδόντας πρῶτον, κομισθῆναι Ἀθήναζε· ἐλθόντων δὲ, ἀποδόντας Λακεδαιμονίους Νίσαιαν, καὶ Πηγὰς, καὶ Τροιζῆνα, καὶ Ἀχαΐαν, (ἃ οὐ πολέμῳ ἔλαβον, ἀλλ' ἀπὸ τῆς προτέρας ξυμβάσεως, Ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφορὰς, καὶ

fore, ſi aequis conditionibus pacem conceſſerint. 21. Dura Athenienſium, inſtigante Cleone, poſtulatio, ut primum ii, qui in inſula eſſent, et arma et ſe ipſos tradant, Athenasque deportarentur; deinde Lacedaemonii, ſi Ni-

21. ἀσμένους δέξασθαί τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. Vulgata lectio eſt δέξεσθαί τε ἀσμένως, καὶ τοὺς ἀ. ἀπ., quam ex parte correxit iam Benedictus, verborum ordine codicum auctoritate ita conſtituto: ἀσμένως δέξεσθαί τε —. Cum autem codices optimi Caſſ. Aug., quibuscum facit Moſq., pro futuro δέξεσθαι praebeant δέξασθαι, et cum Aug. et ii ſq. exhibeat Gr. ἀσμένους, has lectiones praetulimus, utpote difficiliores et noſtro ſcriptori familiares. Nam is ſaepe aoriſti infinitivum pro futuri infinitivo ponit poſt verbum νομίζειν et huius generis alia. Vid. ad 1, 96 et alibi. Poppo p. 150. Bened. ad 4, 24. Etiam ἀσμένως correctionem ſapit. — Paullo ante verba ἐν τῷ πρὶν χρόνῳ refero ad ea, quae narrat Thucydides 2, 59 med.

ἀπὸ τῆς προτέρας ξυμβάσεως. Vid. 1, 115.

ἐν τῷ τότε δεομένων τὶ μᾶλλον σπονδῶν,) κομίσασθαι τοὺς ἄνδρας, καὶ σπονδὰς ποιήσασθαι, ὁπόσον ἂν δοκῇ χρόνον ἀμφοτέροις.

22. Οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν οὐδὲν ἀντεῖπον, ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι, οἵτινες, λέγοντες καὶ ἀκούοντες περὶ ἑκάστου, ξυμβήσονται κατὰ ἡσυχίαν, ὅ, τι ἂν πείθωσιν ἀλλήλους. Κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο, λέγων, γιγνώσκειν μὲν καὶ πρότερον οὐδὲν ἐν νῷ ἔχοντας δίκαιον αὐτούς, σαφὲς δ' εἶναι καὶ νῦν· οἵτινες τῷ μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξύνεδροι βούλονται γίγνεσθαι· ἀλλά, εἴ τι ὑγιὲς διανοοῦνται, λέγειν ἐκέλευσεν ἅπασιν. Ὁρῶντες δὲ οἱ Λακεδαιμόνιοι, οὔτε σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν, εἰπόντες, καὶ οὐ τυχόντες, οὔτε τοὺς Ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας ἃ προὐκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν Ἀθηνῶν ἄπρακτοι.

23. Ἀφικομένων δὲ αὐτῶν διελύοντο εὐθὺς αἱ σπονδαὶ αἱ περὶ Πύλον· καὶ τὰς ναῦς οἱ Λακεδαιμόνιοι ἀπῄτουν, καθάπερ ξυνέκειτο· οἱ δ' Ἀθηναῖοι, ἐγκλήματα ἔχοντες, ἐπιδρομήν τε τῷ τειχίσματι παρά-

ſaeam, Pegas, Troezenem et Achaiam iterum Athenienſibus permiſiſſent, eos domum reducerent. 22. Lacedaemonii non palam ad ea reſpondent, ſociorum cauſa, ſed ad colloquium provocant, quibuscum de re ſecreto ageretur. Adverſante Cleone, infecta re domum redeunt Lacedaemonii. 23. Athenienſes autem, ſponſione

22. *εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς* —. Vulgatum *εἴ τε* ferri non poteſt; nam *τέ* h. l. ſine ſenſu eſt, cum ſibi reſpondeant particulae *οὔτε* — *οὔτε*. Quare certiſſimam Popponis emendationem *εἴ τι* recepi. — Non omnia concedere volebant Lacedaemonii, quae Athenienſes poſtulaverant; ſed, neceſſitate urgente, de iis quae amplius concedenda eſſent, ſecreto agere, ne, ſi forte fruſtra agerent, (quod valde erat verendum, Cleone populum Athenienſem inſtigante,) in odium ſociorum incurrerent, aut iis certe ſuſpecti eſſent. —

ἐπὶ μετρίοις, aequis conditionibus. *ἃ προὐκαλοῦντο*, int. *αὐτοῖς*.

σπονδον, καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι, οὐκ ἀπεδίδοσαν· ἰσχυριζόμενοι, ὅτι δὴ εἴρητο ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. Οἱ δὲ Λακεδαιμόνιοι ἀντέλεγόν τε, καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν. ἀπελθόντες ἐς πόλεμον καθίσταντο. Καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο· Ἀθηναῖοι μὲν δυοῖν νεοῖν ἐναντίαιν ἀεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέρας, (τῆς δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος, ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακὴν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο·) Πελοποννήσιοι δὲ ἔν τε τῇ ἠπείρῳ στρατοπεδευόμενοι, καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες καιρὸν, εἴ τις παραπέσοι, ὥστε τοὺς ἄνδρας σῶσαι.

24. Ἐν τούτῳ δὲ οἱ ἐν τῇ Σικελίᾳ Συρακούσιοι, καὶ οἱ ξύμμαχοι, πρὸς ταῖς ἐν Μεσσήνῃ φρουρούσαις ναυσὶ, τὸ ἄλλο ναυτικὸν, ὃ παρεσκευάζοντο. προσκομίσαντες, τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς Μεσσήνης. Καὶ μάλιστα ἐνῆγον οἱ Λοκροὶ, τῶν Ῥηγίνων κατὰ ἔχθραν· καὶ αὐτοὶ δὲ ἐσεβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν. Καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς Ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς,

ſublata, naves reddere recuſant, quod per inducias munimenta aggreſſi eſſent Lacedaemonii. Praeterea illi inſulam navibus diligenter cuſtodiunt, bellumque reparant utrique. 24. Syracuſiorum copiae Meſſanam congre-

23. *Ἀθηναῖοι μὲν — περιπλέοντες.* De enallage caſuum iam monuit Scholiaſta. Cf. ad 2, 53. 3, 36. Uſus eſt nominativo participii Thucydides, quaſi praeceſſiſſet *ἀμφότεροι ἐπολέμουν* pro *ὑπ' ἀμφοτέρων ἐπολεμεῖτο.* Cum *περιώρμουν* non ad *Ἀθηναῖοι*, ſed ad *ἅπασαι* pertineat, parentheſeos ſignum, vulgo ante verba *καὶ ἐκ τῶν Ἀθηνῶν* collocatum, cum Poppone poſui ante *τῆς δὲ νυκτός.*

αἱ πᾶσαι ἑβδομήκοντα. Vid. ad cap. 13. — Poſt *ἐν* adieci e codd. optimis *τέ* cum Benedicto.

24. *καὶ αὐτοὶ δὲ ἐσεβεβλήκεσαν.* Vulgo contra te *ἐσβεβλήκεσαν.* — *Καὶ αὐτοὶ δὲ* et ipſi quoque. Vid. ad 8, 67 extr.

ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον πολιορκεῖσθαι. Εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ Ῥήγιον ἤλπιζον πεζῇ τε καὶ ναυσὶν ἐφορμοῦντες ῥᾳδίως χειρώσασθαι, καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι. Ξύνεγγυς γὰρ κειμένου τοῦ τε Ῥηγίου ἀκρωτηρίου τῆς Ἰταλίας, τῆς τε Μεσσήνης τῆς Σικελίας, τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν, καὶ τοῦ πορθμοῦ κρατεῖν. Ἔστι δὲ ὁ πορθμὸς, ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης, ᾗπερ βραχύτατον Σικελία τῆς ἠπείρου ἀπέχει· καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ᾗ Ὀδυσσεὺς λέγεται διαπλεῦσαι. Διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν, τοῦ τε Τυρσηνικοῦ καὶ τοῦ Σικελικοῦ, ἐσπίπτουσα ἡ θάλασσα ἐς αὐτὸ, καὶ ῥοώδης οὖσα, εἰκότως χαλεπὴ ἐνομίσθη.

25. Ἐν τούτῳ οὖν τῷ μεταξὺ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ναυσὶν ὀλίγῳ πλείοσιν ἢ τριάκοντα ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος, ἀντεπαναγόμενοι πρός τε Ἀθηναίων ναῦς ἑκκαίδεκα, καὶ Ῥηγίνας ὀκτώ. Καὶ νικηθέντες ὑπὸ τῶν Ἀθηναίων, διὰ τάχους ἀπέπλευσαν, ὡς ἕκαστοι ἔτυχον, ἐς τὰ οἰκεῖα στρατόπεδα, τό, τε ἐν τῇ Μεσσήνῃ καὶ ἐν τῷ Ῥηγίῳ, μίαν ναῦν ἀπολέσαντες· καὶ νὺξ

gatae una cum Locrensibus terra marique Rhegium invadere parant. 25. Pugna in freto Siculo commissa, qua

χειρώσασθαι. Ita codices plerique pro *χειρώσεσθαι.* Cf. Benedict. ad h. l. et quae paullo ante ad c. 21. notata sunt.

τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφ. Pro *οὐκ ἀνεῖναι* cum aliis recepi lectionem aptissimam codd. Reg. Gr. Cass. Aug. *οὐκ ἂν εἶναι.* Praeterea *τέ*, quod est post *Ἀθηναίοις*, deteriores codd. Ar. C. Dan. omittunt; sed vide ad 2, 89.

καὶ ἔστιν ἡ Χάρυβδις κληθ. τοῦτο. int. *τὸ μέρος τῆς θαλάσσης.* Eodem spectat mox *αὐτό.* Benedicti coniectura *τούτῳ*, et omnis eius ratio hunc locum interpretandi mihi non probatur.

25. *τό, τε ἐν τῇ Μεσσήνῃ — ἀπολέσαντες.* Pro *τότε* rescripsi *τό, τε*, commate, quod vulgo est post *τότε*, ante hoc vocabulum transposito, item alio commate post *Ῥηγίῳ* fixo. — Paullo post articulum *τῶν* ante *Ῥηγίνων* codicum auctoritate expunxi. cf. Benedict. — *Πελωρίς*, promontorium Siciliae versus septemtriones.

ἐπεγένετο τῷ ἔργῳ. Μετὰ δὲ τοῦτο οἱ μὲν Λοκροὶ ἀπῆλθον ἐκ τῆς Ῥηγίνων· ἐπὶ δὲ τὴν Πελωρίδα τῆς Μεσσήνης συλλεγεῖσαι αἱ τῶν Συρακουσίων καὶ ξυμμάχων νῆες ὥρμουν, καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. Προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι καὶ Ῥηγῖνοι, ὁρῶντες τὰς ναῦς κενὰς, ἐνέβαλον· καὶ χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν αὐτοὶ ἀπώλεσαν, τῶν ἀνδρῶν ἀποκολυμβησάντων. Καὶ μετὰ τοῦτο, τῶν Συρακουσίων ἐμβάντων ἐς τὰς ναῦς καὶ παραπλεόντων ἀπὸ κάλω ἐς τὴν Μεσσήνην, αὖθις προσβαλόντες οἱ Ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων καὶ προεμβαλόντων, ἑτέραν ναῦν ἀπολλύουσι. Καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακούσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα. Καὶ οἱ μὲν Ἀθηναῖοι, Καμαρίνης ἀγγελθείσης προδίδοσθαι Συρακουσίοις ὑπ' Ἀρχίου καὶ τῶν μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε. Μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ

vincunt Athenienſes; non item poſtea ad Meſſanam. Camarina proditione Syracuſiis tradita. Meſſenii contra Naxum tendunt, ſed profligantur a Naxiis, maxima clade

αὐτοὶ ἀπώλεσαν. Vulgo αὐτοῖς, quod interpretantur αὐτῶν, et ἀπώλεσαν eſſe volunt *corruperunt, depreſſerunt.* Mox vero ſequitur: αὖθις προςβαλόντες οἱ Ἀθηναῖοι, ἑτέραν ναῦν ἀπολλύουσι. Ubi ſive cum Porto vertas: „alteram navem amiſerunt," ſive cum Heilmanno intelligas *corrumpere, perdere,* eadem oritur difficultas in explicando verbo ἑτέραν, cum nondum de prima, vel alia quadam nave, quam Athenienſes amiſerint, ſermo fuerit; niſi cum Valla et codd. Reg. Cl. Gr. Pariſſ. D. E. F. ſupra pro αὐτοῖς legas αὐτοί, i. e. Ἀθηναῖοι, et ἀπώλεσαν ibi, ut ſupra ἀπολέσαντες et inferius ἀπολλύουσι eadem notione, ut ſit *amittere,* dictum putes. (cf. Poppo et Scholiaſta ad h. l.) Poſtulant hoc etiam verba ſequentia: καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακούσιοι. Ubi ſermo eſt de poſteriore pugna navali, in qua, cum Athenienſes duas naves amiſerint, Syracuſii certe non victi erant.

ἐμβάντων ἐς τὰς ναῦς. Undecim codices praebent ἐςβάντων, quod cum Bened. rectius h. l. puto, licet utrumque Thucydidem uſurpare Thomas Mag. affirmet. Cf. ad 3, 80. — ἀπὸ κάλω, remulco trahentes. — ἀποσιμοῦν τὰς ναῦς ſecundum Schol. eſt reflectere, vel in altum retrahere naves, ut maiore cum impetu, ex longo intervallo capto, invadere poſſis.

γῆν καὶ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ Νάξον τὴν Χαλκιδικὴν, ὅμορον οὖσαν· καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς Ναξίους, ἐδῄουν τὴν γῆν· τῇ δ' ὑστεραίᾳ, ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν Ἀκεσίνην ποταμὸν, τὴν γῆν ἐδῄουν, τῷ δὲ πεζῷ πρὸς τὴν πόλιν ἐσέβαλον. Ἐν τούτῳ δὲ οἱ Σικελοὶ ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς Μεσσηνίους. Καὶ οἱ Νάξιοι, ὡς εἶδον, θαρσήσαντες καὶ παρακελευόμενοι ἐν ἑαυτοῖς, ὡς οἱ Λεοντῖνοι σφίσι καὶ οἱ ἄλλοι Ἕλληνες ξύμμαχοι ἐς τιμωρίαν ἐπέρχονται, ἐκδραμόντες ἄφνω ἐκ τῆς πόλεως, προσπίπτουσι τοῖς Μεσσηνίοις, καὶ τρέψαντες, ἀπέκτεινάν τε ὑπὲρ χιλίους, καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν ἐπ' οἴκου. Καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁδοῖς ἐπιπεσόντες τοὺς πλείστους διέφθειραν. Καὶ αἱ νῆες, σχοῦσαι ἐς τὴν Μεσσήνην, ὕστερον ἐπ' οἴκου ἕκασται διεκρίθησαν. Λεοντῖνοι δὲ εὐθὺς καὶ οἱ ξύμμαχοι μετὰ Ἀθηναίων ἐς τὴν Μεσσήνην, ὡς κεκακωμένην, ἐστράτευον· καὶ προσβάλλοντες, οἱ μὲν Ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν ἐπείρων, ὁ δὲ πεζὸς, πρὸς τὴν πόλιν. Ἐπεκδρομὴν δὲ ποιησάμενοι οἱ Μεσσήνιοι, καὶ Λοκρῶν τινες μετὰ τοῦ Δημοτέλους, οἳ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροὶ, ἐξαπιναίως προσπεσόντες, τρέπουσι τοῦ στρατεύματος τῶν Λεοντίνων τὸ πολύ. καὶ ἀπέκτειναν πολλούς. Ἰδόντες δὲ οἱ Ἀθηναῖοι, καὶ ἀποβάντες ἀπὸ τῶν νεῶν, ἐβοήθουν, καὶ κατεδίωξαν τοὺς

affecti. Dein Leontini cum Athenienſibus Meſſanam aggrediuntur, et excurſione facta a Meſſeniis, vincunt poſtremo Athenienſes. Dehinc ſine Athenienſium auxilio

ἐπὶ Νάξον, poſtea Tauromenium dictam.

πρὸς τὴν πόλιν ἐσέβαλον. In Gr. Caſſ. Aug. legitur ἐσέβαλλον.

ταῖς ναυσὶν ἐπείρων. Ita e plurimis codicibus reſcribendum eſſe pro ἐπειρῶντο, docuit Gottleberus ad 1, 61., probante Benedicto ad h. l. Etiam Schol. hanc lectionem noverat, et activo utitur Thucydides praeter l. l. etiam infra 4, 70. et 7, 12.

μετὰ τὸ πάθος, quod in obſidione Naxiorum acceperant.

Μεσσηνίους πάλιν ἐς τὴν πόλιν, τεταραγμένοις ἐπιγενόμενοι. καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν ἐς τὸ Ῥήγιον. Μετὰ δὲ τοῦτο, οἱ μὲν ἐν τῇ Σικελίᾳ Ἕλληνες, ἄνευ τῶν Ἀθηναίων, κατὰ γῆν ἐστράτευον ἐπ' ἀλλήλους.

26. Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους οἱ Ἀθηναῖοι, καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. Ἐπίπονος δ' ἦν τοῖς Ἀθηναίοις ἡ φυλακὴ, σίτου τε ἀπορίᾳ καὶ ὕδατος. οὐ γὰρ ἦν κρήνη, ὅτι μὴ μία, ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου, καὶ αὕτη οὐ μεγάλη· ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ, ἔπινον οἷον εἰκὸς ὕδωρ. Στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο· καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον, αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. Ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε, παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ, καὶ ὕδατι ἁλμυρῷ χρωμένους. Αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι, προειπόντες ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεσμένον, καὶ οἶνον, καὶ τυρὸν, καὶ εἴ τι ἄλλο βρῶμα, οἷον ἂν ἐς πολιορκίαν ξυμφέροι· τάξαντες ἀργυρίου πολλοῦ, καὶ τῶν Εἱλώτων τῷ ἐς-

Siculae civitates inter ſe bellum gerunt. 26. Interim Athenienſes cuſtodias Sphacteriae inſulae continuant, ſine

26. *διαμώμενοι*. Schol. *διασκάπτοντες*, derivans vocabulum ab *ἄμη*. quod *σκαφίον πλατὺ* eſſe dicit, Etymologus contra *δρεπάνην*. Vid. Ducker. In glarea foveas fodiebant, atque ſic bibebant aquam, qualem facile quisque conieciet.

αἱ μὲν σῖτον — ὥρμουν. De nautis accipiendum, ut ſaepe, quod de navibus dicitur. *κατὰ μέρος*, per vices, *κατὰ διαδοχήν*. — *μετέωροι*, nempe *ἐπ' ἀγκυρῶν*. Mox ad *ἐπιγιγνόμενος* ſubaudiendum *ἐκείνοις*.

αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι. Cum Duckero Kiſtemakerus interpungit poſt *ἦν*, ut 5, 93. Sed ibi verbum finitum ſequitur, quod h. l. deeſt, niſi forte *προεῖπον* ſcribas. Abruptiori orationi po ius ſuccurram delendo *ἦν*, quod ſaepiſſime a librariis vel interpretibus addi ſolet. Vid. ſupra ad 2, 13. Tum locus ita fuerit interpungendus: *Αἴτιον δὲ οἱ Λακεδαιμόνιοι προειπόντες*. Facile enim intelligas *ἦσαν*. — *τάξαντες*, int. *ἐσάγειν*.

αγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. Καὶ ἐςῆγον ἄλλοι τε παρακινδυνεύοντες, καὶ μάλιστα οἱ Εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου ὁπόθεν τύχοιεν, καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου· μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρεσθαι. Ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν. Τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθεστήκει. Ἐπώκελλον γὰρ τὰ πλοῖα, τετιμημένα χρημάτων· καὶ οἱ ὁπλῖται περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον. ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν, ἡλίσκοντο. ἐςένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὕφυδροι, καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην, καὶ λίνου σπέρμα κεκομμένον· ὧν τὸ πρῶτον λανθανόντων, φυλακαὶ ὕστερον ἐγένοντο. Παντί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο, οἱ μέν, ἐςπέμπειν τὰ σιτία, οἱ δέ, μὴ λανθάνειν σφᾶς.

27. Ἐν δὲ ταῖς Ἀθήναις, πυνθανόμενοι περὶ τῆς στρατιᾶς, ὅτι ταλαιπωρεῖται, καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐςπλεῖ, ἠπόρουν, καὶ ἐδεδοίκεσαν, μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόννησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἐρήμῳ, καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες

ſucceſſu, quia Lacedaemoniis, ab Helotibus maxime, alimenta afferuntur. 27. Quare iam poenitebat Athenienſes, pacem denegaſſe, veritos, ne Lacedaemonii, op-

τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους. Ἀφειδὴς dicitur, qui rebus ſuis vel vitae non parcit. Hoc loco praecipue ad navigia referendum videtur, quae erant a Lacedaemoniis aeſtimata, τετιμημένα, ut ſtatim ſubiicitur. — οἱ ὁπλῖται, interclufi illi in inſula. κατάρσεις ſunt loca ad appellendum idonea.

μήκωνα μεμελιτωμένην. Papaver melle mixtum famem expellere dicit Schol., ſicut λίνου σπέρμα κεκομμένον i. e. ἀλησμένον ſitim eximere.

27. ἐν χωρίῳ ἐρήμῳ, Pylum intellige, qui locus erat hominum vacuus et deſertus, niſi quod Athenienſium praeſidium inerat. Omnia igitur ad victum neceſſaria Athenis ſubvehenda erant militibus ibi verſantibus. — περιπέμπειν, praepoſitionem περὶ ad Πελοπόννησον refer cogitatione.

ἱκανὰ περιπέμπειν· τόν τε ἔφορμον, χωρίων ἀλιμένων ὄντων, οὐκ ἐσόμενον· ἀλλ' ἢ, σφῶν ἀνέντων τὴν φυλακὴν, περιγενήσεσθαι τοὺς ἄνδρας, ἢ τοῖς πλοίοις, ἃ τὸν σῖτον αὐτοῖς ἦγε, χειμῶνα τηρήσαντας ἐκπλεύσεσθαι. Πάντων δὲ ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι· καὶ μετεμέλοντο, τὰς σπονδὰς οὐ δεξάμενοι. Κλέων δὲ, γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως, οὐ τἀληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας. Παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ᾑρέθη κατάσκοπος αὐτὸς μετὰ Θεαγένους ὑπὸ Ἀθηναίων. Καὶ γνοὺς, ὅτι ἀναγκασθήσεται ἢ ταυτὰ λέγειν οἷς διέβαλλεν, ἢ τἀναντία εἰπὼν, ψευδὴς φανήσεσθαι, παρῄνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν, μηδὲ διαμέλλειν καιρὸν παριέντας· εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ

portunitatem quandam nacti, ex inſula evaderent, ipſique omnibus adeo pacis oblatae commodis privarentur. Sed Cleon nuntios verum dicere negabat, et inter explorato-

πάντων δὲ ἐφοβοῦντο μάλιστα. Sic e codd. ſcripſi pro *πάντων τε*, quod languidum eſt, cum *μάλιστα* rem augeat.

ἔχοντάς τι ἰσχυρόν. Male haec verba vulgo accipiunt cum Schol., qui interpretatur *ἔχοντας πολλὴν δύναμιν.* Unde *δύναμιν* Lacedaemonii habeant? An ex inſula Sphacteria? At eam, ut paullo ante demonſtravit Thucydides, relictum iri a Spartanis, Athenienſes verebantur, neque ullo modo ſibi metuendam putare poterant. Quid ergo eſt? *Ἔχοντάς τι ἰσχυρὸν* intelligo, *qui habent iuſtam et veram conquerendi cauſam*, quod contra pactionem Athenienſes naves traditas eorum fidei non reddiderint, eoque foedus violarint. Vid. c. 23. *Οἱ Λακεδαιμόνιοι ἀντέλεγόν τε, καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν, ἀπελθόντες ἐς πόλεμον καθίσταντο.* Quare Athenienſes metuebant, ne Lacedaemonii, ſemel decepti, cum ex hoc malo emerſiſſent, ad internecionem usque dimicaturi, neque ullum Athenienſium de pace vel pactione caduceatorem umquam poſtea eſſent admiſſuri.

ψευδὴς φανήσεσθαι. Benedictus corrigit *φανήσεται*, praeter neceſſitatem. Vid. ad 1, 27. Paullo ante idem e codd. reſcripſit *Θεαγένους* pro *Θεογένους*, quod amplectimur propter 5, 19. 24.

εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. Καὶ ἐς Νικίαν τὸν Νικηράτου, στρατηγὸν ὄντα, ἀπεσήμαινεν, ἐχθρὸς ὢν, καὶ ἐπιτιμῶν, ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοὶ, πλεύσαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ· καὶ αὐτός γ' ἂν, εἰ ἦρχε, ποιῆσαι τοῦτο.

28. Ὁ δὲ Νικίας, τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων ἐς τὸν Κλέωνα, ὅτι οὐ καὶ νῦν πλέει, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥν τινα βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. Ὁ δὲ, τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι, ἕτοιμος ἦν· γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα, ἀνεχώρει, καὶ οὐκ ἔφη αὐτὸς, ἀλλ' ἐκεῖνον στρατηγεῖν· δεδιὼς ἤδη, καὶ οὐκ ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι. Αὖθις δὲ ὁ Νικίας ἐκέλευε, καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς, καὶ μάρτυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. Οἱ δὲ (οἷον ὄχλος φιλεῖ ποιεῖν,) ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν, καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ, παραδιδόναι τὴν ἀρχὴν, καὶ ἐκείνῳ ἐπεβόων πλεῖν· ὥστε, οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν· καὶ παρελθὼν, οὔτε φοβεῖσθαι ἔφη Λακεδαιμονίους, πλεύσεσθαί τε, λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους τοὺς παρόντας, καὶ πελταστὰς, οἳ ἦσαν ἔκ τε Αἴνου βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας τετρακο-

res Pylum mittendos lectus, omnem culpam in duces Athenienſes conferebat. 28. Ergo Nicias, unus eorum, tum praeſens Athenis, imperium ſuum illi offert. Ille

28. *τὸ ἐπὶ σφᾶς εἶναι.* Poſterius ſcholion ſenſum recte reddit: *ἐπὶ σφίσι, τοῖς στρατηγοῖς δηλονότι.* Nam *εἶναι* in hac formula, ſicut in aliis, v. c. *ἑκὼν εἶναι*, attice abundat. Eurip. Hec. 510. *τοὐπὶ σέ*, quod ad te attinet. Infra 8, 48. *τὸ ἐπ' ἐκείνοις εἶναι.* Cf. Duck. Nicias ergo ſuo et collegarum nomine permittebat Cleoni, ut copiis iis, quibus ipſi praeeſſent tum temporis, ad rem contra Sphacteriam gerendam pro arbitrio uteretur.

καὶ πελταστὰς, οἳ ἦσαν ἔκ τε Αἴνου —. Haec minus apte cohaerere, quia deinde

σίους. Ταῦτα δὲ ἔχων, ἔφη, πρὸς τοῖς ἐν Πύλῳ στρατιώταις, ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτενεῖν. Τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος, τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, (ὃ μᾶλλον ἤλπιζον) ἢ, σφαλεῖσι γνώμης, Λακεδαιμονίους σφίσι χειρώσεσθαι.

29. *Καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ, καὶ ψηφισαμένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν Πύλῳ στρατηγῶν ἕνα προσελόμενος Δημοσθένην, τὴν ἀναγωγὴν διὰ τάχους ἐποιεῖτο. Τὸν δὲ Δημοσθένην προσέλαβε, πυνθανόμενος, τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. Οἱ γὰρ στρατιῶται, κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ, καὶ μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες, ὥρμηντο διακινδυνεῦσαι· καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχε. Πρότερον μὲν γὰρ οὔσης αὐτῆς ὑλώδους ἐπὶ τὸ πολὺ, καὶ*

primo, quod non ſerio Niciam agere exiſtimat, promptus, mox, cum errorem ſuum cognoſſet, renuit, ſed a populo inſtante urgetur adeo, ut tandem imperium recipiat. Magniloquentia hominis riſum movet, prudentibus vero etiam exſpectationem, fore, ut aut rem bene gerant, aut certe Cleone liberentur. 29. Demoſthenem aſſumpturus,

adiicitur *τοξότας;* videtur ſenſiſſe Bauerus, difficultatem auſus tollere eo, ut *τέ* ante *Αἴνου* transpoſitum eſſe diceret, cum poſt *πελταστάς* eſſe debuiſſet. Seu Scriptor minus ad genus militum, quam ad patriam eorum reſpexit, et duas conſtructiones, ut ſaepe, confudit, quarum altera eſt: *πελταστάς τε καὶ τοξότας*, altera: *ἔκ τε Αἴνου καὶ ἄλλοθεν.* — *Αἶνος* urbs Thraciae ad Hebri oſtia ſita.

πρὸς τοῖς ἐν Πύλῳ στρατιώταις. Perperam vulgo et contra pleroſque codices legitur *πρὸς τοὺς ἐν Π. στρατιώτας.* Etiam Valla vertit: *Super eos, qui ad Pylum eſſent.* Atque ſic iam emendaverat Duckerus. — *ἀποκτενεῖν* etiam magis levitati Cleonis congruit, quam *ἀποθανεῖν*, ſi quidem de infelici rei eventu non cogitans, quoquo modo hoſtes ſe ſuperaturum eſſe oſtendit. Mox *δυοῖν* recepi pro *δυεῖν.* Cf. ad 1, 20.

29. *παρέσχε.* Ita codd. Cl. Gr. Reg. Caſſ. Aug. Marg. Ar. pro *παρεῖχε;* et aoriſtus aptior eſt. Contra recte imperfectum *παρεῖχε* exhibent codices infra c. 39. Paullo ante *τῇ ἀπορίᾳ,* nempe *σίτου καὶ ὕδατος*, cf. c. 26.

ἀτριβοῦς, διὰ τὴν ἀεὶ ἐρημίαν, ἐφοβεῖτο, καὶ πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι. πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν. Σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν, ὑπὸ τῆς ὕλης, οὐκ ἂν ὁμοίως δῆλα εἶναι· τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως, ᾗ βούλοιντο. ἐπ᾽ ἐκείνοις γὰρ εἶναι ἂν τὴν ἐπιχείρησιν. Εἰ δ᾽ αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους, ἐμπείρους δὲ τῆς χώρας, κρείσσους ἐνόμιζε τῶν πλεόνων ἀπείρων· λανθάνειν τε ἂν τὸ ἑαυτῶν στρατόπεδον, πολὺ ὂν, διαφθειρόμενον, οὐκ οὔσης τῆς προσόψεως, ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν.

30. Ἀπὸ δὲ τοῦ Αἰτωλικοῦ πάθους (ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο) οὐχ ἥκιστα αὐτὸν ταῦτα ἐσῄει. Τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενοχωρίαν, τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς, καὶ ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης ἄκοντος, καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενομένου, τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυθέν. Οὕτω δὴ τούς τε Λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄντας, ὑπονοῶν πρότερον, ἐλάσσοσι τὸν σῖτον αὐτοῦ

proficiſcitur. Hunc autem prae ceteris elegerat, quia et ipſe inſulam invadere dudum optaverat, ſed poſt incendium in inſula ortum demum fieri hoc poſſe conſtituerat. 30. Sed cum forte virgulta combuſta eſſet, inſulam ag-

πολλῷ γὰρ ἂν — βλάπτειν. Brevius dictum pro: αὐτοὺς γὰρ στρατοπέδῳ ἀποβάντι, εἰ καὶ πολὺ ἦν, ὅμως προσβάλλοντας ἐξ ἀφανοῦς χωρίου, βλάπτειν ἂν αὐτό.

30. ἀπὸ δὲ τοῦ Αἰτωλικοῦ πάθους. Vid. 3, 97 ſeq. — διὰ τὴν ὕλην, cf. 3, 98 med.

διὰ τὴν στενοχωρίαν, τῆς νήσου. Supra cap. 26. Στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο· καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον, αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. Ceterum commate poſt νήσου ſublato, diſtinxi poſt στενοχωρίαν, ut τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας iungatur. Apodoſis incipit a verbis τὸ πολὺ αὐτῆς.

ἐςπέμπειν, τότε [δὲ] ὡς ἐπ' ἀξιόχρεων τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι, τήν τε νῆσον εὐεμβατωτέραν οὖσαν, τὴν ἐπιχείρησιν παρεσκευάζετο, στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγγὺς ξυμμάχων, καὶ τὰ ἄλλα ἑτοιμάζων. Κλέων δὲ, ἐκείνῳ τε προπέμψας ἄγγελον, ὡς ἥξων, καὶ ἔχων στρατιὰν, ἣν ᾐτήσατο, ἀφικνεῖται ἐς Πύλον· καὶ ἅμα γενόμενοι, πέμπουσι πρῶτον ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι, εἰ βούλοιντο, ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι περὶ τοῦ πλέονος ξυμβαθῇ.

31. Οὐ προσδεξαμένων δὲ αὐτῶν, μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν, νυκτὸς

grediendam cenſuit. Interim Cleon cum auxiliis advenit. Quo facto Lacedaemonios, qui in continente erant, per praeconem iubent, eos, qui in inſula eſſent, ſibi cum armis tradere, donec pax conveniſſet. 31. Id cum

τότε [δὲ] ὡς ἐπ' ἀξιόχρεων. Huius periodi labanti ſtructurae adiecto δὲ, quod poſt τότε facile excidere potuit, praeſertim cum μὲν non ſit praemiſſum (vid. ad 1, 12.) medendum putabam. In eandem coniecturam etiam Popponem iam incidiſſe vidi. Ita haec omnia pendent ab ὑπονοῶν, verba autem τήν τε νῆσον εὐαποβ. οὖσαν ad κατιδών referenda ſunt.

ἣν ᾐτήσατο. Vid. cap. 28.

31. οὐ προσδεξαμένων δὲ αὐτῶν. In quibusdam codicibus eſt οὐ προσδεξαμένων δὲ αὐ μίαν μὲν ἡμέραν, quam lectionem qui probabat Benedictus, non debebat poſt δὲ interpungere. Ubi enim ſupra narratum eſt, Athenienſes unum diem quieviſſe? At deditionem etiam antea Athenienſes poſtulaverant, neque impetraverant tamen, cf. c. 21. 22. eoque reſpicere Auctor putandus eſt, commate poſt αὐ fixo, ſi vera haec ſit lectio, de quo adhuc dubito.

ἀνηγάγοντο μὲν —. Sic cum Duckero repoſui ad fidem codicum pro ἀνήγαγον, licet ἀναγαγόντες etiam legatur 3, 16. ubi intelligendum τὰς ναῦς. — Iisdem codicibus iubentibus cum eodem Duckero ſcripſi πρὸς τοῦ λιμένος, cum vulgo ſit πρό, quod minus bene praecedenti ἐκ τοῦ πελάγους reſpondet. Sic paullo poſt ἔκ τε θαλάσσης ἀπόκρημνον, καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον. — Περὶ τὸ ὕδωρ, quod ſupra ἁλμυρὸν dixerat cap. 26 med. — Paullo poſt cum aliis e MSſ. adieci τὸ ante ἔσχατον. Αὐτοῦ. Benedictus accipit pro αὐτόθι, quod otioſum ſane hoc loco puto, cum ſequatur τὸ ἔσχατον τῆς νήσου, et τὸ πρὸς τὴν Πύλον. Melius igitur αὐτοῦ cum plerisque interpretibus ad Epitadam eiusque exercitum retuleris.

ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες· πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου ἑκατέρωθεν, ἔκ τε τοῦ πελάγους καὶ πρὸς τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται· καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον τῆς νήσου. Ὧδε γὰρ διετετάχατο· ἐν ταύτῃ μὲν τῇ πρώτῃ φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖται· μέσον δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπιτάδας ὁ ἄρχων εἶχε. μέρος δέ τι οὐ πολὺ αὐτοῦ τὸ ἔσχατον ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον, καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον. Καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν, λίθων λογάδην πεποιημένον· ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀναχώρησις βιαιοτέρα. Οὕτω μὲν τεταγμένοι ἦσαν.

32. Οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν, ἔν τε ταῖς εὐναῖς ἔτι, ἀναλαμβάνοντας τὰ ὅπλα, καὶ λαθόντες τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος ἐς ἔφορμον τῆς νυκτὸς πλεῖν. Ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινον, ἐκ μὲν νεῶν ἑβδομήκοντα,

Lacedaemonii denegaſſent; ab utraque inſulae parte adoriuntur Athenienſes. Diſpoſitio Lacedaemoniorum in inſula. 32. Athenienſes primos propugnatores

λίθων λογάδην πεποιημένον. Vid. ad 4, 4.

βιαιοτέρα. Omnes interpretes recte hanc lectionem vulgatae *βεβαιοτέρα* praeferunt, re ipſa poſtulante, et codicibus bene multis addicentibus.

32. *ἔτι ἀναλαμβάνοντας.* Abreſchius, Reiskius et Bauerus *καί* excidiſſe putabant ante *ἔτι*. Melioris frugi eſt, quod Kiſtem. *ἔτι* iungit cum *ἔν τε ταῖς εὐναῖς*. Sed propter hoc *τέ* minus plene interpungendum eſt ante *καὶ λαθόντες*, ubi vulgo puncto diſtinguitur. — *ἐς ἔφορμον*, ad ſtationem.

ὁ ἄλλος στρατὸς ἀπέβαινον. Levi ſane argumento Benedictus refellere conatur vulgatam lectionem, dicens, non veriſimile eſſe, aurora orta demum illos milites in terram e navibus eſcendiſſe, quia tunc facilius eorum adventus ab hoſte animadverti et impediri potuiſſet. Sed cum praemiſſi *ὁπλῖται* paullo ante auroram ortam (cap. 31 init.) in inſulam eſcendiſſent, non citius reliqui e navibus deſcende-

καὶ ὀλίγῳ πλειόνων, πάντες, πλὴν θαλαμίων, ὡς ἕκαστοι ἐσκευασμένοι· τοξόται τε ὀκτακόσιοι, καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες, καὶ οἱ ἄλλοι, ὅσοι περὶ Πύλον κατεῖχον, πάντες, πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος, διέστησαν κατὰ διακοσίους τε καὶ πλείους, ἔστι δ᾽ ᾗ ἐλάσσους, τῶν χωρίων τὰ μετεωρότατα λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ᾖ τοῖς πολεμίοις, πανταχόθεν κεκωλυμένοις, καὶ μὴ ἔχωσι, πρὸς ὅ, τι ἀντιτάξωνται, ἀλλ᾽ ἀμφίβολοι γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων. κατὰ νώτου τε ἀεὶ ἔμελλον αὐτοῖς, ᾗ χωρήσειαν, οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ, καὶ οἱ ἀπορώτατοι, τοξεύμασι καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν· οἷς μηδὲ ἐπελθεῖν οἷόν

ſtatim occidunt, cum ex improviſo adveniſſent. Dere, multo minus contra hoſtem tendere poterant, quam oriente aurora, *ἅμα ἕῳ γιγνομένῃ.* Lectio *ἐπέβαινον* multorum quidem eſt codicum et Vallae, qui vertit: „reliquus exercitus ſupervenit;" nihilominus tamen vulgata tenenda eſt, utpote aptior h. l. Sermo enim eſt non de congreſſu cum hoſte, ſed de copiarum Demoſthenis collocatione ſtatim in eſcenſu facta; quod ipſe auctor probat verbis extr. cap. *τοιαύτῃ γνώμῃ ὁ Δημοσθένης τό τε πρῶτον τὴν ἀπόβασιν ἐπενόει, καὶ ἐν τῷ ἔργῳ ἔταξεν.*

πλὴν θαλαμίων. Thalamii ſunt infimus remigum ordo. Thranitae in puppi, zygitae in media nave, thalamii ſ. thalamitae in prora ſedebant. Cf. ad 6, 31.

οὐκ ἐλάσσους τούτων. Punctum poſt haec verba mutavi in comma, quia ſequentia quoque pendent ab *ἀπέβαινον.*

Μεσσηνίων τε οἱ βεβοηθηκότες. Vide dicta ad 4, 9.

κεκωλυμένοις. Vulgo *κεκυκλωμένοις.* Illud praeſtantiſſimi codices Cl. Gr. Reg. Aug. Caſſ. cum aliis praebent, cuius correctio vulgata lectio eſt.

καὶ οἱ ἀπορώτατοι. Hanc lectionem antiquam ſatis eſſe, Scholia docent, in quibus vera etiam latet interpretatio, quam magis illuſtravit Kiſtemakerus, qui recte haec verba ſecernit a proximis dativis, quos copulat cum participio *ἀλκὴν ἔχοντες.* Ita erunt *ἀπορώτατοι*, inermes milites, telis tantum non armis inſtructi, quos ſupra ſignificabat verbis *ὡς ἕκαστοι ἐσκευασμένοι.* Cum enim etiam remiges exceptis thalamiis contra hoſtem ducerentur et toxotae et velites omnino (*ψιλοί*), arma multis eorum defuiſſe credibile eſt. Benedictus tamen coniicit *οἱ πορρώτατοι.*

τε ἦν· φεύγοντές τε γὰρ ἐκράτουν, καὶ ἀναχωροῦσιν ἐπέκειντο. Τοιαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τό τε πρῶτον τὴν ἀπόβασιν ἐπενόει, καὶ ἐν τῷ ἔργῳ ἔταξεν.

53. Οἱ δὲ περὶ τὸν Ἐπιτάδαν, καὶ ὅπερ ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ, ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρμένον, καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο, καὶ τοῖς ὁπλίταις τῶν Ἀθηναίων ἐπῄεσαν, βουλόμενοι ἐς χεῖρας ἐλθεῖν. Ἐξ ἐναντίας γὰρ οὗτοι καθεστήκεσαν, ἐκ πλαγίου δὲ οἱ ψιλοὶ, καὶ κατὰ νώτου. Τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἠδυνήθησαν προσμῖξαι, οὐδὲ τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι· οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῄεσαν, ἀλλ᾽ ἡσύχαζον. Τοὺς δὲ ψιλοὺς, ᾗ μάλιστα αὐτοῖς προσθέοντες προσκέοιντο, ἔτρεπον, καὶ οἵ, ὑποστρέφοντες, ἠμύνοντο, ἄνθρωποι κούφως τε ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς, χωρίων τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων· ἐν οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἐδύναντο διώκειν, ὅπλα ἔχοντες.

54. Χρόνον μὲν οὖν τινὰ ὀλίγον οὕτω πρὸς ἀλλή-

mosthenis ratio huius proelii committendi. 53. Lacedaemonii contra procedunt, ſed a ſagittariis et peltaſtis male afficiuntur, quibus ſucceſſu (54.) animi

τό τε πρῶτον. Ita cum Kiſtem. ſcripſi pro *τότε πρῶτον.*

33. *τὸ πρῶτον φυλακτήριον*, cf. c. 31. *Καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον τῆς νήσου.* — *διεφθαρμένον*, v. cap. 32 init.

προσθέοντες προσκέοιντο. In deterioribus quibusdam codicibus eſt *ἐπιθέοντες*, quod Benedictus recipiendum cenſet. Sed videtur eſſe a correctore.

οἱ ὑποστρέφοντες, e fuga iterum in hoſtem verſi. Sed videtur h. l. articulus loco pronominis eſſe; quare ſcripſi *οἵ*, ut infra cap. 68. *καὶ οἵ, ξυστραφέντες, ἀθρόοι ἦλθον.*

κούφως τε — χωρίων τε. Quia haec membra particulis *τέ — τέ* cohaerent, *καί* vero utrique loco non niſi explicationis cauſa adhaeret, commata poſt *ἐσκευασμένοι* et *χαλεπότητι* ſuſtuli. Tum ipſi ob levem armaturam expeditiores ad fugam erant, tum difficultate loci hoſtes in perſequendo impediebantur. — *προλαμβάνοντες τῆς φυγῆς*, genitivum accipio intellecto *τί*, *aliquantum.* Bauerus ſupplet *περί*, ſed exempla non affert.

λους ἠκροβολίσαντο. Τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν, ᾗ προσπίπτοιεν, δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας τῷ ἀμύνασθαι, καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν τὸ πλεῖστον εἰληφότες, πολλαπλάσιοι φαινόμενοι, καὶ ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν. ὥσπερ ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους, καταφρονήσαντες, καὶ ἐμβοήσαντες, ἀθρόοι ὥρμησαν ἐπ' αὐτούς· καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχε. Γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ, ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώποις ἀήθεσι τοιαύτης μάχης, καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω· ἄπορόν τε ἦν ἰδεῖν τὸ πρὸ αὑτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ πολλῶν ἀνθρώπων μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων. Τό. τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς Λακεδαιμονίοις καθίστατο. Οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα. δοράτιά τε ἐναποκέκλαστο βαλλομένων. εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρήσασθαι, ἀποκεκλῃμένοι μὲν τῇ ὄψει τοῦ προορᾶν, ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων. τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες· κινδύνου τε πανταχόθεν περιεστῶτος, καὶ οὐκ ἔχοντες ἐλπίδα, καθότι χρὴ ἀμυνομένους σωθῆναι.

35. Τέλος δὲ, τραυματιζομένων ἤδη πολλῶν, διὰ τὸ ἀεὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλῄσαντες, ἐχώ-

angebantur. 35. Lacedaemonii tandem conferti in

34. τῷ ἀμύνασθαι, int. ἐν. τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακ. quippe milites levis armaturae et remiges contra Lacedaemonios ituri, quorum in acie pedeſtri ſumma fama. — ὅτε πρῶτον ἀπεβ. cum primum navibus egreſſi eſſent.

τὸ πρὸ αὑτοῦ. Ita cum Kiſtem. ſcripſi pro αὐτοῦ, codd. et morem Thucydidis ſecutus, de quo egi ad 3, 61. cf. 4, 27 med. Κλέων, γνοὺς αὑτῶν τὴν ἐς αὑτὸν ὑποψίαν —.

οἱ πῖλοι ἔστεγον. Recte Bauerus cum altero Schol. πίλους

ρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ πολὺ ἀπεῖχε, καὶ τοὺς ἑαυτῶν φύλακας. Ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο. Καὶ τῶν Λακεδαιμονίων, ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπέθνησκον· οἱ δὲ πολλοὶ, διαφυγόντες ἐς τὸ ἔρυμα, μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν, ὡς ἀμυνούμενοι, ᾗπερ ἦν ἐπίμαχον. Καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι, περίοδον μὲν αὐτῶν καὶ κύκλωσιν, χωρίου ἰσχύϊ, οὐκ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας, ὤσασθαι ἐπειρῶντο. Καὶ χρόνον μὲν πολὺν, καὶ τῆς ἡμέρας τὸ πλεῖστον, ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου, ἀντεῖχον, πειρώμενοι, οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ, μὴ ἐνδοῦναι. ῥᾷον δ' οἱ Λακεδαιμόνιοι ἠμύνοντο, ἢ ἐν τῷ πρὶν, οὐκ οὔσης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια.

36. Ἐπειδὴ δὲ ἀπέραντον ἦν, προσελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλέωνι καὶ Δημοσθένει, ἄλλως ἔφη πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τὶ καὶ τῶν ψιλῶν, περιϊέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. Λαβὼν δὲ ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας, ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον

propugnaculum ſe recipiunt, et facilius ibi ſe defendunt; 36. donec Meſſeniorum dux quidam cum parva

intelligit galeas. *στέγειν* ut lat. *defendere.* — *δοράτια* malim de *Lacedaemoniorum* haſtis, miſſu lapidum praefractis, accipere, quam cum Bauero et Bredovio de Spartanorum miſſilibus, in galeis vel loricis Athenienſium fractis.

35. *πολλῷ ἔτι πλέονι βοῇ.* Vulgo male et contra codd. plurimos *πλέον βοῇ.*

παρὰ πᾶν, int. *τὸ ἔρυμα,* vel *μέρος τοῦ ἐρύματος, ᾗπερ ἦν ἐπίμαχον.* — *ἐπισπώμενοι* vulgo edunt et paſſive accipiunt, „fuga illorum ad inſequendum ſtimulati," plane ut 5, 3. Sed utroque loco e bonis libris, Caſſ. Aug. al. dedi *ἐπισπόμενοι,* ſententia iubente. Cf. ad 5, 5.

36. *ὁ τῶν Μεσσηνίων στρατηγός.* Vide dicta ad 4, 9. — *ἄλλως, ματαίως.* Infinitivus *περιϊέναι* pro *ὥστε περιϊέναι.*

κατὰ τὸ ἀεὶ παρεῖκον —. H. l. adſentimur Benedicto, e codicibus variarum familiarum et

τοῦ κρημνώδους τῆς νήσου προσβαίνων, καὶ ᾗ οἱ Λακεδαιμόνιοι, χωρίου ἰσχύϊ πιστεύσαντες, οὐκ ἐφύλασσον. χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ του μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν, τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δέ, ἃ προσεδέχοντο ἰδόντας, πολλῷ μᾶλλον ἐπέῤῥωσε. Καὶ οἱ Λακεδαιμόνιοι, βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη, καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις — ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν, διεφθάρησαν· οὗτοί τε, ἀμφίβολοι ἤδη ὄντες, οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι, καὶ ἀσθενείᾳ σωμάτων, διὰ τὴν σιτοδείαν, ὑπεχώρουν· καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων.

λζ´. Γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης, ὅτι, εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην, καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν

manu iis a tergo conſpiciatur. Tum vero de ſalute ſua deſperantes, 37. Cleone ſponſionem offerente,

Schol. legenti παρεῖκον, cuius loco in vulgatis eſt παρῆκον, quod Duckerus ſtudioſe defendebat, Bredoviusque probabat. Vulgatae ſenſum Valla expreſſit: „aſſidue ſecundum praerupta inſulae pergens." Traxit igitur voculam ἀεί ad participium προσβαίνων, quod non licet per ordinem verborum, quo illa arcte iuncta eſt cum παρῆκον. Quod licet Bredovii interpretatio vitet, ἀεί per *usque* exponentis; tamen multo aptior eſt et orationi contextae, et illius adverbii ſignificationi, Scholiaſtae ratio, interpretantis: κατὰ τὸ ἐνδιδοῦν, καὶ ἀνάβασιν παρέχον. Non enim ubique per rupes praeruptas incedere licebat, ſed eligenda ſubinde erant loca ea, quibus tranſitus fieri poſſet.

ἐν τῷ αὐτῷ ξυμπτώματι — τῷ ἐν Θερ. Verba τῷ ἐν Θερμοπύλαις pertinent ad pronomen τῷ αὐτῷ, ſecundum notam illam ſtructuram, quam imitatus eſt Horatius Art. poët. 467. *idem facit occidenti.* Poſt Θερμοπύλαις cum Poppone lineolam fiximus, ut anacoluthon demonſtraremus. Nam abiit Auctor ab inchoata ſtructura, cum initio fortaſſe ſcribere voluiſſet: γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι τοῖς ἐν Θερμοπύλαις, τῶν Περσῶν τῇ ἀτραπῷ περιελθόντων, διαφθαρεῖσιν, ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον.

37. ὅτι — διαφθαρησομένους αὐτούς. Tranſitus a conſtructione per ὅτι ad participium, quod infinitivi vice fungitur. Cf. ad 3, 25.

αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως, τοῦ κηρύγματος ἀκούσαντες, ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι, καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ· ἐκήρυξάν τε, εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς Ἀθηναίοις, ὥςτε βουλεῦσαι, ὅ τι ἂν ἐκείνοις δοκῇ.

38. Οἱ δέ, ἀκούσαντες, παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι, καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προςίεσθαι τὰ κεκηρυγμένα. Μετὰ δὲ ταῦτα, γενομένης τῆς ἀνακωχῆς, ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης, καὶ ἐκείνων Στύφων ὁ Φάρακος, τῶν πρότερον ἀρχόντων τοῦ μὲν πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ᾽ αὐτὸν Ἱππαγρέτου ἐφηρημένου ἐν τοῖς νεκροῖς ἔτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφηρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. Ἔλεγε δὲ ὁ Στύφων καὶ οἱ μετ᾽ αὐτοῦ, ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους, ὅ, τι χρὴ σφᾶς ποιεῖν. Καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας, καὶ γενομένων ἐπ᾽ ἐρωτήσεως δὶς ἢ τρὶς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ

38. arma ſeque ipſos tradunt, et cum tandem iis de ſe deliberandi a ceteris Lacedaemoniis poteſtas facta eſſet, idem confirmant, ſeque in manus Athenienſium tradunt.

38. ἀνακωχῆς. Ita hic libri omnes, etſi Grammatici Thucydidem ἀνοκωχή ſcripſiſſe affirmant. Cf. interpretes ad 1, 40. et Poppo p. 134. adde 5, 25. 26.
καὶ γενομένων ἐπ᾽ ἐρωτήσεως. Codices plerique exhibent γενομένων ἐπερωτήσεων, cuius interpretamentum ἐπερωτημάτων in Moſq. eſt; alii γενομένων ἐπ᾽ ἐρωτήσεως, unde et vulgata lectio γενομένης ἐπερωτήσεως orta, et illa ipſa, quam primo loco attulimus. Veram igitur lectionem eſſe καὶ γενομένων ἐπ᾽ ἐρωτήσεως etiam Benedictus vidit, quamquam minus recte interpretatus eſt: „cum illi praecones bis terve *de interrogatione adveniſſent.*“ Nam cum Athenienſes praecones Lacedaemoniorum ex continente evocaſſent, hi cum mandatis illorum, qui incluſi in inſula erant, *bis terve in continentem miſſi ſunt*, aliter ſentientibus, ut videtur, Lacedaemoniis iis, qui in continente caſtra habebant, deditionemque illorum denegantibus, donec per tertium vel quartum praeconem illis permitterent, ut ſibi ipſi, utcunque poſſent, conſulerent. Αὐτοῖς ſpectat ad incluſos Lacedaemonios, quibus-

τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ, ἀπήγγειλεν, ὅτι οἱ Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας. Οἱ δὲ, καθ' ἑαυτοὺς βουλευσάμενοι, τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. Καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ, τὰ ἄλλα διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν. Οἱ δὲ Λακεδαιμόνιοι, κήρυκα πέμψαντες, τοὺς νεκροὺς διεκομίσαντο. Ἀπέθανον δ' ἐν τῇ νήσῳ, καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν.

39. Χρόνος δὲ ὁ ξύμπας ἐγένετο, ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν, ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης, ἑβδομήκοντα ἡμέραι καὶ δύο. Τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῇεσαν, ἐσιτοδοτοῦντο· τὰς δὲ ἄλλας τοῖς ἐσπλέουσι λάθρα διετρέφοντο. Καὶ ἦν σῖτος ἐν τῇ νήσῳ, καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν, ἢ πρὸς τὴν ἐξουσίαν. Οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πε-

39. Per LXXII dies Lacedaemonii in insula inclusi erant inde a pugna navali (c. 14.), nec tamen iis alimenta deerant, sed supererant adeo. Ceterum Cleon promissis

cum illa altera pars per praecones agebat. Ad *γενομένων* subaudiendum est *αὐτῶν* i. e. *κηρύκων* ex *κήρυκας*. Nunquam, quod sciam, simplex *γίγνεσθαι* apud Thucydidem est *advenire*, et *γίγνεσθαι ἐπ' ἐρωτήσεως* ita iungendum est, ut sit *interrogare*.

τὰ ἄλλα διεσκευάζοντο —. Fortasse excidit *τέ* ante *ἄλλα*, ut legendum sit: *τά τ' ἄλλα*. Sequitur enim *καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν*.

39. *βρώματα ἐγκατελήφθη*. Vulgo *ἐγκατελείφθη*. Cf. Duck. et Bened.

λοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη. ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη.

40. Παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς Ἕλλησιν ἐγένετο. Τοὺς γὰρ Λακεδαιμονίους οὔτε λιμῷ, οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι, ἀλλὰ ἔχοντας, καὶ μαχομένους ὡς ἐδύναντο, ἀποθνήσκειν· ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους. Καί τινος ἐρομένου ποτὲ ὕστερον τῶν Ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων, εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί, ἀπεκρίνατο αὐτῷ, πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον (λέγων τὸν οἰστὸν), εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε· δήλωσιν ποιούμενος, ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.

41. Κομισθέντων δὲ τῶν ἀνδρῶν, οἱ Ἀθηναῖοι ἐβούλευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν, μέχρι οὗ

steterat. 40. Graecorum de hac deditione iudicium. 41. Pylum Athenienses custodia muniunt; Messenii eo tamquam in patriam Naupacto revertuntur, et inde va-

40. ἀπιστοῦντές τε μὴ εἶναι. Bauerus, cum interpretatur ἠπίστουν, non indicat, utrum ἦσαν subaudiri velit ad participium, an transitum a verbo finito ad participium esse statuat. Alterum hoc ferendum est. Cf. 4, 85. κίνδυνόν τε τοσόνδε ἀνεῤῥίψαμεν, διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. 2, 68. Οἱ Ἀμφίλοχοι διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους. Ubi vid. plura. — Μὴ redundare, observant interpretes. Supra 2, 101. ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν. Cf. ad 3, 1.

δι' ἀχθηδόνα. Sunt qui obiective accipiant hoc vocabulum cum Porto, qui vertit: „ut ei cum insultatione dolorem inureret." Alii rectius intelligunt, secundum posteriorem Scholiastae explicationem: ἀχθόμενος ἐπὶ τῇ τῶν Λακεδαιμονίων συμφορᾷ, de dolore et commiseratione socii Atheniensis. Illud enim esset πρὸς ἀχθηδόνα, vel ἐπ' ἀχθηδόνι. Neque absurdum est, hominem socium Atheniensium misereri cladem Lacedaemoniorum, quorum virtuti, qui ipsi libertatem cupiebant, summopere favebant. — Ἄτρακτος proprie τὸ ξύλον τοῦ βέλους, de quo contemptim Laco loquitur. cf. Bredov.

τὶ ξυμβῶσιν· ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐςβάλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. Τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς Ναυπάκτου Μεσσήνιοι, ὡς ἐς πατρίδα ταύτην (ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς,) πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους, ἐλήϊζόν τε τὴν Λακωνικὴν, καὶ πλεῖστα ἔβλαπτον, ὁμόφωνοι ὄντες. Οἱ δὲ Λακεδαιμόνιοι, ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας, καὶ τοῦ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι, μὴ καὶ ἐπὶ μακρότερον σφίσι τὶ νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ, καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτοὺς, καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. Οἱ δὲ μειζόνων τε ὠρέγοντο, καὶ, πολλάκις φοιτώντων, αὐτοὺς ἀπράκτους ἀπέπεμπον. Ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

42. Τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα, καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν, καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν. ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι, καὶ Ἄνδριοι, καὶ Καρύστιοι. Ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου τρίτος αὐτός. Πλέοντες δὲ ἅμα ἕῳ, ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου, ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου, ὑπὲρ οὗ ὁ Σολύγιος λόφος ἐστίν· ἐφ' ὃν Δωριεῖς τὸ πάλαι ἱδρυθέν-

ſtant Laconicam. Preſſi his calamitatibus Lacedaemonii de recipiendis captivis et Pylo legatos mittunt Athenas, ſed fruſtra. 42. Expeditio Athenienſium in Corinthiam.

41. *αὐτομολούντων*, nempe ἐς τὴν Πύλον. — *ἔνδηλοι εἶναι*, ὡς χαλεπῶς φέροντες.

42. *μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου*. De Ῥείτῳ v. Duck., qui malit fluvium quam urbem intelligere, cum veterum teſtimonia deſint. *Χερσόνησος* h. l. ea intelligenda, quae iſthmo Corinthio adiacet. Pro *Σολύγιος* videtur ſcribendum *Σολύγειος*, quia et Σολύγεια κώμη infra vocatur, et Stephanus ita ſcribit. Sonus ſimilis in errorem induxit librarios.

τες, τοῖς ἐν τῇ πόλει Κορινθίοις ἐπολέμουν, οὖσιν Αἰολεῦσι. καὶ κώμη νῦν ἐπ' αὐτοῦ Σολύγεια καλουμένη ἐστίν. Ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου, ἔνθα αἱ νῆες κατέσχον, ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει· ἡ δὲ Κορινθίων πόλις, ἑξήκοντα· ὁ δὲ ἰσθμὸς, εἴκοσι. Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους, ὅτι ἡ στρατιὰ ἥξει τῶν Ἀθηναίων, ἐκ πλείονος ἐβοήθησαν ἐς ἰσθμὸν πάντες, πλὴν τῶν ἔξω ἰσθμοῦ· καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν Λευκαδίᾳ ἀπήεσαν αὐτῶν πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι πανδημεὶ ἐπετήρουν τοὺς Ἀθηναίους, οἷ κατασχήσουσιν. Ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες, καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν ἐν Κεγχρειᾷ, ἢν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμύωνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος.

43. Καὶ Βάττος μὲν, ὁ ἕτερος τῶν στρατηγῶν (δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες,) λαβὼν λόχον, ἦλθεν ἐπὶ τὴν Σολύγειαν κώμην, φυλάξων ἀτείχιστον οὖσαν· Λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλε. Καὶ πρῶτα μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων, εὐθὺς ἀπο-

Noctu appellunt, non animadverſi. 43. Acre proelium

Κορίνθιοι δὲ προπυθόμενοι. Hunc ordinem verborum cum Benedicto codicum auctoritate reſtitui, pro vulgato *προπυθόμενοι δὲ Κορίνθιοι.* — *ἐκ πλείονος* int. *χρόνου*, multo ante. Ne tamen haec iungas cum nonnullis interpretibus cum *προπυθόμενοι.* — *ἐν Λευκαδίᾳ ἀπήεσαν* brevius dictum pro *ἀπήεσαν ἐς Λευκαδίαν ὥστε εἶναι ἐκεῖ*, vel *ἐν Λευκαδίᾳ ἦσαν, ἀπελθόντες ἐκεῖσε.* Cf. ad 7, 17.

καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη. Miror Bredovio Baueri interpretationem probari potuiſſe, qua *σημεῖα ἤρθη* de ſignis Athenienſium contra hoſtem motis et converſis intelligebat. Sane perobſcure eodem vocabulo *αὐτοῖς* uſus eſſet Thucydides de Athenienſibus, quo Corinthios modo ſignificaverat, et cuius loco hic dicendum erat *ἐκείνοις.* Neque video, quid huic loco minus congruat. Latebant Athenienſes Corinthios, cum nocte navigarent, donec littori appropinquarent et appellerent. Tum Corinthiis a ſuis ſpeculatoribus *φρυκτοὶ ἤρθησαν*, quos hic nomine etiam aliis ſignis communi *σημεῖα* vocat. — *Crommyon* urbs in agro Corinthiorum. Cf. c. 45. — Pro *ἡμίσεις* fortaſſis ſcribendum *ἡμίσεας.* Cf. Duck. ad 8, 8.

43. *καὶ πρῶτα μέν.* Coddt Reg. Caſſ. Aug. Moſq. haben. *καὶ πρῶτον μέν*, ut alibi ſemper Thucydides ſcribit. Quare et h. l. vulgatae illud praefero. —

βεβηκότι πρὸ τῆς Χερσονήσου, οἱ Κορίνθιοι ἐπέκειντο· ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. Καὶ ἦν ἡ μάχη καρτερὰ, καὶ ἐν χερσὶ πᾶσα. Καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων (οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι) ἐδέξαντό τε τοὺς Κορινθίους, καὶ ἐώσαντο μόλις· οἱ δὲ, ὑποχωρήσαντες πρὸς αἱμασιὰν (ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν,) βάλλοντες τοῖς λίθοις καθύπερθεν ὄντες, καὶ παιωνίσαντες, ἐπῄεσαν αὖθις. Δεξαμένων δὲ τῶν Ἀθηναίων, ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. Λόχος δέ τις τῶν Κορινθίων ἐπιβοηθήσας τῷ εὐωνύμῳ κέρᾳ ἑαυτῶν, ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας, καὶ ἐπεδίωξεν ἐς τὴν θάλασσαν. πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι. Τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο συνεχῶς, μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ' ᾧ ὁ Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο. ἤλπιζον γὰρ, αὐτοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν.

44. Χρόνον μὲν οὖν πολὺν ἀντεῖχον, οὐκ ἐνδιδόντες ἀλλήλοις ἔπειτα (ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππεῖς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόντων ἵππους,) ἐτράποντο οἱ Κορίνθιοι, καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον· καὶ ἔθεντο τὰ ὅπλα, καὶ οὐκέτι κατ-

committitur cominus. 44. Tandem Corinthii lento gradu, neque vehementer preſſi ab Athenienſibus in col-

Pro Χεῤῥονήσῳ dedi Χερσονήσῳ, ut cap. 42. editum eſt cf. 1, 11. et 4, 45, ubi ſimiliter Χερσονήσῳ ſcripſi, conſtantiae cauſa. Cod. Caſſ. conſtanter exhibet Χεῤῥόνησος.

ὑποχωρήσαντες πρὸς αἱμασιάν. Ita e codd. iam dudum viri docti corrigendum eſſe viderunt vulgatum ὑπεχώρησαντες. Mox alio verborum ordine cum Benedicto ſcripſi ἐν χερσὶν ἦν πάλιν ἡ μάχη, pro πάλιν ἦν.

44. καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον. Articulum puta adiectum propter verba c. 43. ὑποχωρήσαντες πρὸς αἱμασιάν (ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν). — ἔθεντο τὰ ὅπλα, conſtiterunt armati ſ. armis iuxta ſe in terra poſitis. 2, 2. θέμενοι ἐς τὴν ἀγορὰν τὰ ὅπλα, et paullo inferius τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα. De variis huius phraſeos ſignificationibus copioſius egit Schneider. in Ind. ad Xen. Anab. voc. τίθεσθαι.

ἔβαινον, ἀλλ' ἡσύχαζον. Ἐν δὲ τῇ τροπῇ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἵ πλεῖστοί τε αὐτῶν ἀπέθανον, καὶ Λυκόφρων ὁ στρατηγός. ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ, οὐ κατὰ δίωξιν πολλὴν, οὐδὲ ταχείας φυγῆς γενομένης, ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη. Οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς ἐπῄεσαν ἐς μάχην, τούς τε νεκροὺς ἐσκύλευον, καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο· τροπαῖόν τε εὐθέως ἔστησαν. Τοῖς δ' ἡμίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ ἐκάθηντο φύλακες, μὴ ἐπὶ τὸν Κρομμύωνα πλεύσωσι, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον, καὶ ὡς ἔγνωσαν, ἐβοήθουν εὐθύς. Ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν Κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον. Ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξύμπαντας αὐτοὺς ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων Πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς, ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς, πλὴν δυοῖν, οὓς ἐγκατέλιπον, οὐ δυνάμενοι εὑρεῖν. Καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς, ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους· ἐκ δ' αὐτῶν ἐπικη-

lem quendam ſe recipiunt, ibique conſiſtunt armati. Tum accurrentibus ex urbe ſenioribus, item ex Cenchrea, qui praeſidio erant relicti, Athenienſes recedunt in naves et

αὐτῶν ἀπέθανον. Ita recte Benedictus e codd. ſcripſit pro ἀπέθανον αὐτῶν.

τούτῳ τῷ τρόπῳ. Haec verba iunge cum ἱδρύθη in ſequentibus; pertinent enim ad verba ſuperiora: ὑπεχώρησαν πρὸς τὸν λόφον, et proximis verbis οὐ κατὰ δίωξιν πολλὴν, οὐδὲ ταχείας φυγῆς γενομένης clarius illuſtrantur. Quare colon poſt τρόπῳ mutavi in comma.

τούς τε νεκροὺς ἐσκύλευον. Vulgo legitur τούς τε ἀλλοτρίους νεκρούς, etſi iam Abreſchius recte docuerat, vocem ἀλλοτρίοις, quam codices longe plurimi omittunt, ſuppoſititiam eſſe. Gloſſam enim ſapit, et alibi in eadem re non legitur, ut 5, 74. Etiam infra hoc ipſo capite legimus: ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκρούς.

πλὴν δυοῖν. Vulgo δυεῖν. Vid. ad 1, 20. Mox οὐ δυνάμενοι ad codd. plurimorum fidem repoſui pro μὴ δυνάμ., licet hoc ipſum ferri poſſit. At non ferenda eſt Waſſii coniectura οὐ μή.

ρυκευσάμενοι, τοὺς νεκροὺς, οὓς ἐγκατέλιπον, ὑποσπόνδους ἀνείλοντο. Ἀπέθανον δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι, Ἀθηναίων δὲ, ὀλίγῳ ἐλάσσους πεντήκοντα.

45. Ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι, ἔπλευσαν αὐθήμερον ἐς Κρομμύωνα τῆς Κορινθίας· ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους· καὶ καθορμισάμενοι τήν τε γῆν ἐδῄωσαν, καὶ τὴν νύκτα ηὐλίσαντο. Τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν πρῶτον, καὶ ἀπόβασίν τινα ποιησάμενοι, ἀφίκοντο ἐς Μεθώνην τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος. Καὶ ἀπολαβόντες τὸν τῆς Χερσονήσου ἰσθμὸν, ἐτείχισαν, ἐν ᾧ ἡ Μεθώνη ἐστί, καὶ φρούριον καταστησάμενοι, ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε Τροιζηνίαν γῆν καὶ Ἁλιάδα καὶ Ἐπιδαυρίαν. ταις δὲ ναυσὶν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἴκου.

46. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, καθ' ὃν ταῦτα ἐγίγνετο, καὶ Εὐρυμέδων καὶ Σοφοκλῆς, ἐπειδὴ ἐκ τῆς Πύλου ἀπῆραν ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν, ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει τῆς Ἰστώνης Κερκυραίων

in inſulas proximas transeunt. 45. Inde verſus Crommyonem navigant, et vaſtata regione in Epidauriam praetervecti deſcendunt, et Cherſonneſum, in qua Methone oppidum ſitum, muniunt, praeſidiumque relinquunt, unde poſthac agrum Epidaurium et Troezenium praedantur. Quibus ita conſtitutis, domum abeunt. 46. Eurymedon et Sophocles, duces Athenienſes, Pylo in Siciliam traiecturi, Corcyram praetervecti, exſules qui in monte Iſtone caſtra ſtativa poſuerant, ad deditionem cogunt, ea lege,

45. *ἀπολαβόντες*, int. τειχίσματι. Mox *ἐξετείχισαν* Schol. recte εἰς τέλος ἤγαγον τὸ τεῖχος τοῦ χωρίου.

46. *καθ' ὃν ταῦτα ἐγίγνετο*. Cum codd. Cl. Caſſ. Aug. Par. H. omittant verba *καθ' ὄν*, coniecit Poppo, abiecto *κατὰ* retinendum eſſe *ὄν*, quod propter ultimam ſyllabam vocis *χρόνον* exciderit. Ita certe loquitur Thucydides 5, 17. 18. 94. At etiam utroque vocabulo omiſſo loci ratio conſtat.

καθιδρυμένους, οἳ τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς, καὶ πολλὰ ἔβλαπτον. Προσβαλόντες δὲ, τὸ μὲν τείχισμα εἷλον· οἱ δὲ ἄνδρες καταπεφευγότες ἀθρόοι πρὸς μετέωρόν τι, ξυνέβησαν, ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν, τὰ ὅπλα παραδόντων, τὸν Ἀθηναίων δῆμον διαγνῶναι. Καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι οὗ Ἀθήναζε πεμφθῶσιν· ὥστε, ἐάν τις ἁλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. Οἱ δὲ τοῦ δήμου προστάται τῶν Κερκυραίων, δεδιότες, μὴ οἱ Ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδέ τι. Τῶν ἐν τῇ νήσῳ πείθουσί τινας, ὀλίγους ὑποπέμψαντες φίλους, καὶ διδάξαντες, ὡς κατ' εὔνοιαν δῆθεν, λέγειν, ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶ-

ut Athenienſibus permittatur de iis ſtatuere. Interim Corcyraeorum principes urbanorum per amicos illorum eos admonent, ut fugam capeſſant, quia Athenienſes

ὥστε, ἐάν τις ἁλῷ. Ita cum Poppone reſcripſimus pro ὥστε, ἄν τις, quod ortum eſt ex ὥστ', ἐάν τις. Plena ſcriptura, quam dedimus, eſt in Par. D. Nam ſemper Thucydides ἐάν et ἤν adhibet, perraro ἄν eorum loco. 6, 13. ὅπως μὴ δόξῃ, ἂν μὴ ψηφίζηται πολεμεῖν, μαλακὸς εἶναι. 6, 18. ἂν μὲν ἡσυχάζῃ. et 8, 75 extr. ἄν τε οἱ ἐκ Μιλήτου πολ.

ὡς καθ' εὔνοιαν δῆθεν. In multis quidem codd. eſt καθ' εὔνοιαν δή, in ſcholiis autem legitur: τὸ ἑξῆς, καὶ διδάξαντες τοὺς ὑποπέμπτους λέγειν, ὡς δῆθεν ἀπὸ εὐνοίας. Ex hoc ſcholio vulgata lectio δῆθεν videtur orta, quae ad ſenſum quidem non tantum differt ab altera illa, quantum exiſtimat Benedictus. — Paullo poſt ἀποδρᾶναι recte codices loco depravati ἀποδιδράναι, quod vulgo legebatur. — ἑτοιμάσειν pro ἑτοιμάσουσι, de quo tranſitu v. ad 3, 25. Ceterum male Bredovius comma poſt πείθουσί τινας deleri iubebat, totum locum perperam accipiens. Quo minus φίλους cum τῶν ἐν τῇ νήσῳ iungas, vetat interiectum participium ὑποπέμψαντες. Potius ſubaudiendum eſt αὐτῶν ad φίλους ὀλίγους. Senſus igitur eſt: „Nonnullis eorum, qui in inſula erant, perſuadent, paucis eorum amicis ſubmiſſis atque quaſi ob benevolentiam edoctis dicere, optimum factu eſſe, ut quamprimum aufugerent.“ Bredovius cum Heilmanno videtur infinitivum ad πείθουσι pertinentem deſideraſſe, velut ἀποδρᾶναι. Is autem, cum re vera adſit, modo oblitteratus ſtructura mutata verbis ὅτι κράτιστον αὐτοῖς εἴη — facile ſubintelligi poteſt.

ναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν Κερκυραίων.

47. Ὡς δὲ ἔπεισαν, καὶ μηχανησαμένων τὸ πλοῖον, ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαὶ, καὶ τοῖς Κερκυραίοις παρεδίδοντο οἱ πάντες. Ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέσθαι, καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων, κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ' ἄλλων κομισθέντας, διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιῆσαι. Παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι, ἐς οἴκημα μέγα καθεῖρξαν· καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας, διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους, καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ που τὶς τινὰ ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας.

48. Καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες, καὶ διαφθείραντες· ᾤοντο γὰρ αὐτοὺς μεταστήσοντάς ποι ἀλ-

duces id agant, ut Corcyraeis tradantur. 47. Quibus fidem habentes exſules, capiuntur denuo in fuga, et ob ruptam pacem ab Athenienſium ducibus, qui in Siciliam properabant, Corcyraeis ad ſupplicium traduntur, quo ſexaginta ferme affecti ſunt. 48. Ceteri in carcere

47. *μηχανησαμένων τὸ πλοῖον*, int. τῶν φίλων ὑποπεμφθέντων. cf. c. 46. — *ξυνελάβοντο τοῦ τοιούτου*, pro quo alibi ſolet dicere *ξυνεπελάβοντο*. — In ſequentibus iunge τοὺς ἄνδρας cum προσποιῆσαι.

καὶ ὕστερον ἐξάγοντες. Ne cenſeas legendum ἐξαγαγόντες, cum modo fuerit παραλαβόντες (cf. c. 48 init.), monent verba κατὰ εἴκοσιν ἄνδρας, quae rem ſaepius repetitam eſſe docent.

ἐπετάχυνον τῆς ὁδοῦ. Haec verba iungo, non τῆς ὁδοῦ προσιόντας, ut vult Bauerus.

48. *ᾤοντο γὰρ αὐτοὺς μεταστήσαντας.* Ita vulgo. In minore ed. Lipſienſi apud Tauchnitzium venali, quam conſtat a doctiſſimo Schaefero curatam eſſe, invenio *μεταστήσοντας*, quod non errore operarum or-

λοσε ἄγειν. Ὡς δὲ ᾔσθοντο, καί τις αὐτοῖς ἐδήλωσε, τούς τε Ἀθηναίους ἐπεκαλοῦντο, καὶ ἐκέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς διαφθείρειν. ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι οὐδ᾽ ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα. Οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ᾽ αὐτοὶ διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος, καὶ διελόντες τὴν ὀροφὴν, ἔβαλλον τῷ κεράμῳ καὶ ἐτόξευον κάτω. Οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἠδύναντο, καὶ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον· οἰστούς τε, οὓς ἀφίεσαν ἐκεῖνοι, ἐς τὰς σφαγὰς καθιέντες, καὶ ἐκ κλινῶν τινῶν, αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι, τοῖς σπάρτοις, καὶ ἐκ τῶν

diu ſe acriter defendunt, donec deſuper, tecto ſublato, Corcyraei eos telis lapidibusque, et ipſi ſe per noctem telis et laqueis, et ſi qua alia ratio eſt, interimant. Is

tum, ſed editoris conſilio expreſſum videtur, ut alia ſubinde (verbi cauſa *ἐπειδάν* cum indicativo infra hoc ipſo cap. et 130. 132.) tacite correcta. Placet correctio tam lenis, praeſertim cum aoriſto hic nullus locus eſſe videatur.

ἐς τὰς σφαγάς. Iugulum intelligi cum Scholiaſta docèt Duckerus multis aptiſſimisque veterum locis. — *παραιρήματα* Schol. explicat *τελαμῶνάς τινας, ὥςπερ ζώνας, ἀποσχίζοντες τῶν ἱματίων.* Intellige igitur *clavum*, noſtrum *Streifen.* Ad *ἀπαγχόμενοι* ſubaudi *τούτοις*, nempe *τοῖς παραιρήμασι*, quod reſpondet *τοῖς σπάρτοις.* Nam perperam Kiſtemakerus iungebat *τοῖς σπάρτοις ἐνοῦσαι*; vertens: „qui ipſis cum funibus erant.“ Ceterum fortaſſe malis cum Poppone legere *παντί τε τρόπῳ*, quam coniecturam ſtabilire conatur cum totius periodi ratione, qua verba *οἰστούς τε — ἀπαγχόμενοι* aptius cum praecedente verbo *διέφθειρον*, quam cum ſubſequente *διεφθάρησαν* iungantur, tum vero Vallae verſione hac: „Omni *denique* ratione tum ſibi manus inferentes, tum a ſuperne ferientibus abſumpti ſunt.“ Si vulgatam ſervas, quam omnes codices tuentur, diſtinctionem mutes, poſt *διέφθειρον* colon pro commate ponendo, ſicut ego feci. — Denique pro *ἀναδοῦντες σφᾶς αὐτούς* recepi Heilmanni coniecturam, a Poppone nuper novis iisque graviſſimis argumentis firmatam, *ἀναλοῦντες.* Primum enim Grammatici (Phavorinus, Suidas, Zonaras) *ἀναλοῦντες* pro *ἀναιροῦντες* a Thucydide dictum teſtantur, quae lectio in vulgatis exemplaribus nusquam reperitur; deinde verba *παντὶ τρόπῳ — διεφθάρησαν*, cum utrumque mortis genus complectantur, aliis ſua manu, aliis ab hoſtibus interemptis, requirunt verbum latioris ambitus, quod aeque ad ſagittas iugulis defixas, atque ad veſtium uſum pertineat; denique Valla ita legit, cum vertat: *ſibi manus inferentes.* Cf. 3, 81. *Οἱ δ᾽, ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο.*

ἱματίων παραιρήματα ποιοῦντες, ἀπαγχόμενοι, παντὶ τρόπῳ τὸ πολὺ τῆς νυκτὸς (ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι) ἀναλοῦντες σφᾶς αὐτοὺς, καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω, διεφθάρησαν. Καὶ αὐτοὺς οἱ Κερκυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες, ἀπήγαγον ἔξω τῆς πόλεως. τὰς δὲ γυναῖκας, ὅσαι ἐν τῷ τειχίσματι ἑάλωσαν, ἠνδραποδίσαντο. Τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν, καὶ ἡ στάσις πολλὴ γενομένη ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε. οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅ, τι καὶ ἀξιόλογον. Οἱ δὲ Ἀθηναῖοι ἐς τὴν Σικελίαν, ἵναπερ τὸ πρῶτον ὥρμηντο, ἀποπλεύσαντες, μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν.

49. Καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι, καὶ Ἀκαρνᾶνες, ἅμα τελευτῶντος τοῦ θέρους, στρατευσάμενοι, Ἀνακτόριον, Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ. Καὶ ἐκπέμψαντες Κορινθίους, αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. Καὶ τὸ θέρος ἐτελεύτα.

50. Τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος, Ἀριστείδης ὁ Ἀρχίππου, εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγὸς, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην, ἄνδρα Πέρσην, παρὰ βασιλέως πορευό-

finis turbarum Corcyraearum; exſulum fere nemo caedis ſuperſtes. 49. Athenienſes, Naupacto profecti, una cum Acarnanibus Anactorium Corinthiis eripiunt, atque ipſi oppidum tenent. 50. Perſico legato ad Lacedaemonios miſſo, ab Athenienſibus capto, epiſtolae, quas

ἐπειδὴ ἡμέρα ἐγένετο. Vulgo ſoloece legitur *ἐπειδὰν ἡμ. ἐγένετο.*

ὑπόλοιπον τῶν ἑτέρων, de exſulibus intellige.

49. *αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων.* Veram lectionem *οἰκήτορες* codices Caſſ. Aug. cum tribus Pariſſ. ſervarunt. Vulgo *οἰκήτορας,* quod per locum, quem occupat, non poteſt iungi cum *Κορινθίους,* ut Benedictus putat, et ipſum non habet verbum, unde pendeat.

μενον ἐς Λακεδαίμονα, ξυλλαμβάνει ἐν Ἠιόνι τῇ ἐπὶ Στρυμόνι. Καὶ αὐτοῦ κομισθέντος, οἱ Ἀθηναῖοι, τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων, ἀνέγνωσαν· ἐν αἷς, πολλῶν ἄλλων γεγραμμένων, κεφάλαιον ἦν πρὸς Λακεδαιμονίους, οὐ γιγνώσκειν ὅ, τι βούλονται· πολλῶν γὰρ ἐλθόντων πρέσβεων, οὐδένα ταυτὰ λέγειν. Εἰ οὖν τι βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας ὡς αὐτόν. Τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον, καὶ πρέσβεις ἅμα· οἳ, πυθόμενοι αὐτόθι βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα (κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν), ἐπ᾽ οἴκου ἀνεχώρησαν.

51. *Τοῦ δ᾽ αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ καινὸν, κελευσάντων Ἀθηναίων, καὶ ὑποπτευσάντων ἐς αὐτοὺς τὶ νεωτεριεῖν· ποιησάμενοι μέντοι πρὸς Ἀθηναίους πίστεις καὶ βεβαιότητα, ἐκ τῶν δυνατῶν, μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. Καὶ*

ferebat, adimuntur. Quarum ſententia cognita, Athenienſes eum cum ipſorum legatis Epheſum remittunt. Interim Artaxerxes moritur, ergo legati infecta re domum redeunt. 51. Chii, iuſſu Athenienſium, muros evertunt. Finis ſeptimi anni belli Peloponneſiaci.

50. *ἐκ τῶν Ἀσσυρίων γραμ.* Duckerus nimis ſtricte de litteris Aſſyriorum, quibus has epiſtolas ſcriptas putat, intelligit. Etiam Bredovius dubitat, Perſas Aſſyria dialecto locutos fuiſſe. Hoc tamen haec verba mihi indicare videntur; nam *Ἀσσύρια γράμματα* non eſſe Thucydidi *Περσικά*, Duckero concedo. *μεταγραψάμενοι* Schol. recte *μεθερμηνεύσαντες*.

οἳ, πυθόμενοι. Vitioſe in Lipſ. *οἱ πυθ.*

51. *ποιησάμενοι μέντοι — βουλεύσειν.* Fruſtra Benedictus, Vallam ſecutus, *περὶ σφᾶς* intelligit *contra Athenienſes*, cum hoc pronomen non poſſit non referri ad ſubiectum, quod latet in participio *ποιησάμενοι*, i. e. ad Chios. Quod dicit, Thucydidem hoc ſenſu ſcribere ſolere *σφᾶς αὐτούς*, id ne verum quidem eſt, niſi maiore quadam vi pronomen ſit pronuntiandum. Contra c. 48 init. eodem ſenſu ſimpliciter *σφᾶς* dictum eſt, in verbis: *καὶ ἐκέλευον σφᾶς,* (*τοὺς Κερκυραίους*) *εἰ βούλονται, αὐτοὺς* (*Ἀθηναίους*) *διαφθείρειν.* Locum igitur ſic verto: „quamquam fidem Athenienſibus fecerant, et ſatis dederant, ſe, quantum in ipſis eſſet, (ſ. quoad eius fieri poſſet) nihil de ſua conditione eſſe

ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

52. Τοῦ δ᾽ ἐπιγιγνομένου θέρους, εὐθὺς τοῦ τε ἡλίου ἐκλιπές τι ἐγένετο περὶ νουμηνίαν, καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου ἔσεισε. Καὶ οἱ Μιτυληναίων φυγάδες καὶ τῶν ἄλλων Λεσβίων, ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου, καὶ μισθωσάμενοι ἔκ τε Πελοποννήσου ἐπικουρικὸν, καὶ αὐτόθεν, ξυναγείραντες, αἱροῦσι Ῥοίτιον· καὶ λαβόντες δισχιλίους στατῆρας Φωκαΐτας, ἀπέδοσαν πάλιν, μηδὲν ἀδικήσαντες. Καὶ μετὰ τοῦτο ἐπὶ Ἄντανδρον στρατεύσαντες, προδοσίας γενομένης, λαμβάνουσι τὴν πόλιν. Καὶ ἦν αὐτῶν ἡ διάνοια, τάς τε ἄλλας πόλεις, τὰς Ἀκταίας καλουμένας, ἃς, πρότερον Μιτυληναίων νεμομένων, Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν, καὶ πάντων μάλιστα τὴν Ἄντανδρον· καὶ κρατυνάμενοι αὐτὴν (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι, αὐτόθεν, ξύλων ὑπαρχόντων καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ τῇ ἄλλῃ παρασκευῇ) ῥᾳδίως ἀπ᾽ αὐτῆς

52. Leſbii exſules urbes olim Leſbiorum in continente

novaturos." Non enim pro certo affirmare poterant Chii, omne partium ſtudium inter cives ſuos plane oppreſſum iri. Verba ἐκ τῶν δυνατῶν ſi malis ad praecedentia referre, non equidem adverſor, modo ne intelligas de ipſa murorum deſtructione.

52. οἱ Μιτυλην. φυγάδες. An illi, qui 3, 31 init. in Alcidae claſſe memorantur οἱ Λέσβιοι ξυμπλέοντες?

καὶ αὐτόθεν. Propter particulas τέ — καί haec verba ad praecedentia referenda, et comma poſt αὐτόθεν ponendum, ſicut iam Kiſt. monuerat. — Ῥοίτιον, ſive Ῥοίτειον, ut apud Strabonem et Stephanum et in cod. Caſſ. ſcribitur, urbs erat Myſiae. — στατῆρας Φωκαΐτας, nummus aureus, viliore pretio quam Colophonius. Vid. Hemſterhuiſ. ad Poll. IX. p. 1074.

ἐπὶ Ἄντανδρον. Etiam haec urbs in Myſia ſita erat. — Ἀκταίας, in littore ſitas. In verbis ἃς πρότερον Μιτυληναίων νεμομένων comma ponendum poſt ἅς, non poſt πρότερον. Tum enim, cum exſules Leſbii has urbes liberare vellent, illae in Athenienſium erant poteſtate, a ſuperatis Mitylenenſibus, quibus olim paruerant, receptae. Vid. 3, 50. — πάντων μάλιστα, neutrum πάντων, licet πόλεις praeceſſerit; cf. ad 3, 17.

καὶ κρατυνάμενοι αὐτήν —. Nominativus pro genitivo, quia haec participia κρατυνάμενοι, ὁρμώμενοι pendent a verbis ἦν αὐτῶν ἡ διάνοια, in quibus tamen latet notio verbi ἤλπιζον, vel διενοοῦντο. Vid. ad 2, 53. 4, 23.

ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι — παρασκευῇ.

ὁρμώμενοι, τήν τε Λέσβον, ἐγγὺς οὖσαν, κακώσειν, καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσασθαι. Καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.

53. Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ, καὶ δισχιλίοις ὁπλίταις, ἱππεῦσί τε ὀλίγοις, καὶ τῶν ξυμμάχων Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες, ἐστράτευσαν ἐπὶ Κύθηρα. Ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου, καὶ Νικόστρατος ὁ Διοτρεφοῦς, καὶ Αὐτοκλῆς ὁ Τολμαίου. Τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ Λακωνικῇ κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ Κυθηροδίκης ἀρχὴ ἐκ τῆς

ſitas occupare conſtituunt, et vero Antandrum proditione capiunt. 53. Athenienſes LX navibus bellum Cytheris

Alterum parentheſeos ſignum non poſt ἐπικειμένης, ſed poſt παρασκευῇ demum ponendum eſſe, dudum perſpexeram, et recte etiam Poppo monuit. Nam prius illud καί ante τῆς Ἴδης non reſpondet praecedenti τέ, ſed illuſtrat verba ξύλων ὑπαρχόντων; neque verba καὶ τῇ ἄλλῃ παρασκευῇ cum ſequentibus iungi ullo modo poſſunt. Lectionem praeſtantiſſimorum codd. σκευῇ non ſpreverim. Cum enim σκευή de armatura dicatur 3, 94., non abſurdum eſt, etiam h. l. eodem ſenſu hoc vocabulum accipere; minus certe placet Popponis coniectura τὴν ἄλλην παρασκευήν. Dativus enim recte iungitur verbis εὐπορία ἦν, „facultas enim erat tum ad naves faciendas, tum apparatui reliquo, i. e. ad reliquum apparatum." Quae oratio minus quidem concinna, Thucydidi tamen ob id ipſum magis propria videtur eſſe. Alioqui legere poſſis καὶ τῆς ἄλλης παρασκευῆς vel potius σκευῆς. Nam ῑ ſubſcriptum ſaepiſſime cum ς finali permutari, ſupra aliquoties notatum eſt. — Mox e codicibus plurimis cum Benedicto reſcripſimus χειρώσασθαι, pro χειρώσεσθαι. Cf. ad 4, 21.

53. Λακεδαιμόνιοι — τῶν περιοίκων. Vid. de perioecis ad cap. 8. Ceterum operae pretium ſit h. l. quaerere, quibusnam potiſſimum lectoribus Thucydides hiſtoriam belli Peloponneſiaci ſcripſerit, cum rem, Graecis haud dubie ſatis notam, tam accurate expoſuerit, ut etiam doceat, *inſulam* eſſe Cythera, et prope Maleam ſita, et ad Siculum i. e. Ionium et Creticum mare ſpectare. An forte ſummus hiſtoricus, memor promiſſi ſui (lib. 1, 22 extr. κτῆμά τε ἐς ἀεὶ — ξύγκειται) eiusmodi explicatione ſequioribus temporibus conſulere volebat? Certe ſaepius de rebus geographicis uberius, quam aequalibus Graecis et vero Atticis opus fuiſſe videatur, exponit, ut 2, 102. de Echinadibus inſulis; 3, 51. de inſula Minoa. Nonnumquam adeo, quod in rerum geſtarum narratione vix ac ne vix quidem reperias, geographica retractat, ſupra dictorum immemor, an de induſtria. Vide quae de Thyrea tradit 2, 27. et iisdem fere verbis repetit 4, 56. Cf. 5, 41.

Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος, ὁπλιτῶν τε φρουρὰν διέπεμπον ἀεὶ, καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο. Ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προςβολή, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ᾗπερ μόνον οἷόν τ' ἦν κακουργεῖσθαι. πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ Κρητικὸν πέλαγος.

54. Κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ, δέκα μὲν ναυσὶ καὶ διςχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ πόλιν, Σκάνδειαν καλουμένην, αἱροῦσι· τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν τετραμμένα, ἐχώρουν ἐπὶ τὴν ἐπὶ θαλάσσῃ πόλιν τῶν Κυθηρίων, καὶ εὗρον εὐθὺς αὐτοὺς ἐστρατοπεδευμένους ἅπαντας. Καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι, κατέφυγον ἐς τὴν ἄνω πόλιν. Καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν, καὶ τοὺς ξυνάρχοντας, Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν, πλὴν θανάτου. Ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων. διὸ καὶ θᾶσσον καὶ ἐπιτη-

inferunt. Eius insulae brevis descriptio. 54. Recepta Scandea urbe maritima, Cythera quoque aggrediuntur et,

54. τὴν ἐπὶ θαλάσσῃ πόλιν, Σκάνδειαν κ. Paullo inferius eadem urbs vocatur τὸ ἐπὶ τῷ λιμένι πόλισμα. Ne vero Scriptorem sibi contradicere putes, diligentius verba eius spectanda sunt. Dicit enim h. l. Σκάνδειαν αἱροῦσι, et inferius post factam demum compositionem τὴν Σκάνδειαν παραλαβόντες. Intelligas igitur divisum Atheniensium exercitum eodem tempore adversus utrumque oppidum profectum esse, atque circa idem tempus alteram partem Scandeam *impetu*, alteram Cythera compositione interposita recepisse. — κατασχόντες, i. e. προσορμίσαντες τοῖς Κυθήροις, τῇ νήσῳ.

καὶ μάχης γενομένης. Hanc lectionem vulgatae γιγνομένης, quae paucorum et deteriorum codicum est, praetulimus, probante Benedicto.

ἐς τὴν ἄνω πόλιν. Intelligitur ἡ ἀκρόπολις. At alibi saepe apud Thucydidem ἡ ἄνω πόλις dicitur oppidum a mari remotum, cui portus opponitur, ut 3, 34. 4, 57. 66. Quod in hunc locum non cadit, quum Cythera quoque dicantur ἡ ἐπὶ θαλάσσῃ πόλις τῶν Κυθηρίων, nisi forte haec urbs Scandeae illa appellatione opponatur.

δειότερον τό τε παραυτίκα καὶ τὸ ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς. Ἀνέστησαν γὰρ [ἂν], οἱ Ἀθηναῖοι Κυθηρίους, Λακεδαιμονίους τε ὄντας, καὶ ἐπὶ τῇ Λακωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης. Μετὰ δὲ τὴν ξύμβασιν οἱ Ἀθηναῖοι τήν τε Σκάνδειαν, τὸ ἐπὶ τῷ λιμένι πόλισμα, παραλαβόντες, καὶ τῶν Κυθήρων φυλακὴν ποιησάμενοι, ἔπλευσαν ἔς τε Ἀσίνην καὶ Ἕλος καὶ τὰ πλεῖστα τῶν περὶ θάλασσαν. καὶ ἀποβάσεις ποιούμενοι, καὶ ἐναυλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη, ἐδῄουν τὴν γῆν ἡμέρας μάλιστα ἑπτά.

55. Οἱ δὲ Λακεδαιμόνιοι, ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν ἀποβάσεις ποιήσεσθαι τοιαύτας, ἀθρόᾳ μὲν οὐδαμοῦ τῇ δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν

compoſitione facta, capiunt, et utrobique praeſidium relinquunt. Ceteris navibus Laconicam ſeptem ferme dies devaſtant. 55. Lacedaemoniorum apparatus ad defen-

τὸ ἔπειτα τὰ τῆς ὁμολογίας. Articulum τά omittunt plerique codices, ut genitivus τῆς ὁμολογίας a τό τε παραυτίκα καὶ τὸ ἔπειτα pendere videatur. Neque enim per ſe ſatis valet Duckeri defenſio, ab ſimilitudine ultimae vocabuli ἔπειτα ſyllabae repetita, cum etiam vice verſa haec res adiiciendi articuli cauſa eſſe potuerit. Sed accedit alia eum ſervandi cauſa. Nimirum compoſito *una* erat, iam ante deditionem urbis facta. τὸ παραυτίκα pertinet ad faciendam per praetores compoſitionem, τὸ ἔπειτα ad exſequendam per Athenienſes.

ἀνέστησαν γὰρ [ἂν] οἱ Ἀθηναῖοι. Cum infra cap. 57. tradat Auctor, nonnullos tantum Cytheriorum ab Athenienſibus eſſe expulſos (ἦγον δέ τινας ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους), vana eſt interpretatio eorum, qui ἀνέστησαν intelligunt *emigrare iuſſerunt*. Heilmannus quidem ſenſum verum expreſſit in verſione: „alioquin enim Athenienſes Cytherios ex ſuis ſedibus migrare iuſſiſſent;" ſed eum his verbis elici poſſe putavit, ſubintellecta particula ἄν, quam rationem iure refellit Poppo, qui ἄν neceſſarium huic loco, et poſt γάρ addendum cenſet, probante Hermanno. Hos ſecutus, ἄν inſerui, ſed uncis incluſum.

55. καὶ ἐς τὴν γῆν σφῶν ἀποβ. π. τοιαύτας. Participium προσδεχόμενοι, unde haec pendent, ad tempus ſpectare prius, quam quo Aſinam, Helos, et alia maritima oppida Laconicae invaderent Athenienſes, docet particula *καί*, quae h. l. notat *vel*. Nam Lacedaemoniorum conſilia enarraturus Auctor, ab eo incipit temporis momento, cum Cythera in hoſtium poteſtatem veniſſe comperiſſent. — τοιαύτας, quales in Cythera feciſſent.

χώραν φρουρὰς διέπεμψαν, ὁπλιτῶν πλῆθος, ὡς ἑκαστιχόσε ἔδει. Καὶ τὰ ἄλλα ἐν φυλακῇ πολλῇ ἦσαν, φοβούμενοι, μὴ σφίσι νεώτερόν τι γένηται τῶν περὶ τὴν κατάστασιν, γεγενημένου μὲν τοῦ ἐν τῇ νήσῳ πάθους ἀνελπίστου καὶ μεγάλου, Πύλου δὲ ἐχομένης, καὶ Κυθήρων, καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου. ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κατεστήσαντο, καὶ τοξότας· ἔς τε τὰ πολεμικὰ, εἴπερ ποτὲ, μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο, ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ τούτῳ πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεως τὶ πρᾶξαι. Καὶ ἅμα τὰ τῆς τύχης πολλὰ, καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς, ἔκπληξιν μεγίστην παρεῖχε. Καὶ ἐδεδίεσαν, μή ποτε αὖθις ξυμφορά τις αὐτοῖς περιτύχῃ, οἷα καὶ ἐν τῇ νήσῳ. Ἀτολμότεροι δὲ δι᾽ αὐτὸ ἐς τὰς μάχας ἦσαν, καὶ πᾶν ὅ, τι

ſionem regionis ſuae, eorumque remiſſio et metus ob

τῶν περὶ τὴν κατάστασιν. Schol. bene *τῶν περὶ τὴν πολιτείαν αὐτῶν καὶ τὴν χώραν.* Sine dubio Helotes metuebant. cf. c. 41. *Οἱ Λακεδαιμόνιοι, ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ ληστείας, καὶ τοῦ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι, μὴ καὶ ἐπὶ μακρότερον σφίσι τὶ νεωτερισθῇ τῶν κατὰ τὴν χώραν —.* *ἐν τῇ νήσῳ,* Sphacteria.

μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο. Hanc Lacedaemoniorum in rebus, praeſertim bellicis, gerendis *βραδύτητα* Corinthius reprehendit 1, 71.

οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεως τὶ πρᾶξαι. Vulgata lectio *τῆς δοκήσεως τὶ πράξειν* in omnibus fere codicibus reperitur. Unus Regius a prima manu habet veram lectionem *πρᾶξαι,* et inter verſus ſcriptum *πράξειν* ex correctione. Quae lectio ſi vera eſſet, Thucydides negaret, Athenienſes eſſe *εὐέλπιδας.* Idem autem ſupra 1, 70. in Corinthii oratione ſcripſerat: *Οἱ μὲν (Ἀθηναῖοι) καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες.* Deinde neminem poenitere poteſt eorum, quae facturus eſt, ſed quae perfecerit. Quam in ſententiam Thucydides l. l. dicit de iisdem Athenienſibus: *Ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται· ἃ δ᾽ ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες.* Vulgatam ferrem, ſi Thucydides ſcripſiſſet: *τὸ μὴ ἐπιχειρούμενον ἤδη ἀεὶ ἐλλιπὲς ἦν τῆς δοκ. τὶ πράξειν.* „Nihil ſe profecturos exiſtimabant, niſi iam nunc exſequerentur.“

κινήσειαν, ᾤοντο ἁμαρτήσεσθαι, διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν.

56. Τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν, ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι, καὶ ἐν τῷ τοιούτῳ· μία δὲ φρουρά, ἥπερ καὶ ἠμύνατο περὶ Κοτύρταν καὶ Ἀφροδισίαν, τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν· καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι, καὶ ὅπλα ἐλήφθη. Τροπαῖόν τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Κύθηρα. Ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηράν· καὶ δῃώσαντες μέρος τι τῆς γῆς, ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἥ ἐστι μὲν τῆς Κυνουρίας γῆς καλουμένης, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς· νεμόμενοι δὲ αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν, διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας, καὶ ὅτι, Ἀθηναίων ὑπακούοντες, ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἕστασαν.

clades acceptas. 56. Athenienſes regionem cuſtoditam videntes redeunt Cythera, et inde verſus Thyream, quam Aeginetae Lacedaemoniorum munificentia habitabant.

56. *ἐν τῷ τοιούτῳ*, in hoc ſtatu rerum, cum ita, ut ſupra demonſtratum eſt, animo affecti eſſent.

περὶ Κοτύρταν. Ita cum Benedicto e praeſtantiſſimis libris, quibus ordo litterarum apud Stephanum et unus codex adſtipulatur, edidimus. — Pro *Θυρέαν* Reg. Cl. hic et 2, 27., ubi eandem rem narrat Thucydides, item 5, 41. ſcribunt *Θυραίαν*, quomodo noſtro loco etiam in Caſſ. Aug. Moſq. ſcriptum eſt. Cf. Duck.

ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἕστασαν. Etſi codices magno numero *ἀεὶ ἑστᾶσι* praebent, vulgata tamen vera eſt. Non poteſt Thucydides h. l. ad ea tempora reſpicere, quibus haec ſcripſit, cum Aeginetas eos, de quibus nunc loquitur, c. ſeq. interemptos dicat omnes. Neque eo ipſo tempore, quo Aeginetae Cynuriam terram incolebant, Athenienſium imperio erant ſubiecti, ſed antequam ab Athenienſibus ex ſua inſula expulſi eſſent, 2, 27. Ad illud autem tempus,

57. Προσπλεόντων οὖν ἔτι τῶν Ἀθηναίων, οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ, ὃ ἔτυχον οἰκοδομοῦντες, τεῖχος ἐκλείπουσιν, ἐς δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν, ἀπέχουσαν σταδίους μάλιστα δέκα τῆς θαλάσσης. Καὶ αὐτοῖς τῶν Λακεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυνετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν, δεομένων τῶν Αἰγινητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κατακλείεσθαι. Ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα, ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι, ἡσύχαζον. Ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόντες, καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ, αἱροῦσι τὴν Θυρέαν. Καὶ τήν τε πόλιν κατέκαυσαν, καὶ τὰ ἐνόντα ἐξεπόρθησαν· τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες, ἀφίκοντο ἐς τὰς Ἀθήνας, καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς ἦν τῶν Λακεδαιμονίων, Τάνταλον τὸν Πατροκλέους· ἐζωγρήθη γὰρ τετρωμένος. Ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι. Καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς

57. Ibi deſcendunt toto exercitu, et urbem capiunt, incolas partim in praelio, partim Athenas abductos necant; Cytheriis autem tributum quatour talentorum im-

quo Aeginetae Athenienſibus parebant, haec pertinere, manifeſtum eſt verbis *Ἀθηναίων ὑπακούοντες, ὅμως — ἕστασαν*, i. e. licet ſubditi Athenienſibus, tamen cum illis ſemper ſentiebant. Pronomen *ἐκείνων* ad remotius ſubiectum *Λακεδαιμόνιοι* pertinet, cuius in locum, mutata per *ὅτι* ſtructura, alterum ſubiectum (*Αἰγινῆται*) ſucceſſit. Denique ne hoc quidem praetermittendum eſt, in praeſtantiſſimo cod. Aug. ſine accentu ſcribi *ἑστασι*, et a manu antiqua in margine adſcriptum eſſe (item in Caſſ.) γρ. *ἕστασαν*.

57. *ἐς δὲ τὴν ἄνω πόλιν*: Cf. ad. c. 54.

οὐκ ἠθέλησαν. Hanc plurimorum codicum lectionem cum Duckero et Benedicto praetulimus vulgatae *ἠθέλησεν*, tamquam difficiliorem et elegantiorem. Similiter c. 56. *μία δὲ φρουρὰ — τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν· καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι, καὶ ὅπλα ἐλήφθη*. — Mox pro *αὐτούς* ex plerisque omnibus libris aptiorem aliisque probatam lectionem recepi *αὐτοῖς*.

νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους, οἰκοῦντας τὴν ἑαυτῶν, φόρον τέσσαρα τάλαντα φέρειν· Αἰγινήτας δὲ ἀποκτεῖναι πάντας, ὅσοι ἑάλωσαν, διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν· Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους καταδῆσαι.

58. Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Καμαριναίοις καὶ Γελῴοις ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν, ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν· καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων, καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον· καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακούσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτοὺς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.

59. „ΟΥΤΕ πόλεως ὢν ἐλαχίστης, ὦ Σικελιῶται, τοὺς λόγους ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην

perant. 58. Sicilienſium de pace reſtituenda concilium. 59 — 64. Oratio Hermocratis Syracuſani.

καταδέσθαι ἐς τὰς νήσους. Quas inſulas intelligit? Puto Athenienſes inſulis, ipſorum imperio ſubiectis, maxime Cycladibus ad cuſtodiendos captivos eſſe uſos. Nam 5, 18. bis legimus: (ἀποδόντων οἱ Ἀθηναῖοι Λακεδαιμονίοις) τοὺς ἄνδρας, ὅσοι εἰσὶ Λακεδαιμονίων ἐν τῷ δημοσίῳ τῶν Ἀθηναίων, ἢ ἄλλοθί που, ὅσης Ἀθηναῖοι ἄρχουσιν, ἐν δημοσίῳ. 5, 84. Argivi quidam collocantur in inſulis propinquis, quibus Athenienſes imperabant. Et 3, 72. tradit Thucydides, Athenienſes Corcyraeos quosdam ſibi inviſos comprehendiſſe et in Aegina depoſuiſſe. Cf. Wolfius ad Demoſth. Leptin. p. 295. — Ceterum Diodorus 12, 65 extr. etiam Aeginetas in vincula coniectos, non necatos eſſe ab Athenienſibus, refert. Sed quam negligenter idem Scriptor Thucydidem noſtrum legerit, et alibi prodit. Ita e. c. lib. 12. c. 67 init. Athenienſes a Braſida Niſaea eiectos narrat, cum Thucydides 4, 73 extr. eos Niſaeam ſe recepiſſe, et oppidum illud in Athenienſium poteſtate per foedus manſiſſe teſtetur 5, 17. Quid ergo? Male intellexit verba 4, 74. ἀποχωρησάντων τῶν Ἀθηναίων ἐπ' οἴκου, quae de maiore illo exercitu adverſus Megara profecto intelligenda erant. Cf. 12, 72. ubi cum ſcriberet: μετὰ δὲ ταῦτα Λάμαχος — perperam cepit Thucyd. 4, 75.

γνώμην εἶναι ἀποφαινόμενος τῇ Σικελίᾳ πάσῃ. Καὶ περὶ μὲν τοῦ πολεμεῖν, ὡς χαλεπὸν, τί ἄν τις πᾶν τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; Οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾷν, οὔτε φόβῳ, ἢν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται. Ξυμβαίνει δὲ τοῖς μὲν, τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν· οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦσθαι· αὐτὰ δὲ ταῦτα εἰ μὴ ἐν καιρῷ τύχοιεν ἑκάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι. Ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν ἄξιον γένοιτο. Τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι δὴ θέσθαι, τό τε πρῶτον ἐπολεμήσαμεν, καὶ νῦν πρὸς ἀλλήλους δι᾽ ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι· καὶ ἢν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν.

60. „Καίτοι γνῶναι χρὴ, ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ᾽ εἰ ἐπιβουλευομένην τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω, ὑπ᾽ Ἀθηναίων, δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακτὰς πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε Ἀθηναίους νομίσαι, οἳ, δύναμιν ἔχοντες μεγίστην τῶν Ἑλλήνων, τάς τε ἁμαρτίας ἡμῶν τηροῦσιν, ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι ἐννόμῳ ξυμμαχίας τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίστανται. Πόλεμον γὰρ αἰρομένων ἡμῶν, καὶ ἐπα-

Delectis Atheniensium consiliis, suadet pacis inter ipsos

59. *αὐτὸ δρᾷν*, i. e. bellum inferre. *ἀμαθίᾳ*, inscitia belli, eiusque laborum, periculorum, miseriarum.

εἰ μὴ ἐν καιρῷ. Codices multi omittunt praepositionem *ἐν*, quae tamen abesse non potest, neque in scholiis desideratur.

τό τε πρῶτον. Vulgo *τότε πρῶτον*, unde fecimus *τό τε πρῶτον*, quo arctius duo membra particulis *τέ — καί* et inter se, et cum praecedentibus iunguntur. Nam *εὖ* pertinet ad *θέσθαι*. *πολεμεῖν* autem hic et paullo post significat *bellum incipere*, *instaurare*. *Τότε* per se nimis indefinitum est.

γομένων αὖ τοὺς ἄνδρας, οἳ καὶ τοῖς μὴ ἐπικαλουμένοις αὐτοὶ ἐπιστρατεύουσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκὸς, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλέονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς, τάδε πάντα πειράσεσθαι ὑπὸ σφᾶς ποιεῖσθαι.

61. „Καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προςήκοντα ἐπικτωμένους μᾶλλον, ἢ τὰ ἕτοιμα βλάπτοντας, ξυμμάχους τε ἐπάγεσθαι, καὶ τοὺς κινδύνους προςλαμβάνειν· νομίσαι τε, στάσιν μάλιστα φθείρειν τὰς πόλεις, καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι ξύμπαντες μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν. Ἃ χρὴ γνόντας, καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι, καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν· παρεστάναι δὲ μηδενὶ, ὡς οἱ μὲν Δωριεῖς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές. Οὐ γὰρ τοῖς ἔθνεσιν ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν, ἀλλὰ

Sicilienses restitutionem atque Atheniensium per socios

60. *τοὺς ἄνδρας, οἳ καὶ τοῖς μὴ ἐπικαλ. αὐτοὶ ἐπιστρατεύουσι.* Athenienses describit, quos Leontini arcessiverant. — *αὐτοί*, sponte. Pro *τοῖς ἐπικαλουμένοις* in codd. Cass. Aug. est *τοὺς ἐπικαλουμένους*, quod praeferebat Poppo, qui utramque constructionem Thucydidi usitatam esse docet p. 169.

καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις. Genitivus *τῆς ἀρχῆς* pendere videtur a subaudiendo vocabulo *μέρος*, quod ipsum legitur 7, 56. *τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες.* Ceterum *ἀρχὴν* Atheniensium, non Siculorum, significari, propter Scholia monere non alienum erit. — *πειράσασθαι* et hic codd. Cass. Aug. Vid. ad 4, 21.

61. *τὰ ἕτοιμα βλάπτοντας*, i. e. *τὰ οἰκεῖα*, propria. 1, 70. *τὰ ἕτοιμα ἂν βλάψαι.* Sententia est: Socii nobis tum potius arcessendi sunt, cum externa bella, quibus alios subacturi sumus, gerimus; quam cum nostra perdimus.

κατὰ πόλεις δὲ διέσταμεν, non spatio, sed dissensione seiuncti.

παρεστάναι δὲ μηδενὶ, int. *τὴν δόξαν ταύτην.* „Non oportet in mentem cuipiam venire.“ Cum autem *παρεστάναι* pendeat a *χρὴ*, minus plene interpunxi post *Σικελίαν.* — *πολέμιοι τοῖς Ἀθηναίοις*, ut Ionibus. Sensus: Nemo cogitet, eos, qui ex nobis Dorienses sunt, idcirco Atheniensium hostes esse.

οὐ γὰρ τοῖς ἔθνεσιν. — ἐπίασιν. Verba *τοῦ ἑτέρου* cum Kistemakero ad *ἔχθει* refero,

τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. Ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδικοῦ γένους παρακλήσει. Τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προςβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. Καὶ τοὺς μὲν Ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι, πολλὴ ξυγγνώμη· καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι, ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι. Πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. Ὅσοι δέ, γιγνώσκοντες αὐτὰ, μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας, τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν. Τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν. Οὐ γὰρ ἀπὸ τῆς αὑτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. Καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνη δὲ διάφορα ἀπραγμόνως παύονται· οἵ τ' ἐπίκλητοι, εὐπρεπῶς ἄδικοι ἐλθόντες, εὐλόγως ἄπρακτοι ἀπίασι.

ſuas remiſſionem.

commate ſtatim poſt πέφυκε poſito, cuius verbi ſubiectum eſt ſecundum Scholiaſtam ἡ Σικελία.

οὐδεπώποτε. Vulgo οὐδέποτε, quod iam alii e codd. correxerunt. — αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο, ipſi cupidius quam pro ſocietatis officio opem iis tulerunt, qui numquam antea ſibi auxilium praebuerant. Τὸ δίκαιον intellige ſocii officium, et iunge μᾶλλον προθύμως. Schol. προθυμότερον ἤπερ ἐχρῆν κατὰ συμμαχίαν, ἐβοήθησαν. Ita enim ibi diſtinguendum, non poſt ἐχρῆν.

μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας. Declinavit ab inchoata ſtructura ὅσοι — μὴ προσκοποῦμεν, ſecundum quam ſubiungere debebat: καὶ ὅσοι μὴ τοῦτο πρεσβύτατον ἥκομεν κρίναντες, quaſi ſupra dixiſſet εἰ δὲ, γιγνώσκοντες — προσκοποῦμεν, vel εἰ δέ τις, γιγνώσκων αὐτὰ, μὴ ὀρθῶς προσκοπεῖ. — αὐτά, quod modo de humana natura dixerat.

οὐ γὰρ ἀπὸ τῆς αὑτῶν —. In bonis libris eſt αὐτῶν, ut ſupra c. 42 extr., infra c. 62. in pleriſque et ſaepe alibi in Thucydidis codicibus. Vid. ad 3, 61. Parentheſeos ſigna, quibus vulgo haec verba usque ad ἐπικαλεσαμένων incluſa ſunt, ſuſtuli. Sententia enim non tam interiecta ceteris putanda eſt, ſed pro pacis componendae facultatis argumento habenda.

καὶ οὕτως — παύονται. Neutrum pluralis cum Abreſchio Gottleberus ad duo nomina per-

62. „Καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους, τοσοῦτον ἀγαθὸν εὖ βουλευομένοις εὑρίσκεται. Τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε, εἴ τῳ τί ἐστιν ἀγαθὸν, ἢ εἴ τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον, ἢ πόλεμος, τὸ μὲν παῦσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασῶσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε, ὅσα ἐν μήκει λό-

tinere falſo opinatur. Nam haec duo nomina particulis οὐ — δέ disiuncta ſunt. In codd. Ar. C. Aug. legitur διαφοραί pro vulgato διαφορά. Sed vera lectio eſt διάφορα, quam repoſuit Schaeferus. Neutrum pluralis verbo plurali iungi, ubi Scriptor aliud nomen maſculini vel feminini generis in mente habet, docet Poppo p. 151 ſeq. cf. ſupra ad 1, 90. Thucydidis menti obverſabatur vocabulum διαφοραί. Etiam 5, 26. pro vulgato ἁμαρτήματα ἐγένετο ſcribendum eſt e codd. ἐγένοντο. Diſtinguit autem Hermocrates inter πόλεμον, et διάφορα. Bellum geritur cum exteris, et vi plerumque dirimitur, cum ad internecionem usque pugnetur; discordia autem popularium pace interpoſita finitur. Hoc ita fieri poſſe docet (οὕτως, i. e. εἰ πρὸς ἀλλήλους ξυμβαίημεν), ſi Sicilienſes inter ſe compoſitionem faciant. Athenienſes enim, qui ſpecioſo ſub praetextu, ſed infeſto animo veniſſent, honeſta de cauſa infecta re abituros.

62. ἢ δοκεῖτε. Verbum δοκεῖτε propter ſequentes nominativos ἡσυχία, πόλεμος ferri nequit. Itaque Reiskius coniiciebat δοκεῖ γε, Gottleberus δοκεῖ δέ, Bauerus δοκεῖ τι, Kiſtemakerus, probantibus Benedicto et Poppone, δοκεῖ τε, ut hoc τέ ad ſequens καὶ τὰς τιμάς referretur. Sed ne haec quidem ratio (multo minus illae superiores) ſine difficultate eſt, tum quia καί non niſi explicat praecedentia, tum quod τέ non ſuo loco poſitum eſſe videatur. Niſi forte exiſtimes, Thucydidem negligentius locutum eſſe pro: ἢ, εἴ τῳ — ἐναντία, οὔτε ἡσυχία δοκεῖ μᾶλλον — ξυνδιασῶσαι, οὔτε τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν ἡ εἰρήνη. Nam etiam alia ſunt, quae hanc periodum premant. Primum enim tranſitus fit a ſtructura per nominativum ad accuſativum cum infinitivo; porro converſo ordine τὸ μέν pertinet ad poſterius τὰ ἐνάντια, τὸ δέ autem ad prius τὶ ἀγαθόν; deinde poſteriori membro deeſt negatio, quam ſententia poſcit. Sed hanc ab Auctore omiſſam eſſe, quum antea οὐ δοκεῖτε ſcripſiſſe ſibi videretur, (ut οὐ ad δοκεῖτε, non ad μᾶλλον pertineret) rectius ſtatuit Poppo, quam ceteri, qui negationem partim excidiſſe, partim ſubaudiri poſſe contendunt. Sane nonnunquam Thucydides aliud vocabulum in mente habuit, aliud vere ſcripſit, ut paullo ſuperius cap. 61. Iſto tamen argumento h. l. abuti nolim, quod veriſimilius mihi videtur, lectionem ab interprete, extrema reſpicienti, corruptam eſſe. Itaque, ſi coniecturae locus, legere malim δοκεῖ, expuncta ſyllaba τε. Ceterum pro ἀκινδυνοτέρας in vulgatis exemplaribus vitioſe legitur ἀκινδυνωτέρας, ut c. 92. ἐπικινδυνωτέραν.

γῶν ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν; Ἃ χρὴ σκεψαμένους, μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὑτοῦ τινὰ σωτηρίαν μᾶλλον ἀπ᾽ αὐτῶν προϊδεῖν. Καὶ εἴ τις βεβαίως τὶ ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ᾽ ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς, ὅτι πλείους ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας, καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσον οὐκ ἠμύναντο, ἀλλ᾽ οὐδ᾽ ἐσώθησαν, τοῖς δ᾽, ἀντὶ τοῦ πλέον ἔχειν, προσκαταλιπεῖν τὰ αὑτῶν ξυνέβη. Τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδικεῖται· οὐδὲ ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. Τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ· πάντων τε σφαλερώτατον ὂν, ὅμως καὶ χρησιμώτατον φαίνεται. Ἐξ ἴσου γὰρ δεδιότες, προμηθείᾳ μᾶλλον ἐπ᾽ ἀλλήλους ἐρχόμεθα.

65. „Καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον δέος, καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας Ἀθηναίους κατ᾽ ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης, ὧν ἕκαστός τις ᾠήθημεν πράξειν, ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν· καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἀΐδιον ξυμβῶμεν, εἰ δὲ μὴ, χρόνον ὡς πλεῖστον σπεισάμενοι, τὰς ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα. Τὸ ξύμπαν τε δὴ, γνῶμεν, πει-

ὥσπερ περὶ τοῦ πολεμεῖν. Respicit ad ea, quae c. 59 init. dixerat: *περὶ τοῦ πολεμεῖν, τί ἄν τις μακρηγοροίη;* — *ἀπ᾽ αὐτῶν, τῶν ἐμῶν λόγων,* quibus usus suam quisque salutem poterat parare.

τῷ παρ᾽ ἐλπίδα, i. e. *τύχῃ* vel *ξυμφορᾷ.* Paullo post dicit *τὸ ἀστάθμητον τοῦ μέλλοντος.* — *δικαίως,* i. e. quemadmodum debet vel meretur.

ὅμως καὶ χρησιμώτατον φαίνεται. Propterea quod cautiores nos facit, certe debet facere haec futuri inscitia, ut statim subiungit.

63. *καὶ τὸ ἐλλιπὲς τῆς γνώμης* — subaudi *ἐκείνων τῶν ἔργων,* quo pertinet *ὧν.* Defectus in eo, in quo profectum sperabamus. Post *πράξειν* autem comma sit. *ταῖς κωλύμαις ταύταις,* intelligo tum futurarum rerum eventum incertum, tum Atheniensium praesentiam et interventionem, quibus rebus Siculorum spes adhuc labefactata erat.

θόμενοι μὲν ἐμοὶ, πόλιν ἔξοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς, αὐτοκράτορες ὄντες, τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα. Ἢν δὲ ἀπιστήσαντες, ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρήσασθαί τινα, ἀλλὰ, καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ, κατ' ἀνάγκην γιγνώμεθα.

64. „Καὶ ἐγὼ μὲν, ὅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν τε μεγίστην παρεχόμενος, καὶ ἐπιὼν τῳ μᾶλλον, ἢ ἀμυνούμενος, ἀξιῶ προειδομένους αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν, ὥστε αὐτοὺς τὰ πλείω βλάπτεσθαι· μηδὲ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐτοκράτωρ εἶναι, καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς ἡσσᾶσθαι. Καὶ τοὺς ἄλλους δικαιῶ ταυτό μοι ποιῆσαι ὑφ' ὑμῶν αὐτῶν, καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. Οὐδὲν γὰρ αἰσχρὸν, οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα τινὰ, Δωριέως, ἢ Χαλκιδέα, τῶν ξυγγενῶν· τὸ δὲ

τὸν εὖ καὶ κακῶς δρῶντα —. Verbis εὖ δρῶντα Athenienſes tangit, qui ſub ſpecioſo praetextu, quaſi ſociis eſſent opitulaturi, totam Siciliam ſibi ſubiicere conabantur. Lectionem ἀπιστήσαντες, ἄλλοις ὑπακούσωμεν, cuius interpretamentum ἀποστήσαντες ἀλλήλων, ἄλλοις ὑπακ. Kiſtemakero placebat, praeter meliores et plurimos libros tuetur etiam hoc ſcholion: ἀπιστήσαντες] τοῖς ἐμοῖς λόγοις δηλονότι.

οὐ περὶ τοῦ τιμωρήσασθαί τινα. Abruptius etiam h. l. videtur loqui Thucydides, ut et verbum huic membro aptum addere neglexerit, neque poſterioris membri verbum illi ſatis accommodarit. Quare ſupplet Scholiaſta: ὁ ἀγὼν ἡμῖν ἔσται. Poſt ἀλλά interpunxi, non poſt καί, ut fecit Bened., quem non magis ſequimur in lectione γιγνόμεθα, quae multorum meliorumque librorum eſt, recipienda, e qua Poppo fecit γιγνοίμεθα, facili quidem correctione, ſed non neceſſaria. Cf. ad 1, 84. 4, 86.

64. ἢ ἀμυνούμενος. Ita recte Benedictus e duodecim libris, quibus et Vallae verſio accedit, reſcripſit pro vulgato ἀμυνόμενος. Illud etiam propter ἐπιών, quod item h. l. futurum eſt, cuius rei ignorantia librarios ad correctionem impellere potuit, aptius eſt.

προειδομένους αὐτῶν, cum altero Schol. intelligo: nobis ipſis proſpicientes. Αὐτῶν autem recte habet, ne αὑτῶν Scholiaſtam legiſſe putes. — Infinitivus ἡγεῖσθαι pendet ab ἀξιῶ, quod ex antecedentibus repetendum eſt. Quare, cum haec ad ipſum Hermocratem pertineant, colon poſt βλάπτεσθαι poſui pro commate. — ὑφ' ὑμῶν αὐτῶν, i. e. ſponte, ſimpliciter. ποιῆσαι ταυτό μοι, ἡσσᾶσθαι καὶ ξυγχωρεῖν.

ξύμπαν, γείτονας ὄντας, καὶ ξυνοίκους μιᾶς χώρας, καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας· οἵ πολεμήσομέν τε, οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν καθ' ἡμᾶς αὐτοὺς, λόγοις κοινοῖς χρώμενοι. Τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀθρόοι ἀεὶ, ἤν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ, καθ' ἑκάστους βλαπτόμενοι, ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα, οὐδὲ διαλλακτάς. Τάδε γὰρ ποιοῦντες, ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι, καὶ οἰκείου πολέμου· καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην."

65. Τοιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος, πειθόμενοι οἱ Σικελιῶται, αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ, ὥςτε ἀπαλλάσσεσθαι τοῦ πολέμου, ἔχοντες, ἃ ἕκαστοι ἔχουσι· τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι, ἀργύριον τακτὸν τοῖς Συρακουσίοις ἀποδοῦσιν. Οἱ δὲ τῶν Ἀθηναίων ξύμμαχοι, παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας, εἶπον, ὅτι ξυμβήσονται, καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. Ἐπαινεσάντων δὲ αὐτῶν, ἐποιοῦντο τὴν ὁμολογίαν· καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. Ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι, τοὺς μὲν, φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα· τὸν δὲ τρίτον Εὐρυμέδοντα χρήματα ἐπράξαντο· ὡς, ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι, δώροις πεισθέντες ἀποχωρήσειαν. Οὕτω, τῇ τε παρούσῃ εὐτυχίᾳ χρώμενοι, ἠξίουν σφίσι μηδὲν

65. Cuius auctoritati cum paruiſſent Sicilienſes, et Athenienſium duces et ipſi pacis conditiones accepiſſent,

ἀθρόοι ἀεί. Codicibus plerisque iubentibus addendum eſt *ἀεί.*

65. *Μοργαντίνην*, Siciliae urbem. *αὐτῶν τοὺς ἐν τέλει ὄντας*, Athenienſium duces.

οὕτω, τῇ τε παρούσῃ εὐτυχίᾳ. Cum magno numero li-

ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. Αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία, αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

66. Τοῦ δ' αὐτοῦ θέρους Μεγαρεῖς οἱ ἐν τῇ πόλει, πιεζόμενοι ὑπό τε Ἀθηναίων τῷ πολέμῳ, ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐςβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἵ, στασιασάντων, ἐκπεσόντες ὑπὸ τοῦ πλήθους, χαλεποὶ ἦσαν λῃστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις, ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας, μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. Οἱ δὲ φίλοι τῶν ἔξω, τὸν θροῦν αἰσθόμενοι, φανερῶς μᾶλλον, ἢ πρότερον, καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. Γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους, δείσαντες, πρὸς τοὺς τῶν Ἀθηναίων στρατηγούς, Ἱπποκράτην τε τὸν Ἀρίφρονος, καὶ Δημοσθένην τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ

hi, Athenas reverſi, a populo ſuo partim exilio, partim multa damnantur, quod, cum Siciliam occupare potuiſſent, corrumpi ſe paſſi eſſent. 66. Megarenſes et ab Athenienſibus, et ab exſulibus preſſi, partim hos recipere, partim cum Athenienſibus paciſci ſtatuunt, hisque muros

bri τε poſt τῇ inſerant, haec particula non poteſt pro mero librariorum errore haberi, licet ea omiſſa orationi nihil deeſſe videatur. Benedictus, ut asſolet, effinxit γέ, quod nec per ſe aptum eſt, nec facile in omnibus fere codicibus depravari potuiſſet. Senſus eſt: „Ita, et praeſenti felicitate uſi, poſtulabant, ut nihil ſibi obſiſteret.“ Si abeſſet τέ, commate poſt οὕτω deleto, verterem: „Adeo praeſenti rerum ſucceſſu uſi, poſtulabant cet.

66. ἐκ Πηγῶν. Vid. ad 1, 103. — Exſules illi erant ex nobilium et optimatium parte. — ἀμφοτέρωθεν, et ab Athenienſibus, et ab exſulibus vexati.

μετὰ σφῶν καρτερεῖν, non *cum illis* (exſulibus) ſed una *ſecum* (τοῖς τοῦ δήμου προστάταις) plebem tolerare poſſe deſperabant, nempe exſulum illorum reditum.

Δημοσθένην τὸν Ἀλκ. Idem eſt, qui Spartanos in inſula Sphacteria ceperat. — ὑπὸ σφῶν, iungendum eſt cum ἐκπεσόντας.

νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον, ἢ τοὺς ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν. Ξυνέβησάν τε, πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους, (ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν, τὸν λιμένα αὐτῶν· ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν, βεβαιότητος ἕνεκα τῶν Μεγάρων· ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι. ῥᾷον δ' ἤδη ἔμελλον προςχωρήσειν, τούτου γεγενημένου.

67. Οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς Μινώαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις, ὧν Ἱπποκράτης ἦρχεν, ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη, καὶ ἀπεῖχεν οὐ πολύ. Οἱ δὲ μετὰ τοῦ Δημοσθένους, τοῦ ἑτέρου στρατηγοῦ, Πλαταιῆς τε ψιλοὶ, καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸν Ἐνυάλιον, ὅ ἐστιν ἔλασσον ἄπωθεν. Καὶ

longos post etiam Megara, se tradituros promittunt. 67. Dolo proditores cum Atheniensibus portas lon-

ξυνέβησάν τε πρῶτα μὲν —. Melius post τέ, quam post μέν comma ponitur, quia non duae diverso tempore pactiones factae erant, sed una, quae duas res continebat, quarum altera post alteram gerenda esset. — αὐτοὶ μόνοι, Peloponnesii, Megarensibus ob seditionem fidem non habentes. ἡ ἄνω πόλις, Megara. Vide ad 4, 54.

ἔμελλον προςχωρήσειν. Intelligo οἱ Μεγαρῆς ex praecedenti τὴν ἄνω πόλιν. — τούτου γεγενημένου, captis ab Atheniensibus muris longis.

67. ἀμφοτέροις, Atheniensibus et Megarensium proditoribus.

ἐς Μινώαν. Vid. ad 3, 51. Erat ea insula tum in Atheniensium potestate, qui munimenta ibi fecerant; quo referenda sunt verba ὅθεν ἐπλίνθευον τὰ τείχη.

περίπολοι. Ita Athenis vocabantur iuvenes intra duodevicesimum et vicesimum annum, qui in urbe, castellis, finibus et portubus Atticae custodiendis tirocinium ponebant armisque assuescebant. Vid. Pollux VIII. 105. Harpocrat. voc. περίπολος. Hi raro educebantur ad bella, quae extra fines Atticae gerebantur. Sed ad irruptiones in Megaridem, quotannis repetitas, una cum senioribus videntur esse adhibiti; nec male Duckerus coniicit, eos fuisse in praesidio illo, quod tum temporis Athenienses in insula Minoa habebant. Inde autem, quod h. l. dicit καὶ ἕτεροι περίπολοι recte colligas, levi eos armatura instructos fuisse.

ἐς τὸν Ἐνυάλιον. Ita vul-

ᾔσθετο οὐδεὶς, εἰ μὴ οἱ ἄνδρες, οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην. Καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. Ἀκάτιον ἀμφηρικὸν, ὡς λῃσταὶ, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν, εἰώθεσαν ἐπὶ ἁμάξῃ, πείθοντες τὸν ἄρχοντα, διὰ τῆς τάφρου κατακομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν, καὶ ἐκπλεῖν. Καὶ πρὶν ἡμέραν εἶναι, πάλιν αὐτὸ τῇ ἁμάξῃ κομίσαντες ἐς τὸ τεῖχος, κατὰ τὰς πύλας ἐσῆγον, ὅπως τοῖς ἐκ τῆς Μινώας Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ φυλακὴ, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός. Καὶ τότε πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἅμαξα· καὶ ἀνοιχθεισῶν κατὰ τὸ εἰωθὸς, ὡς τῷ ἀκατίῳ, οἱ Ἀθηναῖοι (ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος τὸ τοιοῦτον) ἰδόντες, ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι φθάσαι, πρὶν ξυγκλεισθῆναι πάλιν τὰς πύλας· καὶ ἕως ἔτι ἡ ἅμαξα ἐν αὐταῖς

gorum murorum occupant.

go legitur. Equidem coniiciebam, aut eſſe pro ἐς τὸν Ἐνυαλίου int. ναόν, aut ita legendum. Sed neſcio an melius Poppo ἐς τὸ Ἐνυάλιον, ſive Ἐνυαλεῖον. — Ἔλασσον ἄπωθεν, a Megaris nempe. Comparativus ἔλασσον, monente Scholiaſta, ad verba ἀπεῖχεν οὐ πολὺ ſpectat. Neceſſe autem eſt, τὸν Ἐνυάλιον vel τὸ Ἐνυάλιον in continente prope Megara, non in inſula Minoa ſitum fuiſſe. Non enim Athenienſes ex Minoa transiiſſe narrat Auctor, ad portam et muros capiendos, ſed eos ſtatim ex inſidiis curſu ad eos tetendiſſe (ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας). De ὁπλίταις infra generaliore vorbo utitur ἐπιφερομένοις.

ἀκάτιον ἀμφηρικόν. Schol. πλοιάριον ἑκατέρωθεν ἐρεσσόμενον, ἐν ᾧ ἕκαστος τῶν ἐλαυνόντων δικωπίας ἐρέττει. — Διὰ τῆς τάφρου, videtur intelligendum intervallum intra duo muri brachia.

ὅπως — ἡ φυλακή. Bauerus interpretatur *vana, irrita, aut neglectior, levior, nulla admodum*; et comparat Homericum ἀλαοσκοπίη. Sed eam vim vocabulo ἀφανής non tribuerim; potius cum Schol. dictum puto pro: ὅπως ἀφανὲς δῆθεν ᾖ τοῖς Ἀθηναίοις, τί χρὴ φυλάττεσθαι — ut Athenienſibus incerta eſſet cuſtodia.

καὶ τότε πρὸς ταῖς πύλαις ἦν —. Ab his demum verbis filum narrationis, exponendo proditorum dolo interruptum, nectitur. Τότε pertinet ad verba illa καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι. — Pro ἦν ἤδη meliore ordine e codd. ſcripſimus cum Bened. ἤδη ἦν.

καὶ ἕως ἔτι ἡ ἅμαξα. Cum e codicibus nihil varietatis enotatum ſit, καί, quod vulgo parentheſeos ſignis includitur, immerito ſuſpectum videtur, praeſertim cum verba ἕως — προς-

ἦν, κώλυμα οὖσα προςθεῖναι, καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες Μεγαρεῖς τοὺς κατὰ τὰς πύλας φύλακας κτείνουσι. Καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐσέδραμον, οὗ νῦν τὸ τροπαῖόν ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν (ᾔσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι) μαχόμενοι τοὺς προςβοηθοῦντας οἱ Πλαταιεῖς ἐκράτησαν, καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπιφερομένοις βεβαίους τὰς πύλας παρέσχον.

68. Ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ ἀεὶ ἐντὸς γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος. Καὶ οἱ Πελοποννήσιοι φρουροὶ, τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο ὀλίγοι. καὶ ἀπέθανον τινὲς αὐτῶν· οἱ δὲ πλείους ἐς φυγὴν κατέστησαν, φοβηθέντες, ἐν νυκτί τε πολεμίων προςπεπτωκότων, καὶ, τῶν προδιδόντων Μεγαρέων ἀντιμαχομένων, νομίσαντες τοὺς ἅπαντας σφᾶς Μεγαρέας προδεδωκέναι. Ξυνέπεσε γὰρ, καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ᾽ ἑαυτοῦ γνώμης κηρῦξαι, τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων

68. Muris dein occupatis, Peloponnesiisque custodibus

θεῖναι multo accommodatius ad sequentia, quam ad praecedentia referantur. — Mox καὶ αὐτοῖς rectissime recepit Benedictus pro καὶ αὐτοί. Et paullo post articulum τάς ante πύλας e codd. Cl. Cass. Aug. (cui sec. man. additus erat) Ar. C. Dan. restitui. Est enim necessarius et ubique in hoc capite vocabulo πύλαι apponitur. Τὰς πύλας autem h. l. intellige *portas murorum*, non *urbis* Megarorum; ad quas postea cum accessissent Athenienses, eas clausas repererunt, c. 68. cf. Kistem. — προςθεῖναι, ἀποκλεῖσαι.

οἱ ἐγγύτατα Πελοποννήσιοι, Nisaeae et haud dubie etiam murorum, certe ex parte, custodes. Cf. c. 68 init.

68. νομίσαντες. Hoc participium pendet a φοβηθέντες. Timoris enim Peloponnesiorum duae causae memorantur, primum quod noctu hostes accesserint, quo tempore omnia sunt incerta et horroris plena, tum quod ipsi, cum proditores ex Megarensibus contra pugnantes vidissent, omnes Megarenses in proditionem conspirasse arbitrati sint. Post καί igitur interpungatur necesse est, ut haec copula ad participium νομίσαντες referri possit. Similis locus est infra c. 69. *Οἱ ἐν τῇ Νισαίᾳ, δείσαντες, σίτου τε ἀπορίᾳ, καὶ τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις.*

θησόμενον τὰ ὅπλα. Οἱ δ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι, κατέφυγον ἐς τὴν Νίσαιαν. Ἅμα δὲ ἕῳ, ἑαλωκότων ἤδη τῶν τειχῶν, καὶ τῶν ἐν τῇ πόλει Μεγαρέων θορυβουμένων, οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες, καὶ ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνῄδει, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας, καὶ ἐπεξιέναι ἐς μάχην. Ξυνέκειτο δὲ αὐτοῖς, τῶν πυλῶν ἀνοιχθεισῶν, ἐσπίπτειν τοὺς Ἀθηναίους· αὐτοὶ δὲ διάδηλοι ἔμελλον ἔσεσθαι· λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται. Ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς ἀνοίξεως. Καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος κατὰ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται τῶν Ἀθηναίων, καὶ ἱππεῖς ἑξακόσιοι, οἱ τὴν νύκτα πορευόμενοι, παρῆσαν. Ἀληλιμμένων δὲ αὐτῶν, καὶ ὄντων ἤδη περὶ τὰς πύλας, καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. Καὶ οἵ, ξυστραφέντες, ἀθρόοι ἦλθον, καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπεξιέναι (οὐδὲ γὰρ πρότερόν πω τοῦτο, ἰσχύοντες μᾶλλον, τολμῆσαι) οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν· εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. Ἐδήλουν δὲ οὐδέν, ὅτι ἴσασι τὰ πρασσόμενα, ἀλλ', ὡς τὰ βέλτιστα βουλεύοντες, ἰσχυρίζοντο, καὶ ἅμα περὶ τὰς πύλας παρέμενον φυλάσσοντες. ὥστε οὐκ ἐγένετο τοῖς ἐπιβουλεύουσι πρᾶξαι, ὃ ἔμελλον.

69. *Γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοί, ὅτι ἐναντίωμά τι ἐγένετο, καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε*

Niſaeam fugatis, conſilium urbe potiundi, detecta proditione, ab urbanis irritum redditur. 69. Quare Athe-

θησόμενον τὰ ὅπλα. Vid. ſupra ad c. 44.

ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνῄδει. Poſſunt haec intelligi et defendi, ſi per appoſitionem accipias, ut *πλῆθος ὃ ξυνῄδει* adiectum ſit explicationis cauſa. Tamen Abreſchii coniectura *ἄλλο μετ' αὐτ. πλῆθος, ὃ ξυν.* tam facilis et cuivis obvia eſt, ut ſi vel uno et altero probato codice niteretur, non dubitarem eam recipere.

καταγορεύει h. l. ſimpliciter *καταγγέλλει*, ut etiam Schol. intelligit.

καὶ οἵ —. Bauerus vitioſe ſcribi putabat *οἱ*, et in Lipſ. ed.

ἔσονται λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον· νομίζοντες, εἰ, πρὶν ἐπιβοηθῆσαι τινὰς, ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προσχωρῆσαι. Παρεγένετο δὲ σίδηρός τε ἐκ τῶν Ἀθηνῶν ταχὺ, καὶ λιθουργοὶ, καὶ τἄλλα ἐπιτήδεια. Ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους, ὃ εἶχον, καὶ διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας, ἀπ' ἐκείνου ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας, τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιὰ, ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην, ἀπεσταύρουν, εἴ πη δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ προαστείου ἐπάλξεις λαμβάνουσαι, αὐταὶ ὑπῆρχον ἔρυμα. Καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο· τῇ δ' ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο. Καὶ οἱ ἐν τῇ Νισαίᾳ, δείσαντες, σίτου τε ἀπορίᾳ (ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο) καὶ τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις, ῥητοῦ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας, τοῖς τε

nienſes ſtatim ad oppugnationem Niſaeae ſe accingunt, et opere biduo tantum non confecto, Peloponneſios ad de-

excudi curavit οἳ, cum pro οἵ δὲ ſit καὶ οἵ. Nos cum Schaefero accentum reliquimus. Sic ſupra cap. 33. Vid. Buttmann. Gr. p. 428. 5.

69. διοικοδομήσαντες, nempe ſpatium illud, quod intra duo muri brachia erat, prope eam Niſaeae partem, quae Megara ſpectabat. — ἑκατέρωθεν iunge cum τῆς Νισαίας. — τάφρον τε καὶ τείχη, opus illud, quod ad circumvallationem Niſaeae tunc ipſum moliebantur, nec ſolum lapidibus ſed vallis etiam et tignis lateribusque extruebant, ἀπεσταύρουν. Milites autem operis partes inter ſe diviſerant, διελομένη ἡ στρατιά, quo celerius perficeretur. Προάστειον intellige Niſaeae. Nam ibi tantum aedes illae eſſe poterant, in quibus pinnae aedificarentur, ἐπάλξεις λαμβάνουσαι. Pro αὗται ὑπῆρχον ἔρυμα e codd. Cl. Caſſ. Aug. Ar. C. recepi multo aptiorem lectionem αὐταί, *ipſae aedes ita comparatae, ut in iis pinnae aedificari poſſent, munimento inſerviebant vel praeſidio erant.* Αὗται plane ſupervacaneum eſſet.

ῥητοῦ μὲν ἕκαστον ἀργ. ἀπολ. Hoc de Peloponneſiis accipiendum, exceptis Lacedaemoniis. Nam hi Athenienſibus permittebantur. Supra autem cap. 66 extr. dixerat, Peloponneſios ſolos Niſaeae cuſtodiam habuiſſe. — Mox in verbis τοῖς τε

Λακεδαιμονίοις, τῷ τε ἄρχοντι, καὶ εἴ τις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους, ὅ τι ἂν βούλωνται. Ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον. Καὶ οἱ Ἀθηναῖοι, τὰ μακρὰ τείχη ἀποῤῥήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως, καὶ τὴν Νίσαιαν παραλαβόντες, τἄλλα παρεσκευάζοντο.

70. *Βρασίδας δὲ ὁ Τέλλιδος Λακεδαιμόνιος κατὰ τοῦτον τὸν χρόνον ἐτύγχανε περὶ Σικυῶνα καὶ Κόρινθον ὤν, ἐπὶ Θρᾴκης στρατείαν παρασκευαζόμενος. Καὶ ὡς ᾔσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας περί τε τοῖς ἐν τῇ Νισαίᾳ Πελοποννησίοις, καὶ μὴ τὰ Μέγαρα ληφθῇ, πέμπει ἔς τε τοὺς Βοιωτοὺς, κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι ἐπὶ Τριποδίσκου, (ἔστι δὲ κώμη τῆς Μεγαρίδος, ὄνομα τοῦτο ἔχουσα, ὑπὸ τῷ ὄρει τῇ Γερανείᾳ) καὶ αὐτὸς ἔχων ἦλθεν ἑπτακοσίους μὲν καὶ δισχιλίους Κορινθίων ὁπλίτας, Φλιασίων δὲ τετρακοσίους, Σικυωνίων δὲ ἑξακοσίους, καὶ τοὺς μεθ' αὑτοῦ, ὅσοι ἤδη ξυνειλεγμένοι ἦσαν· οἰόμενος τὴν Νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον. Ὡς δὲ ἐπύθετο, (ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν Τριποδί-*

ditionem cogunt. 70. Interim Brafidas Lacedaemonius, circa Corinthum expeditionem in Thraciam faciendam praeparans, comperta re, quae Megaris gefta erat, necdum Nifaeam captam effe ratus, cum firma fatis manu Megaris

Λακεδαιμονίοις, ubi *τέ* refpondet praecedenti *μέν*, (cf. ad 2, 70. 1, 144.) perfpicnitatis caufa Poppo malit legere *τοῖς δὲ Λακεδ.* praeter neceffitatem.

70. *ἐπὶ Θρᾴκης στρατείαν παρασκευαζόμενος.* Vulgatam lectionem *στρατιάν*, quae omnium eft codicum, correximus fcribendo *στρατείαν*, ut iam Aem. Porto videbatur. Non dicitur *παρασκευάζεσθαι στρατιὰν ἐπὶ χώρας τινός* pro *ξυλλέγειν* vel *ξυναγείρειν στρατιὰν ἐπὶ* (*πρὸς*) *χώραν τινά.* Infra c. 77. *ἐξ ἐκείνων τῶν χωρίων στρατὸν ξυλλέξας Ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων.* c. 75. *ξυναγείραντες ἀπὸ τῶν ξυμμάχων στρατιάν.* Et cap. 74. aperte ad hunc locum refpiciens Thucydides dicit: (*Βρασίδας*) *ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν Κόρινθον, τὴν ἐπὶ Θρᾴκης στρατείαν παρεσκεύαζεν, ἵνα περ καὶ τὸ πρῶτον ὥρμητο.*

ἐπὶ Τριποδίσκου. Sic legi iubent meliores libri Cl. Gr. Reg. Caff. Aug. pro *Τριποδίσκου.* Probat etiam Duckerus.

ὡς δὲ ἐπύθετο, int. *ἁλῶναι* ex *ἀνάλωτον.*

σκον ἐξελθὼν,) ἀπολέξας τριακοσίους τοῦ στρατοῦ, πρὶν ἔκπυστος γενέσθαι, προσῆλθε τῇ τῶν Μεγαρέων πόλει, λαθὼν τοὺς Ἀθηναίους, ὄντας περὶ τὴν θάλασσαν· βουλόμενος μὲν τῷ λόγῳ, καὶ ἅμα, εἰ δύναιτο, ἔργῳ τῆς Νισαίας πειράσαι· τὸ δὲ μέγιστον, τὴν τῶν Μεγαρέων πόλιν ἐσελθὼν βεβαιώσασθαι. Καὶ ἠξίου δέξασθαι σφᾶς, λέγων ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν.

71. Αἱ δὲ τῶν Μεγαρέων στάσεις, φοβούμεναι, οἱ μὲν, μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν, αὐτοὺς ἐκβάλῃ, οἱ δὲ, μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπίθηται σφίσι, καὶ ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα, ἐγγὺς ἐφεδρευόντων Ἀθηναίων, ἀπόληται, οὐκ ἐδέξαντο, ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιϊδεῖν. Ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε Ἀθηναίων καὶ τῶν προσβοηθησάντων· καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν, ὅστις εἴη, εὔνους κρατήσασι προσχωρῆσαι. Ὁ δὲ Βρασίδας, ὡς οὐκ ἔπειθεν, ἀνεχώρησε πάλιν ἐς τὸ ἄλλο στράτευμα.

72. Ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν, διανενοημένοι μὲν, καὶ πρὶν Βρασίδαν πέμψαι, βοηθεῖν ἐπὶ τὰ Μέγαρα, ὡς οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου,

appropinquat. Cum autem de Nifaeae deditione audiffet, cum trecentis ferme electis militibus cupit Megara intrare, partim ut Nifaeam recuperet, partim ut ipfam urbem fatis tutam reddat. 71. Sed Megarenfium factiones, fuo quaeque timore motae, eum non recipiunt. 72. Interim Boeoti, a Brafida arceffiti (c. 70.), et ipfi cupientes,

71. *στάσεις, φοβούμεναι, οἱ μὲν* — pro ἡ μὲν, ἡ δέ. *στάσεις* funt factiones, a quibus *ὁ δῆμος* h. l. diftinguitur, cum effent proceres maxime in factiones divifi. cf. c. 66. *οἱ τοῦ δήμου προστάται.* — *αὐτὸ τοῦτο*, reductionem exfulum.

τὸ μέλλον περιϊδεῖν, obfervare, circumfpectare, utrius partis victoria effet, Cap. 73 init. *περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται.*

ὅστις εἴη, εὔνους κρατήσασι προσχωρῆσαι. Recte Bredovius diftinguit poft *εἴη*, et *εὔνους* accufativum effe vult. Sed verba *ὅστις εἴη* potius ad *σφίσιν* referam, ut fit *cuiuscumque fit partis*, quam cum Bredovio ad fequens *κρατήσασι* retrahere, *quisquis vicerit.*

καὶ ἤδη ὄντες πανστρατιᾷ Πλαταιᾶσιν, ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολλῷ μᾶλλον ἐῤῥώσθησαν. Καὶ ἀποστείλαντες διακοσίους καὶ δισχιλίους ὁπλίτας, καὶ ἱππέας ἑξακοσίους, τοῖς πλείοσιν ἀπῆλθον πάλιν. Παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρατεύματος, ὁπλιτῶν οὐκ ἔλασσον ἑξακισχιλίων, καὶ τῶν Ἀθηναίων τῶν μὲν ὁπλιτῶν περί τε τὴν Νίσαιαν ὄντων καὶ τὴν θάλασσαν ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκεδασμένων, οἱ ἱππεῖς οἱ τῶν Βοιωτῶν, ἀπροσδοκήτοις ἐπιπεσόντες τοῖς ψιλοῖς, ἔτρεψαν ἐπὶ τὴν θάλασσαν. Ἐν γὰρ τῷ προτοῦ οὐδεμία βοήθειά πω τοῖς Μεγαρεῦσιν οὐδαμόθεν ἐπῆλθεν. Ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν Ἀθηναίων, ἐς χεῖρας ᾖεσαν· καὶ ἐγένετο ἱππομαχία ἐπὶ πολὺ, ἐν ᾗ ἀξιοῦσιν ἑκάτεροι οὐχ ἥσσους γενέσθαι. Τὸν μὲν γὰρ ἵππαρχον τῶν Βοιωτῶν, καὶ ἄλλους τινὰς οὐ πολλοὺς, πρὸς αὐτὴν τὴν Νίσαιαν προσελάσαντες οἱ Ἀθηναῖοι, καὶ ἀποκτείναντες, ἐσκύλευσαν· καὶ τῶν τε νεκρῶν τούτων κρατήσαντες, ὑποσπόνδους ἀπέδοσαν, καὶ τροπαῖον ἔστησαν. Οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν, ἀλλ' οἱ μὲν Βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν, οἱ δὲ ἐπὶ τὴν Νίσαιαν.

73. Μετὰ δὲ τοῦτο, Βρασίδας καὶ τὸ στράτευμα ἐχώρουν ἐγγυτέρω τῆς θαλάσσης καὶ τῆς τῶν Μεγα-

adveniunt. 73. Uterque exercitus, acie inſtructa,

72. *Πλαταιᾶσιν.* Vid. ad 1, 130. Ceterum poſt hoc nomen non eſt plene interpungendum, propterea quod *ἐπειδὴ δὲ* reſpicit ad *διανενοημένοι μέν.* Eſt autem transitus a participio ad verbum finitum, de quo diximus ad 3, 37.

τοῖς πλείοσιν ἀπῆλθον πάλιν. Mireris, cur Boeoti, cum tanto in Megarenſes ſtudio fuiſſe dicantur, plurimas copias domum reduxerint. Sed eas omnes coegerant, priusquam de Braſidae adventu certiores facti eſſent. Nunc fortaſſe ſuperſedere maiore conatu ſe poſſe arbitrabantur.

ἐν γὰρ τῷ προτοῦ. Haec verba rationem reddunt, cur in *ἀπροσδοκήτους* inciderint. — *οἱ τῶν Ἀθηναίων*, int. *ἱππεῖς*. — *ἐπὶ πολύ*, de tempore accipit Schol.

καὶ τῶν τε νεκρῶν —. Particula *τέ* ne, quo referatur, non habere videatur, ſic accipe haec verba, quaſi ſcriptum ſit: *καὶ*

ρέων πόλεως· καὶ καταλαβόντες χωρίον ἐπιτήδειον, παραταξάμενοι, ἡσύχαζον, οἰόμενοι σφίσιν ἐπιέναι τοὺς Ἀθηναίους, καὶ τοὺς Μεγαρέας ἐπιστάμενοι περιορωμένους, ὁποτέρων ἡ νίκη ἔσται. Καλῶς δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν, ἅμα μὲν, τὸ μὴ ἐπιχειρεῖν προτέρους, μηδὲ μάχης καὶ κινδύνου ἑκόντας ἄρξαι, ἐπειδή γε ἐν φανερῷ ἔδειξαν ἕτοιμοι ὄντες ἀμύνεσθαι· καὶ αὐτοῖς ὥςπερ ἀκονιτὶ δικαίως ἂν τὴν νίκην τίθεσθαι· ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς Μεγαρέας ὀρθῶς ξυμβαίνειν. Εἰ μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν, ἀλλὰ σαφῶς ἂν, ὥςπερ

quiefcit, cuius rei caufae exponuntur.

τούς τε νεκροὺς τούτους, κρατήσαντες αὐτῶν, ὑποσ. ἀπέδ. καὶ τροπ. — βεβαίως τελευτήσαντες, certum pugnae eventum adepti.

73. περιορωμένους, v. ad cap. 71.

σφίσιν ἀμφότερα ἔχειν —. Haec ad fequentia pertinere, nemo dubitat praeter Bauerum. Cf. Benedict. Sed locum prava interpunctione laborare, non viderunt interpretes. Sententia enim eft: „Cum Lacedaemonii animadvertiffent, Megarenfes circumfpectare, qui victurus effet, ut ad eum ipfi concederent, utrumque bene fibi fucceffurum putarunt, et cunctationem, donec illi aggrederentur, quum ipfi ad pugnam fe paratos effe oftendiffent, et victoriae opinionem, fi forte Athenienfes vel ipfi proelium detrectarent; eandem autem ob caufam etiam cum Megarenfibus bene pacem fe inituros fperabant.“ Hanc effe loci fententiam, fequentia declarant, maxime verba νῦν δὲ κἂν τυχεῖν αὐτοὺς, Ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι. ὥςτε ἀμαχεὶ (ita enim pro vulgato ἀμαχητὶ e praeftantiffimis codd. Cl. Caff. Aug. fcripfi, propter conftantem Thucydidis ufum. Vid. Duck.) ἂν περιγενέσθαι αὐτοῖς, (ἐκεῖνα) ὧν ἕνεκα ἦλθον, i. e. ut a Megarenfibus in urbem reciperentur, eamque fervarent. Pendent igitur infinitivi τίθεσθαι — ξυμβαίνειν a verbo ἐνόμιζον, et καί ante αὐτοῖς referendum eft ad ἅμα μέν, quod non poteft mirum videri iis, qui apud Thucydidem faepenumero τέ poft μέν fequi cognoverint. Vid. fupra ad c. 69 et loca ibi laudata. Sed fimillima notavi haec: c. 126 init. νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων, καὶ τὸ πλῆθος τῶν ἐναντίων. 5, 60. Καὶ ὁ Ἄγις. 6, 1 extr. 8, 81 extr. καὶ μετὰ ταῦτα. 2, 102. καὶ τὴν πόλιν. Colon igitur poft ἄρξαι mutavi in comma, et poft ἀμύνεσθαι colon pofui. Qui verba ἐν τῷ αὐτῷ δὲ καί praecedenti ἅμα μέν opponi oportere ftatuunt, ad infinitivum τίθεσθαι ex proximis ἔδειξαν fubintelligant neceffe eft. Quod non omnino fpreverim, quamquam illud praefero. Ne forte putes pro αὐτοῖς effe debere σφίσιν, et infra in eadem fententia legitur ἀμαχεὶ ἂν περιγενέσθαι αὐτοῖς, licet praeceflerit ἐν τύχῃ γίγνεσθαι σφίσιν.

ἡσσηθέντων, στερηθῆναι εὐθὺς τῆς πόλεως· νῦν δὲ κἂν τυχεῖν αὐτοὺς Ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι, ὥστε ἀμαχεὶ ἂν περιγενέσθαι αὐτοῖς, ὧν ἕνεκα ἦλθον. ὅπερ καὶ ἐγένετο. Οἱ γὰρ Μεγαρῆς, ὡς οἱ Ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ, μὴ ἐπιόντων, λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοὶ, μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κίνδυνον, ἐπειδὴ καὶ τὰ πλείω αὐτοῖς προεκεχωρήκει, ἄρξασι μάχης πρὸς πλείονας αὐτῶν, ἢ λαβεῖν νικήσαντας Μέγαρα, ἢ σφαλέντας τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι· τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἕκαστον κινδυνεύειν εἰκότως ἐθέλειν τολμᾶν· χρόνον δὲ ἐπισχόντες, καὶ ὡς οὐδὲν ἀφ' ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον οἱ Ἀθηναῖοι ἐς τὴν Νίσαιαν, καὶ αὖθις οἱ Πελοποννήσιοι, ὅθεν περ ὡρμήθησαν.

οἱ γὰρ Μεγαρεῖς —. Haec verba in ſequentibus non habent, quo referantur. Primus tamen docuit Heilmannus, filum orationis, pluribus membris interruptum, rurſus nexum continuari inde a cap. 74 initio: *οὕτω δὴ τῷ μὲν Βρασίδᾳ — ἐς λόγους ἔρχονται*. Benedictus cum Bauero a vera huius loci interpretandi ratione plane aberravit. — *ἐπιόντων*, *τῶν Λακεδαιμονίων*. — *λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοί*, Schol. quidem dictum ait pro *λογιζομένων καὶ τῶν ἐκείνων στρατηγῶν*, quae altera eſſet *ἀνακολουθία*. Sed ita accipere neceſſe non eſt, cum *λογιζόμενοι* etiam ad *Ἀθηναῖοι* apte referri poſſit, *καί* autem ita ſit copula, hanc deliberationem ad duces potiſſimum conferens. —

μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κινδ. dispar i. e. gravius ſibi eſſe periculum. Poſt *προεκεχωρήκει* virgula interpunximus, quod ſententia (victori non eſſe periclitandum) flagitat, licet ſequatur accuſativus *νικήσαντας* et *σφαλέντας*, quae res editores ab illa interpunctione videtur retinuiſſe. Quamquam tales caſuum permutationes in participiis maxime ſibi permiſit Thucydides. Vid. ad 2, 53. 4, 23. Sed. h. l. *ἄρξασι* pertinet ad *σφίσι*, vel ad *αὐτοῖς*, et *λαβεῖν νικήσαντας* et *σφαλέντας βλαφθῆναι* pendet a verbis *μὴ ἀντίπαλον τὸν κίνδυνον εἶναι*.

τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως —. De Peloponneſiis intellige, et ſubaudi *μέρος ἕκαστον* ex ſequentibus. Hoc enim vult: Lacedaemoniis ſ. Peloponneſiis magnum eſſe exercitum et domi, et circa Megara, cuius unamquamque partem recte periclitari velle, cum, ne clade quidem accepta, perdita eſſent omnia, ſed aliae copiae reſtarent. Benedictus, cui displicebat *ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων*, coniecit *ἐκ τῶν παρόντων*. Sed vulgatam lectionem etiam interpretatio-

74. Οὕτω δὴ τῷ μὲν Βρασίδᾳ αὐτῷ καὶ τοῖς ἀπὸ τῶν πόλεων ἄρχουσιν οἱ τῶν φευγόντων φίλοι Μεγαρῆς, ὡς ἐπικρατήσαντι, καὶ τῶν Ἀθηναίων οὐκέτι ἐθελησάντων μάχεσθαι, θαρσοῦντες μᾶλλον, ἀνοίγουσί τε τὰς πύλας, καὶ δεξάμενοι, καταπεπληγμένων ἤδη τῶν πρὸς [τοὺς] Ἀθηναίους πραξάντων, ἐς λόγους ἔρχονται. Καὶ ὕστερον ὁ μὲν, διαλυθέντων τῶν ξυμμάχων κατὰ πόλεις, ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν Κόρινθον, τὴν ἐπὶ Θρᾴκης στρατείαν παρεσκεύαζεν, ἵναπερ καὶ τὸ πρῶτον ὥρμητο· οἱ δὲ ἐν τῇ πόλει Μεγαρῆς, ἀποχωρησάντων καὶ τῶν Ἀθηναίων ἐπ' οἴκου, ὅσοι μὲν τῶν πραγμάτων πρὸς τους Ἀθηναίους μάλιστα μετέσχον, εἰδότες, ὅτι ὤφθησαν, εὐθὺς ὑπεξῆλθον· οἱ δὲ ἄλλοι κοινολογησάμενοι τοῖς τῶν φευγόντων φίλοις, κατάγουσι τοὺς ἐκ Πηγῶν, ὁρκώσαντες πίστεσι μεγάλαις, μηδὲν μνησικακήσειν, βουλεύσειν δὲ τῇ πόλει τὰ ἄριστα. Οἱ δὲ, ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο, καὶ ἐξέτασιν ὅπλων ἐποιήσαντο, διαστήσαντες τοὺς λόχους, ἐξελέξαντο τῶν τε ἐχθρῶν καὶ οἳ ἐδόκουν μάλιστα ξυμπρᾶξαι τὰ πρὸς τοὺς Ἀθηναίους, ἄνδρας ὡς ἑκατόν· καὶ τούτων πέρι ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν, ὡς κατεγνώσθησαν, ἔκτει-

74. Lacedaemonii tandem a Megarenſibus recipiuntur in urbem, exſules reducuntur, amneſtia promiſſa. Sed illi, poſtquam magiſtratus asſecuti ſunt, centum ex inimicis ſuis a populo condemnatos occidunt. Oligarchia Megaris

Scholiaſtae firmat. — Mox a participio *ἐπισχόντες* Scriptor transit ad verbum finitum.

74. *πρὸς [τοὺς] Ἀθηναίους.* Articulum *τούς* omittunt codd. Cl. Gr. Reg. Caſſ. Ar. C., et recte videtur omitti, ut ſexcenties alibi. — Ceterum verba ab initio capitis *τῷ μὲν Βρασίδᾳ* non habent *δέ*, quod iis reſpondeat. Sed latet illud in verbis *κατάγουσι τοὺς ἐκ Πηγῶν*, quae, implicita variis additamentis oratione, alio ordine ſubiunxit, atque periodi initium poſtulabat. Videtur enim primitus ſcribere voluiſſe: *οὕτω δὴ τῷ μὲν Βρασίδᾳ — ἐς λόγους ἔρχονται· τοὺς δὲ ἐκ Πηγῶν, ἐπανελθόντος τοῦ Βρασίδου, καὶ ὑπεξελθόντων μετὰ τὴν τῶν Ἀθηναίων ἀναχώρησιν, ὅσοι πρὸς τοὺς Ἀθηναίους μάλιστα μετέσχον, κατάγουσι ὁρκώσαντες πίστεσι μεγάλαις —.*

οἱ δὲ, ἐπειδὴ — intell. *φυγάδες.*

ναν· καὶ ἐς ὀλιγαρχίαν τὰ μάλιστα κατέστησαν τὴν πόλιν. Καὶ πλεῖστον δὴ χρόνον αὕτη ὑπ' ἐλαχίστων γενομένη ἐκ στάσεως μετάστασις ξυνέμεινε.

75. Τοῦ δ' αὐτοῦ θέρους, τῆς Ἀντάνδρου ὑπὸ τῶν Μιτυληναίων, ὥςπερ διενοοῦντο, μελλούσης κατασκευάζεσθαι, οἱ τῶν ἀργυρολόγων Ἀθηναίων στρατηγοὶ, Δημόδοκος καὶ Ἀριστείδης, ὄντες περὶ Ἑλλήςποντον (ὁ γὰρ τρίτος αὐτῶν Λάμαχος δέκα ναυσὶν ἐς τὸν Πόντον ἐςεπεπλεύκει,) ὡς ᾐσθάνοντο τὴν παρασκευὴν τοῦ χωρίου, καὶ ἐδόκει αὐτοῖς δεινὸν εἶναι, μὴ, ὥςπερ τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ, γένηται, (ἔνθα οἱ φεύγοντες τῶν Σαμίων καταστάντες, τούς τε Πελοποννησίους ὠφέλουν ἐς τὰ ναυτικὰ, κυβερνήτας πέμποντες, καὶ τοὺς ἐν τῇ πόλει Σαμίους ἐς ταραχὴν καθίστασαν, καὶ τοὺς ἐξιόντας ἐδέχοντο,) οὕτω δὴ, ξυναγείραντες ἀπὸ τῶν ξυμμάχων στρατιὰν, καὶ πλεύσαντες, μάχῃ τε νικήσαντες τοὺς ἐκ τῆς Ἀντάνδρου ἐπεξελθόντας, ἀναλαμβάνουσι τὸ χωρίον πάλιν. Καὶ οὐ πολὺ ὕστερον, ἐς τὸν Πόντον ἐςπλεύσας Λάμαχος,

exſtitit. 75. Athenienſes Antandrum, ab exſulibus

ὑπ' ἐλαχίστων γενομένη. Vulgata lectio *νεμομένη* et ad ſenſum minus eſt apta (quid enim eſt *μετάστασις νεμομένη ἐκ στάσεως*, converſio diviſa vel adminiſtrata a paucis poſt ſeditionem?) et praeſtantioribus codd. adverſatur. Cf. Bened.

75. *τῆς Ἀντάνδρου — ὥςπερ διενοοῦντο.* Vid. ſupra c. 52. De tota expeditione cf. Diod. 12, 72. qui pro Demodoco habet Symmachum, nec praetoribus, ſed populo Athenienſi tribuit Antandri recuperandae conſilium. Flumen autem in Heracleotidi *Κάχητα* nominat.

μὴ, ὥςπερ τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ, γένηται. Perperam haec vulgo diſtinguuntur, commate poſito poſt *Ἄναια*, quaſi etiam Antandrus Samo immineat. Comma potius poſt *Σάμῳ* ponendum eſt, ut Leſbos cum Samo, Antandrus cum Anaeis comparetur. — De *Anaeis* vide ad 3, 32. Cf. ibi Duck.

καὶ οὐ πολὺ ὕστερον, ἐς τὸν Πόντον —. Cum ſupra dixiſſet: *ὁ γὰρ τρίτος αὐτῶν Λάμαχος δέκα ναυσὶν ἐς τὸν Πόντον ἐςεπεπλεύκει*, patet poſt *ὕστερον* interpungendum eſſe, ne poſt captam Antandrum videatur in Pontum profectus, qui ſupra ante eam expeditionem iam abiiſſe tradatur. Porro *ὁρμήσας* rectiſſime Poppo iuſſit ſcribi pro *ὁρμίσας*. Non dicitur *ὁρμίζειν* activum hoc ſenſu; ſed *ὁρμέω* idem eſt quod *ὁρμίζεσθαι*, appellere ad littus vel ripam flumi-

ἐν τῇ Ἡρακλεώτιδι ὁρμήσας ἐς τὸν Κάληκα ποταμὸν, ἀπόλλυσι τὰς ναῦς, ὕδατος ἄνωθεν γενομένου, καὶ κατελθόντος αἰφνιδίου τοῦ ῥεύματος, αὐτός τε καὶ ἡ στρατιὰ πεζῇ διὰ Βιθυνῶν Θρακῶν (οἵ εἰσι πέραν ἐν τῇ Ἀσίᾳ) ἀφικνεῖται ἐς Χαλκηδόνα, τὴν ἐπὶ τῷ στόματι τοῦ Πόντου, Μεγαρέων ἀποικίαν.

76. *Ἐν δὲ τῷ αὐτῷ θέρει καὶ Δημοσθένης Ἀθηναίων στρατηγὸς τεσσαράκοντα ναυσὶν ἀφικνεῖται ἐς Ναύπακτον, εὐθὺς μετὰ τὴν ἐκ τῆς Μεγαρίδος ἀναχώρησιν. Τῷ γὰρ Ἱπποκράτει καὶ ἐκείνῳ τὰ Βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο, βουλομένων μεταστῆσαι τὸν κόσμον, καὶ ἐς δημοκρατίαν, ὥσπερ οἱ Ἀθηναῖοι, τρέψαι· καὶ Πτοιοδώρου μάλιστ' ἀνδρὸς φυγάδος ἐκ Θηβῶν ἐσηγουμένου, τάδε αὐτοῖς παρεσκευάσθη. Σίφας μὲν ἔμελλόν τινες παραδώσειν. αἱ δὲ Σίφαι εἰσὶ τῆς Θεσπικῆς γῆς ἐν τῷ Κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι. Χαιρώνειαν δὲ, ἣ ἐς Ὀρχομενὸν, τὸν Μινύειον πρότερον καλούμενον, νῦν δὲ Βοιώτιον, ξυντελεῖ, ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν. καὶ οἱ Ὀρχομενίων φυγάδες ξυνέπρασσον τὰ μάλιστα, καὶ ἄνδρας ἐμισθοῦντο ἐκ Πελοποννήσου. Ἔστι δὲ ἡ Χαιρώνεια ἔσχατον τῆς Βοιωτίας, πρὸς τῇ Φανότιδι τῆς Φωκίδος· καὶ Φωκέων μετεῖχόν τινες. Τοὺς δὲ Ἀθηναίους ἔδει Δήλιον καταλαβεῖν, τὸ ἐν τῇ Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερόν.*

Lefbiis ipfis ereptam, recipiunt. 76. Boeoti cum Hippocrate et Demofthene de mutatione publici ftatus urbium Boeotiarum confilia ineunt. Siphae et Chaeronea

nis. Atque fic exhibent codd. Gr. Cl. Caff. Aug. Mofq.

76. *νῦν δὲ Βοιώτιον.* Ita pro *Βοιώτειον* fcribendum effe monuit Duckerus, probante Benedicto.

πρὸς τῇ Φανότιδι τῆς Φωκίδος. Cum infra cap. 89. legatur: *ὑπὸ Νικομάχου, ἀνδρὸς Φωκέως ἐκ Φανοτέως*, hoc urbis nomen videtur effe *Φανοτεύς*, monente Hudfono, quare h. l. *Φανοτεῖ* fcribendum cenfet Benedictus. Equidem *τὴν Φανότιδα* h. l. intelligo *γῆν*, regionem f. agrum urbis *Φανοτεύς*, quae infra laudatur.

ἅμα δὲ ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι, ὅπως μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ Δήλιον οἱ Βοιωτοὶ ἀθρόοι, ἀλλ' ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενοι. Καὶ εἰ κατορθοῖτο ἡ πεῖρα, καὶ τὸ Δήλιον τειχισθείη, ῥᾳδίως ἤλπιζον, εἰ καὶ μὴ παραυτίκα νεωτερίζοι τὶ τῶν κατὰ τὰς πολιτείας τοῖς Βοιωτοῖς, ἐχομένων τούτων τῶν χωρίων, καὶ ληστευομένης τῆς γῆς, καὶ οὔσης ἑκάστοις διὰ βραχέος ἀποστροφῆς, οὐ μενεῖν κατὰ χώραν τὰ πράγματα. ἀλλὰ χρόνῳ, τῶν Ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης ἀθρόας τῆς δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο.

77. Ὁ δὲ Ἱπποκράτης, αὐτὸς μὲν ἐκ τῆς πόλεως δύναμιν ἔχων, ὁπότε καιρὸς εἴη, ἔμελλε στρατεύειν ἐς τοὺς Βοιωτούς· τὸν δὲ Δημοσθένην προαπέστειλε ταῖς τεσσαράκοντα ναυσὶν ἐς τὴν Ναύπακτον, ὅπως, ἐξ ἐκείνων τῶν χωρίων στρατὸν ξυλλέξας Ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων, πλέοι ἐπὶ τὰς Σίφας, ὡς προδοθησομένας. Ἡμέρα δ' αὐτοῖς εἴρητο, ᾗ ἔδει

ut tradantur, Delium ut expugnetur ab Athenienſibus, conſtituitur. 77. Demoſthenes Naupactum profectus, ibi exercitum ſociorum comparat, ad Siphas ſtato die oc-

ἕκαστοι κινούμενοι. E Caſſ. et Aug. reſcripſerim ἕκαστοι κινούμενα. Nam cum verbum ἐπιβοηθήσωσιν non minus pertineat ad ἕκαστοι, quam ad ἀθρόοι, κινούμενα cauſam continet, quam ob rem ad ſuam quisque urbem properaverit, cum Siphae et Chaeronea et Delium eodem tempore moverentur ſ. turbarentur. Accedit, quod infra c. 89. de hac eadem re agens Thucydides dicat: οἱ πράσσοντες οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν. Errori anſam dedit ultima vocabuli praecedentis ſyllaba. Cui vulgata placeat, non multum lucretur loco 5, 8. ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους.

νεωτερίζοιτό τι. Aug. Moſq. νεωτερίζοιτό τι, ut iam olim coniecerat Duckerus, cum in ceteris legatur νεωτερίζοι, quam formam qui defendit Bauerus, comparat latinum *mutare*, *movere*, *vertere* v. c. *odor nihil mutat*, *anno vertente*, *terra movit*, et intelligit ἑαυτό, ſed verbi νεωτερίζειν nulla affert exempla. Alibi autem Thucydides huius verbi paſſivo utitur, ut cap. 42. νεωτερισθῇ, neque vera eſt Dionyſii illa obſervatio, Thucydidem interdum activis uti pro paſſivis. Vid. Poppo p. 73 ſeqq.

ἀποστροφῆς, cum a ſua cuique civitate non procul abire liceret.

ἅμα ταῦτα πράσσειν. Καὶ ὁ μὲν Δημοσθένης ἀφικόμενος, Οἰνιάδας δὲ ὑπό τε Ἀκαρνάνων πάντων κατηναγκασμένους καταλαβὼν ἐς τὴν Ἀθηναίων ξυμμαχίαν, καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν, ἐπὶ Σαλύνθιον καὶ Ἀγραίους στρατεύσας πρῶτον, καὶ προςποιησάμενος, τἄλλα ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας, ὅταν δέῃ, ἀπαντησόμενος.

78. Βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους πορευόμενος ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐπὶ Θρᾴκης, ἐπειδὴ ἐγένετο ἐν Ἡρακλείᾳ τῇ ἐν Τραχῖνι, καὶ, προπέμψαντος αὐτοῦ ἄγγελον ἐς Φάρσαλον παρὰ τοὺς ἐπιτηδείους, ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιὰν, ἦλθον ἐς Μελιτίαν τῆς Ἀχαΐας Πάναιρός τε καὶ Δῶρος, καὶ Ἱππολοχίδας, καὶ Τορύλαος, καὶ Στρόφακος πρόξενος ὢν Χαλκιδέων, τότε δὴ ἐπορεύετο. Ἦγον δὲ καὶ ἄλλοι Θεσσαλῶν αὐτὸν καὶ ἐκ Λαρίσσης Νικονίδας, Περδίκκᾳ ἐπιτήδειος ὤν. Τὴν γὰρ Θεσσαλίαν ἄλλως τε οὐκ εὔπορον ἦν διϊέναι ἄνευ ἀγωγοῦ, καὶ μετὰ ὅπλων γε δή. Καὶ τοῖς πᾶσί γε ὁμοίως Ἕλλησιν ὕποπτον καθεστήκει, τὴν τῶν πέλας μὴ πείσαντας διϊέναι. Τοῖς τε Ἀθηναίοις ἀεί ποτε τὸ πλῆθος τῶν Θεσσαλῶν εὔνουν ὑπῆρχεν· ὥςτε, εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ ἐγχώριον οἱ

cupandas. 78. Brasidas per Thessaliam transit cum

77. *ἐπὶ Σαλύνθιον καὶ Ἀγραίους.* Salynthius erat rex Agraeorum, qui Acarnanum erant vicini. Cf. 3, 111 extr. De Oeniadarum situ vid. 2, 102.

καὶ προςποιησάμενος. Melius cum Heilmanno post hoc participium interpungas, intellecto *αὐτούς*, quam post *τἄλλα*.

78. *ἐς Μελιτίαν τῆς Ἀχαΐας.* Etiam Thessaliae partem Achaei incolebant, Herodoto quoque (7, 132.) memorati; quos cum solos *Ἕλληνας* paullo post dici contendit Scholiasta, errat. Erant enim Hellenes et ipsi Thessali; et refragantur huic rationi verba *τοῖς πᾶσι ὁμοίως Ἕλλησιν.* — De Heraclea vid. 3, 92.

τὸ ἐγχώριον, i. e. *κατὰ τὸ ἐγχώριον ἔθος.* — *δυναστείᾳ μᾶλλον.* Erat Larissae, erat Pheris sive tyrannis, sive rem publicam gubernans familia. Etiam Pharsali reges memorantur 1, 111. Sed hae omnes civitates cum reliquis Thessaliae oppidis communi quodam vinculo haud dubie continebantur, quod mox vocat *τὸ πάντων κοινόν*.

Θεσσαλοὶ, οὐκ ἄν ποτε προῆλθεν. Ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ ἀπαντήσαντες ἄλλοι τῶν τἀναντία τούτοις βουλομένων ἐπὶ τῷ Ἐνιπεῖ ποταμῷ, ἐκώλυον, καὶ ἀδικεῖν ἔφασαν, ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον. Οἱ δὲ ἄγοντες, οὔτε ἀκόντων ἔφασαν διάξειν, αἰφνίδιόν τε παραγενόμενον, ξένοι ὄντες, κομίζειν. Ἔλεγε δὲ καὶ αὐτὸς ὁ Βρασίδας τῇ Θεσσαλῶν γῇ καὶ αὐτοῖς φίλος ὢν ἰέναι, καὶ Ἀθηναίοις, πολεμίοις οὖσι, καὶ οὐκ ἐκείνοις, ὅπλα ἐπιφέρειν· Θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ Λακεδαιμονίοις ἔχθραν οὖσαν, ὥστε τῇ ἀλλήλων γῇ μὴ χρῆσθαι· νῦν τε ἀκόντων ἐκείνων οὐκ ἂν προελθεῖν· οὐδὲ γὰρ ἂν δύνασθαι· οὐ μέντοι ἀξιοῦν γε εἴργεσθαι. Καὶ οἱ μὲν, ἀκούσαντες ταῦτα, ἀπῆλθον· ὁ δέ, κελευόντων τῶν ἀγωγῶν, πρίν τι πλέον ξυστῆναι τὸ κωλῦσον, ἐχώρει, οὐδὲν ἐπισχὼν, δρόμῳ. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ᾗ ἐκ τῆς Μελιτίας ἀφώρμησεν, ἐς Φάρσαλόν τε ἐτέλεσε, καὶ ἐστρατοπεδεύσατο ἐπὶ τῷ Ἀπιδανῷ ποταμῷ· ἐκεῖθεν δὲ ἐς Φάκιον, καὶ ἐξ αὐτοῦ ἐς Περαιβίαν. Ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν τῶν Θεσσαλῶν ἀγωγοὶ πάλιν ἀπῆλθον· οἱ δὲ Περαιβοὶ αὐτὸν, ὑπήκοοι ὄντες Θεσσαλῶν, κατέστησαν ἐς Δῖον τῆς Περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ Ὀλύμπῳ Μακεδονίας πρὸς Θεσσαλοὺς πόλισμα κεῖται.

79. *Τούτῳ τῷ τρόπῳ Βρασίδας Θεσσαλίαν φθάσας διέδραμε, πρίν τινα κωλύειν παρασκευάσασθαι, καὶ ἀφίκετο ὡς Περδίκκαν, καὶ ἐς τὴν Χαλκιδικήν.*

exercitu in Macedoniam, 79. arceſſitus a Perdicca

ἄλλοι τῶν τἀναντία τούτοις βουλομένων. Alias haec verborum conſtructio, quam imitati ſunt Latini, velut Horatius: *alius ſapiente bonoque*, longe aliud quid ſonat. Sed h. l. *τῶν βουλομένων* eſt *ἐκ τῶν βουλ. Τούτοις* pertinet ad Braſidae ductores ſ. amicos inter Theſſalos.

ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν —. Articulum *οἱ*, codicibus iubentibus, recepi et codicum Caſſ. Aug. ſcripturam ſecutus, pro *αὐτῶν ὑπήκοοι ὄντες Θεσσαλῶν, κατέστησαν αὐτὸν ἐς Δῖον*, reſcripſi *αὐτὸν ὑπήκοοι* — et poſt *κατέστησαν* eieci pronomen *αὐτόν*, quod plerique libri omittunt. Cf. Bened.

Ἐκ γὰρ τῆς Πελοποννήσου, ὡς τὰ τῶν Ἀθηναίων εὐτύχει, δείσαντες οἵ τε ἐπὶ Θρᾴκης ἀφεστῶτες Ἀθηναίων, καὶ Περδίκκας, ἐξήγαγον τὸν στρατόν· οἱ μὲν Χαλκιδεῖς, νομίζοντες ἐπὶ σφᾶς πρῶτον ὁρμήσειν τοὺς Ἀθηναίους, (καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐτῶν, αἱ οὐκ ἀφεστηκυῖαι, ξυνεπῆγον κρύφα·) Περδίκκας δέ, πολέμιος μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐτὸς τὰ παλαιὰ διάφορα τῶν Ἀθηναίων, καὶ μάλιστα βουλόμενος Ἀῤῥιβαῖον τὸν Λυγκηστῶν βασιλέα παραστήσασθαι. Ξυνέβη δὲ αὐτοῖς, ὥστε ῥᾷον ἐκ τῆς Πελοποννήσου στρατὸν ἐξαγαγεῖν, ἡ τῶν Λακεδαιμονίων ἐν τῷ παρόντι κακοπραγία.

80. Τῶν γὰρ Ἀθηναίων ἐγκειμένων τῇ Πελοποννήσῳ, καὶ οὐχ ἥκιστα τῇ ἐκείνων γῇ, ἤλπιζον ἀποστρέψαι αὐτοὺς μάλιστα, εἰ ἀντιπαραλυποῖεν, πέμψαντες ἐπὶ τοὺς ξυμμάχους αὐτῶν στρατιάν· ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν τε, καὶ ἐπὶ [τῇ] ἀποστάσει σφᾶς ἐπικαλουμένων. Καὶ ἅμα τῶν Εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι, μή τι πρὸς τὰ παρόντα, τῆς Πύλου ἐχομένης, νεωτερίσωσιν. Ἐπεὶ καὶ τόδε ἔπραξαν· φοβούμενοι αὐτῶν τὴν νεότητα καὶ τὸ πλῆθος (ἀεὶ γὰρ τὰ πολλὰ Λακεδαιμονίοις πρὸς τοὺς Εἵλωτας τῆς φυλακῆς πέρι μάλιστα καθεστήκει) προεῖπον, αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολεμίοις γεγε-

et urbibus Thraciae, quae ab Athenienſibus defecerant. 80. Qua ratione Lacedaemonii ante Braſidae profectio-

79. *οἱ μὲν Χαλκιδεῖς* —. Ante haec verba minus plene interpungendum erat, propter commune bis membris verbum *ἐξήγαγον*; et verba *καὶ ἅμα — κρύφα* parentheseos ſignis a ceteris ſegreganda, ut obiter adiecta, cum paulo ſuperius de iis tantum populis vel civitatibus ſermo eſſet, qui ab Athenienſibus deſciviſſent.

80. *ἑτοίμων ὄντων*, int. *τῶν Χαλκιδέων*. — In verbis *ἐπὶ τῇ ἀποστάσει* articulum *τῇ*, a pluribus codicibus omiſſum, uncis incluſimus. — Mox ad *τῶν Εἱλώτων* int. *μέρος τι*. Poſt *ἔπραξαν* autem colo interpungendum eſt, non commate, ut iam viderat Kiſtemak.

ἐν τοῖς πολεμίοις. Vertunt male *contra hoſtes*. Equidem pro neutro accipiendum eſſe puto *ἐν τοῖς πολεμίοις*, i. e. *πολέμῳ*.

νῆσθαι σφίσιν ἄριστοι, κρίνεσθαι, ὡς ἐλευθερώσοντες· πεῖραν ποιούμενοι, καὶ ἡγούμενοι, τούτους σφίσιν ὑπὸ φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι. Καὶ προκρίναντες ἐς δισχιλίους, οἱ μὲν ἐστεφανώσαντό τε καὶ τὰ ἱερὰ περιῆλθον, ὡς ἠλευθερωμένοι· οἱ δὲ οὐ πολλῷ ὕστερον ἠφάνισάν τε αὐτοὺς, καὶ οὐδεὶς ᾔσθετο, ὅτῳ τρόπῳ ἕκαστος διεφθάρη. Καὶ τότε προθύμως τῷ Βρασίδᾳ αὐτῶν ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας. τοὺς δ' ἄλλους ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν· αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακεδαιμόνιοι ἀπέστειλαν.

81. Προυθυμήθησαν δὲ καὶ οἱ Χαλκιδεῖς ἄνδρα, ἔν τε τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα, καὶ ἐπειδὴ ἐξῆλθε, πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. Τὸ, τε γὰρ παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέτριον ἐς τὰς πόλεις, ἀπέστησε τὰ πολλὰ, τὰ δὲ προδοσίᾳ εἷλε τῶν χωρίων· ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι, ξυμβαίνειν τε βουλομένοις,

nem ab Helotibus ſibi caverint. 81. Braſidae virtus Athenienſium ſocios in Thracia movet, Lacedaemoniisque

καὶ προκρίναντες — ad Lacedaemonios pertinet, ſicut alterum membrum *οἱ δὲ — ἠφάνισαν.* Eſt igitur nominativus abſolute poſitus pro *προκρίναντες δισχιλίους, στεφανωσαμένους καὶ τὰ ἱερὰ περιελθόντας αὐτοὺς ἠφάνισαν.* Cf. ad 3, 34. De re comparandus eſt Diod. 12, 67.

81. *προυθυμήθησαν.* Benedictus e corrupta quorundam codicum lectione *προυθύμησαν* fingit *προυτίμησαν,* qua coniectura nihil unquam infelicius vidi. Aperte Thucydides demonſtrat, quemadmodum *προθύμως οἱ Λακεδαιμόνιοι ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας, αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα,* ita et ipſos Chalcidenſes hunc virum cupide ſibi exoptaſſe, *προθυμηθῆναι.*

τό, τε γὰρ παραυτίκα. Cum Kiſtem. Bredovius legit *τότε.* Equidem vulgatam retineo propter verba ſequentia *ἔς τε τὸν χρόνῳ ὕστερον* (ita enim pro *χρόνον ὕστερον* cum Duckero ex probatiſſimis libris ſcribendum eſt). Nam aperte tempora ante pugnam ad Amphipolin 423 a. Chr. commiſſam, in qua Braſidas occiſus eſt, alteri i. e. extremae belli Peloponneſiaci parti opponuntur, in qua Lyſander cum Callicratida Lacedaemoniorum duces praeclariſſimi extiterunt.

ξυμβαίνειν τε βουλομένοις. Huic *τέ* reſpondet in ſequentibus *καὶ τοῦ πολέμου,* „et

(ὅπερ ἐποίησαν) ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων, καὶ τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον, ἡ τότε Βρασίδου ἀρετὴ καὶ ξύνεσις, τῶν μὲν πείρᾳ αἰσθομένων, τῶν δὲ ἀκοῇ νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους. Πρῶτος γὰρ ἐξελθὼν, καὶ δόξας εἶναι κατὰ πάντα ἀγαθὸς, ἐλπίδα ἐγκατέλιπε βέβαιον, ὡς καὶ οἱ ἄλλοι τοιοῦτοί εἰσι.

82. Τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θρᾴκης, οἱ Ἀθηναῖοι, πυθόμενοι, τόν τε Περδίκκαν πολέμιον ποιοῦνται, νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων φυλακὴν πλέονα κατεστήσαντο.

83. Περδίκκας δὲ Βρασίδαν καὶ τὴν στρατιὰν εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως, στρατεύει ἐπὶ Ἀῤῥιβαῖον τὸν Βρομεροῦ, Λυγκηστῶν Μακεδόνων βασιλέα, ὅμορον ὄντα, διαφορᾶς τε αὐτῷ οὔσης, καὶ βουλόμενος καταστρέψασθαι. Ἐπεὶ δὲ ἐγένετο τῷ στρατῷ μετὰ τοῦ Βρασίδου ἐπὶ τῇ ἐσβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη βούλεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀῤῥιβαῖον ξύμμαχον Λακεδαιμονίων, ἢν δύνηται, ποιῆσαι. Καὶ γάρ τι καὶ Ἀῤῥιβαῖος ἐπεκηρυκεύετο, ἕτοιμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν. καὶ οἱ Χαλκιδέων πρέσβεις ξυμπαρόντες ἐδίδασκον αὐτὸν, μὴ ὑπεξελεῖν τῷ Περδίκκᾳ τὰ δεινὰ, ἵνα προθυ-

conciliat. 82. Athenienſes Perdiccam hoſtem iudicant, copiasque ſuas in Thracia augent. 83. Braſidas tergiverſatus et abnuens contra Arrhibaeum, Perdiccae hoſtem,

cum pacem mallent (quod re vera faciebant), quod redderent et reciperent, habebant, et belli a Peloponneſo amolitionem." — *ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων.* Nam recepta Amphipoli per inducias in quinquaginta annos factas 422 a. Chr., Athenienſes Lacedaemoniis Pylum et Cythera et alia oppida inſulasque reddiderunt.

83. *τῆς Λύγκου*, quae regio et infra laudatur c. 124. 129. 132.

μέσῳ δικαστῇ, i. e. *διαιτητῇ* ſimpliciter.

μὴ ὑπεξελεῖν τῷ Περδίκ-

μοτέρῳ ἔχοιεν καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι. ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι· ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀῤῥιβαίου ἠξίου πράσσειν. Περδίκκας δὲ οὔτε δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων· ἀδικήσειν τε, εἰ, αὐτοῦ τρέφοντος τὸ ἥμισυ τοῦ στρατοῦ, ξυνέσται Ἀῤῥιβαίῳ. Ὁ δὲ, ἄκοντος, καὶ ἐκ διαφορᾶς, ξυγγίγνεται, καὶ πεισθεὶς τοῖς λόγοις, ἀπήγαγε τὴν στρατιὰν, πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν. Περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ᾽ ἡμίσεος τῆς τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι.

84. Ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας, ἔχων καὶ Χαλκιδέας, ἐπὶ Ἄκανθον, τὴν Ἀνδρίων ἀποικίαν, ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. Οἱ δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν κατ᾽ ἀλλήλους ἐστασίαζον, οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνεπάγοντες, καὶ ὁ δῆμος· ὅμως δὲ, διὰ τοῦ καρποῦ τὸ δέος ἔτι ἔξω ὄντος, πει-

exercitum ducere, hunc offendit et discedit, 84. conversusque ad Acanthum, primum ut ipsum solum, deinde

κατὰ δεινά. Sic exhibent meliores libri pro vulgato ὑπεξελθεῖν, quod vulgo vertunt: „ne subiret pericula in Perdiccae gratiam." De cuius interpretationis veritate recte dubitat Poppo, cum numquam ea verbo ὑπεξέρχεσθαι vis sit, atque ne ἐπεξέρχεσθαι quidem hunc sensum funderet. Quo magis amplectenda est lectio ὑπεξελεῖν, cuius sententia est: Chalcidenses Brasidam monebant, pericula Perdiccae ne subtraheret, ut eo (Perdicca) etiam ad suas res promptioro uterentur, cum ei aliquid reliquum esset, quod a Brasidae auxilio exspectaret.

κοινῇ. Varie exponunt, Portus *ex publica utilitate*, Bredovius *durch gütliche Vermittelung*. Mihi videtur esse: „ex communi sociorum utilitate rebus Arrhibaei favere se existimabat." Nam verba ἐκ τοῦ τοιούτου non pertinent solum ad proximum membrum: εἰρήκεσαν οἱ παρὰ τοῦ Περδίκκου, ὡς πολλὰ αὐτοῖς (τοῖς Λακεδαιμονίοις) τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι, sed ad cetera etiam argumenta, quibus permotus Brasidas Arrhibaeum sibi conciliandum esse arbitrabatur. — Paullo post ἄκοντος, τοῦ Περδίκκου. — ξυγγίγνεται, nempe τῷ Ἀῤῥιβαίῳ, colloquitur cum Arrhibaeo.

ἀνθ᾽ ἡμίσεος, vulgo mendose ἡμίσεως. Illud habes 2, 78. 4, 104.

ἐθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξασθαί τε αὐτὸν μόνον, καὶ ἀκούσαντας βουλεύσασθαι, δέχεται. Καὶ καταστὰς ἐπὶ τὸ πλῆθος (ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς Λακεδαιμόνιος, εἰπεῖν,) ἔλεγε τοιάδε.

85. „Ἡ ΜΕΝ ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ Λακεδαιμονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα, ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν Ἀθηναίοις, ἐλευθεροῦντες τὴν Ἑλλάδα πολεμήσειν· εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφαλέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου δόξης, ᾗ διὰ τάχους αὐτοὶ ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαιρήσειν, μηδεὶς μεμφθῇ. Νῦν γὰρ, ὅτε παρέσχεν, ἀφιγμένοι, καὶ μετὰ ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς. Θαυμάζω δὲ, τῇ τε ἀποκλήσει μου τῶν πυλῶν, καὶ εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. Ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι, οἰόμενοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ γοῦν γνώμῃ ἥξειν, καὶ βουλομένοις ἔσεσθαι, κίνδυνόν τε τοσόνδε ἀνεῤῥίψαμεν, διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. Ὑμεῖς δὲ εἴ τι ἄλλο ἐν νῷ ἔχετε,

85 — 87 ut exercitum etiam in urbem recipiant,

84. *δέξασθαί τε αὐτὸν μόνον, καὶ ἀκούσαντας βουλεύσασθαι.* Bauerus intelligebat *ὥστε* ad infinitivos *δέξασθαι* et *βουλεύσασθαι*, ut accusativus *ἀκούσαντας* defendi posset, cuius loco alioqui nominativus adhibendus fuisset, propter *τὸ πλῆθος δέχεται.* Sed *ὥστε* ad casum mutandum nihil valet. Vera causa est, quod accusativus cum infinitivo, qui substantivi vice est (*τὸ πλῆθος πεισθὲν τὸ βουλεύσασθαι ἀκούσαντας*) recte ponitur. Ut si dicas *ἐδόκει αὐτῷ πέμπειν γράψαντα.* Cf. ad cap. 97 init.

ὡς Λακεδαιμόνιος, Schol. *οἱ γὰρ Λάκωνες βραχυλόγοι.* Restringit igitur et minuit particula *ὡς* h. l., ut lat. *ut*, Corn. Nep. Epam. c. 5. „Satis exercitatum in dicendo, *ut Thebanum* scilicet." — *οὐδὲ ἀδύνατος εἰπεῖν*, *ne* dicendi *quidem* facultate expers, nempe praeter alias iam supra memoratas virtutes.

85. *καὶ μεθ' ὑμῶν.* Particula *καί*, quam perperam vertunt *et*, cum praecedat participium *ἀφιγμένοι*, supervacanea h. l. videri possit. Sed referenda est ad eam cogitationem, quam modo exposuit, Lacedaemonios vel sine Acanthiorum opera Atheniensibus fore superiores. Vertendum autem *etiam.*

οἰόμενοί τε — παρεχόμενοι. Particulae *τέ — καί*, parvo intervallo bis positae, an recto sibi respondeant, dubito;

ἢ εἰ ἐναντιώσεσθε τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλλων Ἑλλήνων, δεινὸν ἂν εἴη. Καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς ἂν ἐπίω, ἧσσόν τις ἐμοὶ πρόςεισι, δυςχερὲς ποιούμενοι, εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων παρεχομένους, καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε. Καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν, ἢ ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς Ἀθηναίους, ἢν ἐπίωσιν, ἀφῖχθαι. Καίτοι στρατιᾷ γε τῇδ', ἣν νῦν ἐγὼ ἔχω, ἐπὶ Νίσαιαν ἐμοῦ βοηθήσαντος, οὐκ ἠθέλησαν Ἀθηναῖοι, πλέονες ὄντες, προςμίξαι. ὥςτε οὐκ εἰκὸς νηΐτῃ γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι.

86. „Αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν Ἑλλήνων παρελήλυθα· ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις, ἦ μὴν, οὓς ἂν ἔγωγε προςαγάγωμαι ξυμμάχους, ἔσεσθαι αὐτονόμους· καὶ ἅμα, οὐχ ἵνα ξυμμάχους ὑμᾶς ἔχωμεν, ἢ βίᾳ ἢ ἀπάτῃ προςλαβόντες, ἀλλὰ τοὐναντίον, ὑμῖν, δεδουλωμένοις ὑπὸ Ἀθηναίων, ξυμμαχήσοντες. Οὔκουν

Acanthiis perſuadet.

primo enim loco opponuntur verba *οἰόμενοί τε παρὰ ξυμμάχους ἥξειν, καὶ βουλομένοις ἔσεσθαι*, altero autem ſtructura verborum *κίνδυνόν τε τοσόνδε ἀνεῤῥίψαμεν — καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι*, defendi poteſt more Thucydidis, a verbo finito ad participium transeuntis. Vid. ſupra ad c. 40. coll. 1, 25. et Schol. ad noſtrum locum, qui recte exponit: *καὶ προθυμίαν ἅπασαν ἐνεδεξάμεθα*. Ex eodem ſcholio emendo priorem illam periodi partem, reponens *οἰόμενοί γε*. Sic enim pergit Schol. *ἐλπίσαντες τὴν παρουσίαν ἡμῶν ἀσμένοις ὑμῖν ἔσεσθαι, οὕς γε καὶ πρὶν ἀφικέσθαι, τῇ γοῦν προαιρέσει φίλους εἶναι· ἕξειν τε, ὁπότε βουλοίμεθα, ὡς παρὰ φίλους ἀφικέσθαι.* Etiam cap. 86. pro *πίστεις τε* cum Poppone ſcribendum eſt *πίστεις γε*. Et ſaepiſſime hae particulae in codd. inter ſe permutantur, e. c. C. 86 extr. in verbis *τοῖς γε ἐν ἀξιώματι*.

δυςχερὲς ποιούμενοι. Expunxi *καί*, quod ante haec verba legebatur, cum multorum codicum auctoritate, tum ſtructura ipſa participii poſtulante. Ceterum ante *τίς*, quo pertinet *ποιούμενοι*, ſubaudiendum *τούτων*. — *ἐπιφέρειν* pendet ab *ἀφῖχθαι*.

νηΐτῃ γε, maritima expeditione. Subaudiendum enim *στόλῳ*.

ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις γε διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχωρεῖν τε ὑμᾶς θαρσήσαντας. Καὶ εἴ τις, ἰδίᾳ τινὰ δεδιὼς ἄρα, μὴ ἐγώ τισι προσθῶ τὴν πόλιν, ἀπρόθυμός ἐστι, πάντων μάλιστα πιστευσάτω. Οὐ γὰρ συστασιάσων ἥκω, οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, εἰ, τὸ πάτριον παρεὶς, τὸ πλέον τοῖς ὀλίγοις, ἢ τὸ ἔλασσον τοῖς πᾶσι, δουλώσαιμι. χαλεπωτέρα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη· καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο, ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον· οἷς τε τοὺς Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα, ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν, κατακτώμενοι. Ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι, ἢ βίᾳ ἐμφανεῖ. Τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται· τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. Οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφορῶν ποιούμεθα.

87. „Καὶ οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε, ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρού-

86. *ἀσαφῆ τὴν ἐλευθερίαν*, i. e. incertam et ambiguam libertatem. Inſignem autem h. l. animadverte brevitatem. Subaudiendum enim eſt, ut monuerunt interpretes quidam recentiores, *ἣν ἐπιφέροιμι ἄν*, ante *εἰ — δουλώσαιμι*, *quod fieret, ſi* cet. Cf. Poppo. — *τὸ πάτριον* refero ad Lacedaemoniorum non minus, quam ceterorum Graecorum inſtituta. Omnes enim libertatem amabant. *τὸ πλέον* recte Bauerus ad populum Acanthiorum, *τὸ ἔλασσον* ad nobiles vel optimates refert. Similiter *οἱ πάντες τοῖς ὀλίγοις* opponuntur ibidem.

οἷς τε τοὺς Ἀθηναίους — κατακτώμενοι. Cum Schol. intelligendum *ἐφ' οἷς*, *propter quae probra.* Deinde non cum Porto ſubaudiendum ad *ἐχθίονα*, *ἐκείνων τῶν ἐγκλημάτων*, ſed ſimpliciter *ἐγκλήματα*, quia comparativus pertinet ad *ἤ*. Eſt enim pro: *καὶ εἰ τοὺς Ἀθηναίους ἐγκλήμασί τισι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα —*. Similiter cap. 87 init. *ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται*, pro *εἰ ὑμῖν —*. Pro *φαινοίμεθα* e codd. Caſſ. Aug. Cl. Ar. C., quibus cum quodammodo etiam Gr. facit, exhibens *φαινόμεθα*, legendum fortaſſis *φαινώμεθα*. Vide ad 4, 63. (ubi boni codices pro *γιγνώμεθα* praebent *γιγνόμεθα*). cf. ad 1, 84. — *ἀρετήν*, cum Bauero intelligo liberalitatem animi, ad alios a ſervitute vindicandos prompti.

διαφορῶν, i. e. *διαφερόντων*.

μενα, δόκησιν ἀναγκαίαν παρέχεται, ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. εἰ δ', ἐμοῦ ταῦτα προϊσχομένου, ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες, ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι, καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι, δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν, τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν· μάρτυρας μὲν θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι, ὡς, ἐπ' ἀγαθῷ ἥκων, οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν, πειράσομαι βιάζεσθαι. Καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσεῖναι δέ τί μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον· τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε, τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους βλάπτωνται· οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δουλείας ἀπαλλαγῆναι. Οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν· οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν. οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες, τοὺς πλείους ἂν ἀδικοῖμεν, εἰ, ξύμπασιν αὐτονομίαν ἐπιφέροντες, ὑμᾶς τοὺς ἐναντιουμένους περιίδοιμεν. Πρὸς ταῦτα βουλεύεσθε εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας, καὶ ἀΐδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι, καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι."

88. Ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν. Οἱ δὲ Ἀκάνθιοι, πολλῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα,

88. Fide data, exercitus receptus; mox etiam Stagirus ab

87. *διωθεῖσθαι*, ἡμᾶς τοὺς Λακεδαιμονίους. — Ad ſequentes autem infinitivos ex praecedentibus repetendum eſt *φήσετε*, non proximum ἀξιώσετε.

τῶν μὲν Λακεδαιμονίων. Genitivus pendet a ſubſtantivo *ἀνάγκας*. Bauerus intelligit περί, ἕνεκα. — In ſequentibus mutat ſtructuram: οἱ δὲ Ἕλληνες, pro τῶν δὲ Ἑλλήνων.

μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ, „ſi non alicuius boni publici cauſa." Hanc eſſe vim negationis μή, patet. Vide Hermann. ad Viger. p. 802. Non abſimile eſt 5, 8. καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως.

κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν, καὶ περὶ τοῦ καρποῦ φόβῳ, ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων. Καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις, οὓς τὰ τέλη τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν, ἦ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους, οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. Καὶ οὐ πολλῷ ὕστερον καὶ Στάγειρος, Ἀνδρίων ἀποικία, ξυναπέστη. Ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.

89. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς τῷ Ἱπποκράτει καὶ Δημοσθένει, στρατηγοῖς οὖσιν Ἀθηναίων, τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο, καὶ ἔδει τὸν μὲν Δημοσθένην ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι, τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν, εἰς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν Δημοσθένης, πρότερον πλεύσας πρὸς τὰς Σίφας, καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας, καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται, μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ Νικομάχου, ἀνδρὸς Φωκέως ἐκ Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς. Καὶ βοηθείας γενομένης πάντων Βοιωτῶν (οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν) προκαταλαμβάνονται αἵ τε Σίφαι καὶ ἡ Χαιρώνεια. Ὡς δὲ

Athenienſibus deſciſcit. 89. Expeditio Demoſthenis in Boeotos errore dierum et proditione conſilii irrita facta.

88. *κρύφα διαψηφισάμενοι.* Ita, codicibus quam plurimis iubentibus, cum Benedicto edidi pro vulgato *κρύφα ψηφισάμενοι.* Sequitur enim *ἔγνωσαν οἱ πλείους,* ubi *ἔγνωσαν* eſt pro *ἐψηφίσαντο.* Omnes igitur dicuntur *διαψηφίσασθαι,* plures *ψηφίσασθαι* vel *γνῶναι* —. *ἐπαγωγά,* ad perſuadendum appoſita.

ὀμόσαντα ad *τὰ τέλη* referas propter Braſidae verba cap. 86. *ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις* —. Paullo poſt pro *οὐ πολλῷ ὕστερον* Benedictus ex undecim libris legendum cenſet *οὐ πολὺ ὕστερον.* Sed meliorum fere codicum conſenſus deeſt, et utroque utitur Thucydides. Vid. ad 2, 43.

89. *ἐνεδίδοτο,* de conatu accipe, *tradenda erant.* — *ἀπαντῆσαι,* *praeſto eſſe,* ut 4, 10.

ἐκ Φανωτέως, vid. ad c. 76.

ᾔσθοντο οἱ πράσσοντές τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν.

90. Ὁ δὲ Ἱπποκράτης, ἀναστήσας Ἀθηναίους πανδημεὶ, αὐτοὺς καὶ τοὺς μετοίκους, καὶ ξένων ὅσοι παρῆσαν, ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη τῶν Βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν· καὶ καθίσας τὸν στρατὸν, Δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ, [τὸ ἱερὸν τοῦ Ἀπόλλωνος.] Τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν· καὶ σταυροὺς παρακαταπηγνύντες, ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν, ἐσέβαλλον. καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα. Πύργους τε ξυλίνους κατέστησαν, ᾗ καιρὸς ἦν, καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν. ᾗπερ γὰρ ἦν στοὰ, καταπεπτώκει. Ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ, ὡς οἴκοθεν ὥρμησαν, ταύτην τε εἰργάζοντο, καὶ τὴν τετάρτην, καὶ τῆς πέμπτης μέχρι ἀρίστου.

90. Hippocrates autem, quamquam ſero advenerat, paucis diebus Delium munit, atque recedens ad Atticae fines,

90. καὶ ξένων ὅσοι παρῆσαν. Non raro μέτοικοι, *inquilini* Athenienſium, Iudaeis noſtris civilis conditionis ratione non abſimiles, in Athenienſium expeditionibus, maxime navalibus aut certe non nimis longinquis, reperiuntur. Sed h. l. in hanc rem etiam ξένοι memorantur, qui, Athenis non habentes domicilia, vel tributorum ſolvendorum, vel negotiandi, vel ſpectaculorum denique cauſa per aliquod tempus in ea urbe degebant.

τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. Valde mihi ſuſpecta ſunt haec verba, primum quod ſuperflua ſunt, cum ſtatim ſequatur περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν, atque ſupra c. 76. iam dixerit: Δήλιον καταλαβεῖν, τὸ ἐν τῇ Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερόν; deinde quod minus apto loco ponuntur poſt verba τοιῷδε τρόπῳ, quibus alibi ſemper ipſa rei deſcriptio ſubiungitur. Quodſi quis dicat, locum c. 76. non impedire, quo minus haec verba hic repetantur; aptiorem certe iis locum eſſe concedat neceſſe eſt poſt verba paullo ſuperius lecta: ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον.

ἐκ τῶν οἰκοπέδων τῶν ἐγγύς, puto aream aedificiorum ſtoae adiacentium, quae paullo poſt collapſa dicit, intelligendam eſſe.

καταπεπτώκει, int. τὸ τοῦ ἱεροῦ οἰκοδόμημα. Hoc ſatius eſſe arbitror, quam cum Benedicto ex uno Vindob. legere ἧπερ γὰρ ἦν στοὰ, ſine ι ſubſcripto.

Ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους, ὡς ἐπ' οἴκου πορευόμενον· καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ, ὑπομένων ἔτι, καθίστατο φύλακάς τε, καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρῆν ἐπιτελέσαι.

91. *Οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν, καὶ ᾐσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ' οἴκου, τῶν ἄλλων Βοιωταρχῶν, οἵ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσί· (μάλιστα γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν, ὅτε ἔθεντο τὰ ὅπλα,) Παγώνδας ὁ Αἰολάδου Βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Λυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ, βουλόμενος τὴν μάχην ποιῆσαι, καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα,*

cum, 91. ceteris Boeotarchis pugnam abnuentibus,

οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι, h. l. valet idem quod *τῶν μὲν ψιλῶν οἱ πλεῖστοι*. C. 94 extr. *οἵπερ δὲ ξυνεσέβαλον, ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοι πολλοὶ ἠκολούθησαν*. Cf. Eurip. Hecub. 591. ibique Hermann.

91. *προχωροῦντας*. Contra plerosque codices perperam vulgo legitur *προσχωροῦντας ἐπ' οἴκου*, quod tamen Bauerum defenſorem nactum eſt, qui praepoſitionum vim ubique extenuat vel prorſus negat. *Προσχωρεῖν* de iis potius, qui contra hoſtem, quam qui domum proficiſcuntur, dici notum eſt; *προχωρεῖν* autem, etſi *non* eſt *recedere*, ſed *procedere*, tamen ſaepe de regredientibus uſurpatur, ut motum omnino ſignificet, ut lat. *procedere*.

οἵ εἰσιν ἕνδεκα. Ne haec referas ad *τῶν ἄλλων*, ſed ad *Βοιωταρχῶν* ſolum. Undecim enim omnino erant Boeotarchi, ut vel praeſens *εἰσίν* docet.

καὶ ἡγεμονίας οὔσης αὐτοῦ. Portus addit in verſione *tunc*. Sed cum Thucydides non dicat *ἡγεμονίας τότε οὔσης*, crediderim potius, imperium ſemper penes Thebanos fuiſſe, et unum ex duobus Boeotarchis Thebanis, Pagondam. (qui Diodoro 12, 69. vocatur *Pantodas*) principem totius exercitus ducem. Nam duos ex Thebanis inter Boeotarchas ſemper creandos fuiſſe, colligo ex eo, quod diſerte etiam alterum Boeotarcham Thebanum perhibet. Cf. 7, 30.

ὅπως μὴ ἀθρόοι ἐκλι-

ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους, καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

92. „ΧΡΗΝ μὲν, ὦ ἄνδρες Βοιωτοὶ, μηδ' εἰς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων, ὡς οὐκ εἰκὸς, Ἀθηναίοις. ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτοὺς, διὰ μάχης ἐλθεῖν. Τὴν γὰρ Βοιωτίαν, ἐκ τῆς ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι, καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. Νυνὶ δ', εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. Οὐ γὰρ τὸ προμηθὲς, οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ πλείονος δὲ ὀρεγόμενος, ἑκών τινι ἐπέρχεται. Πάτριόν τε ὑμῖν, στρατὸν ἀλλόφυλον ἐπελθόντα, καὶ ἐν τῇ οἰκείᾳ, καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους δὲ, καὶ προσέτι ὁμόρους ὄντας, πολλῷ μάλιστα δεῖ. Πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται· καὶ πρὸς τούτοις γε δὴ, οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦ-

Pagonda autem Thebano 92. ad proelium ſuos hortante,

ποιεῖν τὰ ὅπλα, i. e. aciem inſtructam, ut paullo ante de Athenienſibus dicitur: ἔθεντο τὰ ὅπλα.

92. καὶ ὅθεν — ἔδρασαν, a coniunctivo transiit ad indicativum. Ὅθεν pro ὁθενοῦν, monente Bauero.

οὐ γὰρ τὸ προμηθὲς —. Iunge: οὐ γὰρ τὸ προμηθὲς (ἡ προμήθεια τούτων), οἷς ἂν ἄλλος ἐπίῃ, ἐνδέχεται ὁμοίως λογισμὸν περὶ τῆς σφετέρας, καὶ (ἐκείνου), ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, ἑκὼν δὲ ἐπέρχεταί τινι, ὀρεγόμενος τοῦ πλείονος. — Pro τοῦ δὲ πλείονος meliore ordine codices Gr. Caſſ. Aug. Reg. cum aliis quatuor Pariſſ. legi iubent τοῦ πλείονος δέ.

ἐν τῇ τῶν πέλας. Bauerus contendit, τοὺς πέλας h. l. eſſe ſimpliciter alios, non finitimos, quia ſequatur ὁμόρους ὄντας et προσέτι. Ergo non vidit, poſſe etiam qui non ſit ὅμορος alium invadere ἐν τῇ τῶν πέλας, ſi quidem mox idem Thucydides de Athenienſibus dicit, οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦσθαι. Verba ἐν τῇ τῶν πέλας ἀμύνεσθαι generaliter dicta ſunt, nondum Athenienſium ſpecialiter ratione habita. Geminam ſententiam legimus ſupra cap. 78. καὶ τοῖς πᾶσί γε ὁμοίως Ἕλλησιν — — διιέναι.

σθαι. πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; (παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας, καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ, ὡς αὐτοῖς διάκειται·) καὶ γνῶναι, ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται· ἡμῖν δὲ ἐς πᾶσαν, ἣν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται. ἐσελθόντες γὰρ, βίᾳ τὰ ἡμέτερα ἕξουσι. Τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ Ἀθηναῖοι νῦν, ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ ἔξω ὅρων προαπαντῶντα, καὶ, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν. Πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτοὺς, ὅτε τὴν γῆν, ἡμῶν στασιαζόντων, κατέσχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. Ὧν χρὴ μνησθέντας ἡμᾶς, τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχύναι τὰς προσηκούσας ἀρετάς· πι-

ὡς αὐτοῖς διάκειται. Αὐτοῖς refero ad Athenienſes, ut ſit pro ὑπ' αὐτῶν, „qua per illos conditione utatur maxima Graeciae pars.“ Patet enim, parentheſin illam adiectam eſſe ad illuſtrandam vim infinitivi δουλοῦσθαι. Paullo ante in verbis οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καί — omiſſam particulam μόνον, quam nullo exemplo omitti putabat Duckerus, quodammodo compenſat primum illud καί; i. e. *vel*, *adeo*. „Qui adeo, ne dicam propinquos, ſed etiam remotos ſubigere conantur.“

ἡμῖν δὲ ἐς πᾶσαν — παγήσεται. Ἐς πᾶσαν int. γῆν. Verba εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται per metaphoram dicta intellige de Athenienſium imperio ad Boeotos citra controverſiam venturo. Illuſtrant ea, quae ſtatim ſequuntur.

ἐπικινδυνοτέραν ἑτέρων, cum Duckero ſubintellige τῆς παροικήσεως. Ex omnibus, inquit, vicinis hi nobis ſunt longe moleſtiſſimi. — κατέχειν, coërcere.

τῇ Βοιωτίᾳ. Praepoſitionem ἐν ante haec verba codicum plerorumque omnium auctoritate eiiciendam eſſe, iam alii viderant. — Ceterum ut hoc exemplum quadret, iisque accommodatum ſit, quae paullo ante contenderat, νικήσαντες pro contrario τοῦ ἀμύνεσθαι accipiatur. tamquam ἐπιθέμενοι καὶ νικήσαντες; illam enim victoriam non ἐν τῷ ἀμύνασθαι reportaverant, ſed ἐν τῷ ἑκόντες ἐπιθέσθαι. Cf. 1, 113.

στεύσαντας δὲ τῷ θεῷ, πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς, ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι, ὅτι, ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν· οἷς δὲ γενναῖον, τήν τε αὐτῶν ἀεὶ ἐλευθεροῦν μάχῃ, καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀνανταγώνιστοι ἀπ᾽ αὐτῶν οὐκ ἀπίασι."

93. Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας, ἔπεισεν ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. Καὶ κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρατόν· (ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν·) καὶ ἐπειδὴ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας, ὅθεν, λόφου ὄντος μεταξὺ, οὐκ ἐθεώρουν ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. Τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον, ὡς αὐτῷ ἠγγέλθη, ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα, κελεύων ἐς τάξιν καθίστασθαι· καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τι ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς, καιρὸν φυλάξαντες, ἐπιγένοιντο ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνομένους· καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου, καὶ ἔθεντο τὰ ὅπλα, τεταγμένοι ὥσπερ ἔμελλον,

93. Boeoti profecuti aciem inftruxiffent,

κτάσθωσαν, pro futuro κτήσονται pofitum putat imperativum Duck. Sed videtur Scriptor oblitus effe inchoatae ftructurae et particulae ὅτι.

ἀνανταγώνιστοι. Vulgo ἀναγώνιστοι. Noftra lectio firmatur praeftantiffimis libris Cl. Caff. Aug., quibus Mofq. Vind. et nonnulli Pariff. accedunt (cf. Benedict.), et Thucydidis ufu, qui eodem vocabulo 2, 45. utitur.

93. προσέμιξεν, modo appropinquarit, propius acceffit.

τῷ δὲ Ἱπποκράτει. Cum fequatur ὡς αὐτῷ ἠγγέλθη, oratio eft ἀνακόλουθος, pro ὁ δὲ Ἱπποκράτης ὢν —, quod Auctor fcripfiffe fibi videbatur.

εἴ τι ἐπίοι αὐτῷ. Reg. Gr. cum aliis minus probatis libris exhibent εἴ τις, quod Benedictus praeferebat. — αὐτῷ, Δηλίῳ.

ὥσπερ ἔμελλον Schol. μαχέσασθαι.

ὁπλῖται ἑπτακισχίλιοι μάλιστα, καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππεῖς τε χίλιοι, καὶ πελτασταὶ πεντακόσιοι. Εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι, καὶ οἱ ξύμμοροι αὐτοῖς· μέσοι δὲ, Ἁλιάρτιοι, καὶ Κορωναῖοι, καὶ Κωπαιεῖς, καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιεῖς, καὶ Ταναγραῖοι, καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππεῖς καὶ ψιλοὶ ἦσαν. ἐπ᾽ ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσιν οἱ Θηβαῖοι ἐτάξαντο· οἱ δὲ ἄλλοι, ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν Βοιωτῶν παρασκευὴ καὶ διάκοσμος ἦν.

94. Ἀθηναῖοι δὲ, οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις· ἱππεῖς δὲ ἐφ᾽ ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ, ἐκ παρασκευῆς μὲν ὡπλισμένοι, οὔτε τότε παρῆσαν, οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον, ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε πανστρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης· καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ᾽ οἴ-

94. ipſe quoque ſuam aciem firmat et praeſidiis,

οἱ ξύμμοροι αὐτοῖς, intelligo οἱ ξυντελοῦντες αὐτοῖς, i. e. Thebanis addicti, ad Thebanos pertinentes Boeotiae pagi. Nam cum in quatuor partes ſ. regiones diviſa eſſet Boeotia, Thebani ſicut totius, ita huius imprimis partis Boeotiae duces et principes erant. Has autem partes ξυμμορίας videtur appellare Thucydides.

ἐπ᾽ ἀσπίδας πέντε καὶ εἴκοσι, militaris locutio, *quinquaginta in altitudinem homines collocati*, 25 *Mann hoch*. C. 94. ἐπὶ ὀκτώ tantundem valet. Cf. interpretes ad 7, 79. Articulum οἱ ante Θηβαῖοι etſi boni codices Cl. Gr. Aug. Caſſ. omittunt, tamen eum retineo, neque aſſequi poſſum, cur altera lectio Benedicto longe elegantior et praeferenda videatur.

94. Ἀθηναῖοι δέ, pro Ἀθηναίων δέ, quam orationis formam Homericum ſchema appellat Schol. Vid. Hom. Il. γ 211. η, 215. Sed etiam alibi Thucydides ita loquitur. 3, 92 init. Μηλιεῖς οἱ ξύμπαντες εἰσὶ μὲν τρία μέρη.

οὔτε ἐγένοντο τῇ πόλει. Quod vulgo ante τῇ πόλει inſeritur ἐν, praeſtantiſſimi codices reſpuunt. Quod ut eſt damnandum, ita non eſt audiendus Benedictus, qui τῇ πόλει refert ad ὡπλισμένοι. Opponuntur qui tum aderant illic, et qui omnino erant urbi.

ἅτε πανστρατιᾶς — γενομένης. Cf. cap. 90 init. — ὥρμησαν ἐπ᾽ οἴκου, v. eod. cap. extr. οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν.

κου, οὐ παρεγένοντο, ὅτι μὴ ὀλίγοι. Καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι, Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν Ἀθηναίων, παρεκελεύετό τε, καὶ ἔλεγε τοιάδε.

95. „Ὦ ἈΘΗΝΑΙΟΙ, δι᾽ ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται, καὶ ὑπόμνησιν μᾶλλον ἔχει, ἢ ἐπικέλευσιν. Παραστῇ δὲ μηδενὶ ὑμῶν, ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προςῆκον τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν. Ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐςβάλωσιν· ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προςκτᾶσθε, καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. Χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούςδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις, τὴν Βοιωτίαν ποτὲ ἔσχον.“

96. Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου, καὶ μέχρι μὲν μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκ ἔτι φθάσαντος, οἱ Βοιωτοὶ, παρακελευσαμένου καὶ σφίσιν ὡς διὰ ταχέων καὶ ἐνταῦθα Πα-

95. et vero oratione. 96. Commiſſa pugna apud Oropum,

καὶ ἤδη μελλόντων. Hunc verborum ordinem cum aliis praetuli vulgato ἤδη, καὶ μελλόντων.

95. πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται. Poppo conjicit πρός γε τοὺς ἀγ. Non audio; nam et alibi τέ ſic transponitur, ut priorum vocularum uni, maxime praepoſitioni, addatur, atque ita vim ſuam toti membro tribuat. Ita hic accipe pro: πρὸς δὲ τοὺς ἀγ. ἄνδ. τὸ ἴσον τε δύναται, καὶ ὑπόμν. μ. ἔχει. „Brevi quidem, Athenienſes, haec adhortatio fit, tamen apud vos, qui fortes viri eſtis, et tantundem valet, et admonitionem potius, quam imperium continet.“ Vid. ad cap. 127.

οὐ προςῆκον, pro οὐ προςήκοντος τούτου, h. e. οὐ προςηκόντως, quomodo h. l. legendum fruſtra ſuadet Bened.

ὑπὲρ τῆς ἡμετέρας. Sic pro ὑμετέρας plurimorum codd. auctoritate reſcripſi. Variat ſaepe Auctor in eadem periodo haec pronomina, ſiquidem mox ſequitur ὑμῖν, cuius loco nolim cum cod. Moſq. legere ἡμῖν.

ἐν Οἰνοφύτοις. Vid. 1, 108.

96. οὐκ ἔτι φθάσαντος, int. ἐπελθεῖν.

γώνδου, παιωνίσαντες ἐπήεσαν ἀπὸ τοῦ λόφου. Ἀντεπήεσαν δὲ καὶ οἱ Ἀθηναῖοι, καὶ προςέμιξαν δρόμῳ. Καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν. τὸ δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει. Καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι τοῦ μέσου, ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ. καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. Ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων. καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν. Καί τινες καὶ τῶν Ἀθηναίων, διὰ τὴν κύκλωσιν ταραχθέντες, ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. Τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν, καὶ πρὸς τὸ μαχόμενον κατέφυγε· τὸ δὲ δεξιὸν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθηναίων. Καὶ ὠσάμενοι κατὰ βραχὺ, τὸ πρῶτον ἐπηκολούθουν. Καὶ ξυνέβη, Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς

παιωνίσαντες. Ita pro παιωνίσαντος ex optimis libris, mutata interpunctione, scribendum esse, iam docuerat Duckerus. Vid. 1, 50 coll. 7, 44. — Verba καὶ ἐνταῦθα respiciunt ad c. 91. ubi προςκάλεσαι ἑκάστους κατὰ λόχους Pagondas dicebatur. Nunc *iterum* ante aciem, sicut Hippocrates, suos cohortatus erat.

τὰ ἔσχατα, alae equitum et militum levis armaturae.

μέχρι [τοῦ] μέσου. Articulum τοῦ, a pluribus codd. omissum, cum Benedicto expunxerim. Supra cap. 93. primum sine articulo dicit: εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι· μέσοι δὲ Ἁλιάρτιοι — deinde τὸ δὲ εὐώνυμον εἶχον Θεσπιεῖς. Similiter cap. 11. Ἀθηναῖοι δὲ, οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο — ἱππεῖς δὲ, pro οἱ δὲ ἱππεῖς

καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ. Vulgo ἐπήεσαν, quod, cum Thucydides semper iungat ἐπιέναι et ἐπέρχεσθαί τινι, non τινά, reiecimus, recepta altera lectione ἐπίεσαν, quam undecim codices exhibent.

ὑποχωρησάντων γὰρ — κατεκόπησαν. Recte αὐτοῖς ad Athenienses refert Schol. Nam παρατεταγμένοι sunt *oppositi*. Verba κυκλωθέντων ἐν ὀλίγῳ intl. τόπῳ pertinent ad τῶν παρατεταγμένων, sicut ὑποχωρησάντων, et sequens genitivus Θεσπιέων pendet a relativo pronomine οἵπερ, *quicumque Thespiensium vulnerati erant*; nisi forte malis cum Benedicto interpungere post διεφθάρησαν, ut Θεσπιέων κυκλωθέντων iungatur. — ἐν χερσὶν ἀμυνόμενοι, cominus se defendentes.

πρὸς τὸ μαχόμενον Schol. μέρος τῶν Βοιωτῶν τὸ ἔτι τὴν μάχην ὑπομένον.

ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φόβον καταστῆναι. Καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ τοιούτου, καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων, καὶ παραῤῥηγνύντων, φυγὴ καθεστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. Καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν· οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ· ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος· οἱ δὲ, ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς οἵ τε αὐτῶν, καὶ οἱ Λοκροὶ, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης. Νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. Καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες, (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι,) ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ᾽ οἴκου.

97. Καὶ οἱ Βοιωτοὶ, τροπαῖον στήσαντες, καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς τὴν Τάναγραν· καὶ τῷ Δηλίῳ ἐπεβούλευον, ὡς προςβαλοῦντες. Ἐκ δὲ τῶν Ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς, ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς, αὐτὸν ἀποστρέψας, καὶ εἰπὼν, ὅτι οὐδὲν πράξει, πρὶν

97. praecones utrimque miſſi. Quid praeco Boeotorum

φυγὴ καθεστήκει. Multi codices h. l. exhibent *καθειστήκει,* ſicut editum eſt infra cap. 103. Sed alibi plerumque, ſi recte memini, codicum auctoritas alteram formam per ſimplicem vocalem ε praeferri iubet, (ut cap. 97. *καθεστηκός*) niſi quod Reg. cum Moſq. pleniorem illam praebere ſolet, c. c. 4, 78. Idem Reg. plerumque *εἰς* pro *ἐς* praebet. Cui codici, ſi orthographiae ratio habeatur, paullo minus tribuendum videtur, quam Cl. Caſſ. et Aug. Cf. varietas lectionis in ed. Lipſ. Tom. I. p. 622.

καὶ μάλιστα οἱ ἱππεῖς, οἵ τε αὐτῶν. Hanc lectionem praebent codd. Ar. C. Reg. Gr. Caſſ. Aug. Dan. et Pariſſ. tres, quibus Vallae etiam verſio adſtipulatur. Vid. Bened. Vulgo legitur *καὶ μάλιστα οἵ τε ἱππεῖς αὐτῶν.*

97. *ἐκ δὲ τῶν Ἀθηναίων κῆρυξ.* Ita rurſus cap. 104. pro *ἐκ τῶν Ἀθηνῶν κῆρυξ Ἀθηναίων* vel *Ἀθηναῖος.*

ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, καταστὰς ἐπὶ τοὺς Ἀθηναίους, ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλήνων. Πᾶσι γὰρ εἶναι καθεστηκὸς, ἰόντας ἐπὶ τὴν ἀλλήλων, ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι. Ἀθηναίους δὲ Δήλιον τειχίσαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι, πάντα γίγνεσθαι αὐτόθι· ὕδωρ τε, ὃ ἦν ἄψαυστον σφίσι, πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπάσαντας ὑδρεύεσθαι. Ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτοὺς ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν, αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν.

98. Τοσαῦτα τοῦ κήρυκος εἰπόντος, οἱ Ἀθηναῖοι πέμψαντες παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα, τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν, οὔτε τοῦ λοιποῦ ἑκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐςελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι· ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἤν τε πλέονος, ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα, οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. Καὶ γὰρ Βοιωτοὺς, καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας, οἰκεῖα νῦν κεκτῆσθαι. Καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δὲ, ἐν ᾧ μέρει

popofcerit; 98. quid contra Athenienfis.

ἰόντας ἐπὶ τὴν ἀλλήλων, pro *ἰοῦσιν*, ut faepe. Cf. ad 4, 75. Xen. Memor. 2, 8, 1. *δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι, ἢ δεῖσθαι — ἄλλως τε καὶ μηδὲν ἔχοντα.*

πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι. Iunge *πλὴν* (*τοῦ*) *χρῆσθαι χέρνιβι πρὸς τὰ ἱερά.* — *χέρνιψ* h. l. eft adfperfio in facris ufitata, ne de manuum lotione, prifco aevo ante coenam folemni, cogites. —

τοὺς ὁμωχέτας δαίμονας, i. e. *συνναόυς*. Schol. recte: *οἱ συμμετέχοντες τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν.* Eft enim ab *ὁμοῦ* et *ἔχω*.

αὐτοὺς — ἀπιόντας, int. *Ἀθηναίους*.

98. *εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι.* Sic recte e codd. Cl.

εἰσὶν, ἑκόντες εἶναι, ὡς ἐκ σφετέρου, οὐκ ἀπιέναι. Ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν οὐκ αὐτοὶ ὕβρει προςθέσθαι, ἀλλ᾽ ἐκείνους, προτέρους ἐπὶ τὴν σφετέραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. Πᾶν δ᾽ εἰκὸς εἶναι τῷ πολέμῳ καὶ δεινῷ τινι κατειργόμενον, ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. Καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς· παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τὶ τολμήσασι. Τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν, ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ πρέποντα κομίζεσθαι. Σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν, μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν

Gr. Caſſ. Aug. Reg. Par. C. E. F. ſcribi iuſſit Poppo, quia particulae temporales in oratione obliqua ſaepius cum infinitivo coniungantur. Sed latius patet infinitivi uſus. Cf. ſupra ad 2, 102.

βιάζεσθαι χρῆσθαι, int. αὐτῇ, τῇ ἀνάγκῃ. — Paullo ante in ἑκόντες εἶναι infinitivum εἶναι abundare, ſatis notum eſt. Cf. ad 4, 28.

πᾶν δ᾽ εἰκὸς εἶναι τῷ πολέμῳ —. Suſtuli comma poſt εἶναι, quia πᾶν melius ad κατειργόμενον pertinet, quam per ſe intelligitur ἐπὶ πᾶν. Deinde placet lectio cod. Aug. τὸ πολέμῳ —, tum quia articulus τῷ ſententiae, quae eſt generalis, quodammodo disconvenit; tum quod linguae leges poſtulant, ut dicatur πᾶν τὸ κατειργόμενον. Reiskii coniectura κατειργομένῳ cuivis locum primo inſpicienti facile in mentem veniat. Sed corruptelae cauſa patet.

ἱεροῖς τὰ πρέποντα κομίζεσθαι. Verba ἱεροῖς κομίζεσθαι e Schol. cod. Reg. ὥσπερ τιμήματι, recte cepit poſt Kiſtem. Bredovius: ἀντὶ ἱερῶν, i. e. *templi reſtitutione*, vel *templo reſtituendo ſibi auferre*. — τὰ πρέποντα intelligo τὴν τῶν νεκρῶν ἀπόδοσιν, quia moris erat, victo hoſti, nulla lege interpoſita, τοὺς νεκροὺς ὑποσπόνδους permittere, ipſa religione impellente. Unde mox dicit: κατὰ τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι. Ita τὰ πρέποντα defendi poſſe puto, neque opus eſſe emendatione τὰ μὴ πρέποντα, quam ex uno cod. Caſſ. protulit Poppo. Verto: „Et illos quidem multo magis impie facere, qui aequum cenſerent, militum cadavera pro templis reſtituere, quam eos, qui nollent templis reſtituendis recuperare, quae deceret recuperare."

σφίσιν εἰπεῖν. Perperam haec acceperunt interpretes. Σφίσιν non poteſt ad Boeotos pertinere, ſed pertinet ad Athenienſes, qui loquuntur, quo etiam ἀπιοῦσιν — σπένδουσιν. Fruſtra etiam Bredovius ita accipit: „mandabant praeconi, ut perſpicue declararet, ipſos cadavera ſublaturos eſſe;" quae mira verborum σφίσιν εἰπεῖν traiectio eſſet. Sententia potius eſt: Athenienſes per praecones iubebant Boeotos clare et perſpicue

γῆς· (οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο,) ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι.

99. Οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσὶν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν, ἀποφέρεσθαι τὰ σφέτερα· εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον· νομίζοντες, τὴν μὲν Ὠρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς, ἐν μεθορίοις τῆς μάχης γενομένης, κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων· τὸ δὲ, ἐκ τῆς ἑαυτῶν, εὐπρεπὲς εἶναι ἀποκρίνασθαι, ἀπιόντας, καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν. Ὁ δὲ κῆρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.

100. Καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ὁπλιτῶν, καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν, καὶ Μεγαρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον, καὶ προσέβαλον τῷ τειχίσματι· ἄλλῳ τε τρόπῳ πειράσαντες, καὶ μηχανὴν

99. Boeoti negantes, ſe poſſe paciſci de Athenienſium agro, ubi cadavera iacebant, praeconem re infecta dimittunt. 100. Delium qua ratione a Boeotis receptum ſit.

ſibi reſpondere, utpote non abituris ex illorum terra (eſſe enim in ſua, quam quidem armis ſubegerint) ſed patrio more militum cadavera per ſponſionem ſublaturis. In errorem induxit interpretes, quod εἰπεῖν non habet obiectum, ſed σαφῶς εἰπεῖν tamquam ea res, quae poſtulatur, cogitanda eſt. Supra enim c. 97 extr. ſubobſcure cadaverum reſtitutionem ſignificaverant verbis: αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν.

99. Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, iure dominii eſſe Athenienſium, nunc vero in ſua eſſe poteſtate. — Ante verba οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων, et poſt eadem verba minus plene interpunxi, ne hoc interiecto brevi membro ſequentia a participio νομίζοντες, quo pertinent, divellerentur. — Paullo ante αὐτοὺς refer ad Athenienſes, et βίᾳ σφῶν eſt invitis Boeotis.

100. τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοπ. φρ. vid. ſupra 4, 69 poſt med.

προσήγαγον, ἥπερ εἷλεν αὐτὸ, τοιάνδε. Κεραίαν μεγάλην δίχα πρίσαντες, ἐκοίλαναν ἅπασαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς ὥσπερ αὐλόν. Καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἁλύσεσι, καὶ ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. Προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγὺς, φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κεραίας, ἐφύσων. ἡ δὲ πνοὴ, ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα, ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα ἐποίει μεγάλην, καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἔτι ἐπ' αὐτοῦ μεῖναι, ἀλλὰ ἀπολιπόντας, ἐς φυγὴν καταστῆναι, καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. Τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν. τῶν δὲ ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς ἐσβὰν, ἀπεκομίσθη ἐπ' οἴκου.

101. Τοῦ δὲ Δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην, καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος, οὐδὲν ἐπισταμένου τῶν γεγενημένων, ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ, καὶ οὐκέτι ταυτὰ ἀπεκρίναντο. Ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων· Ἀθηναίων δὲ, ὀλίγῳ ἐλάσσους

101. Quo facto Boeoti Athenienſibus cadavera reddunt. Demoſthenes paullo poſt fruſtra conatus in Sicyoniam

ἐπ' ἄκραν int. κεραίαν. — ἀκροφύσιον, ferrea fiſtula eſt, quae in fornacis os immittitur, ad ignem flatu excitandum. Hic ad ipſum lebetem, in antemna extrema catenis ſuspenſum, demiſſa erat.

τῇ ἀμπέλῳ. vitibus enim ad ſtruendum murum uſi erant. cf. cap. 90.

ὥστε μηδένα ἔτι ἐπ' αὐτοῦ μεῖναι. Hunc verborum ordinem reſtituit Bened. e codicibus. Vulgo ἐπ' αὐτοῦ ἔτι μεῖναι. — Paullo inferius pro ἐμβὰν plurimi codd. ſcribi iubent ἐσβὰν, et pro ἀπεκομίσθησαν, ἀπεκομίσθη, quod etiam Kiſtemakero praeferendum videbatur, ne temere inſolentior lectio induceretur. Vulgata lectio oriri potuit propter praecedentes plurales ἀπέθανον — ἐλήφθησαν.

χιλίων, καὶ Ἱπποκράτης ὁ στρατηγός· ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός. Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας τῆς προδοσίας πέρι οὐ προὐχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν, τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων καὶ Ἀθηναίων τετρακοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. Καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι, βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν, καὶ κατεδίωξαν ἐς τὰς ναῦς· καὶ τοὺς μὲν, ἀπέκτειναν, τοὺς δὲ, ζῶντας ἔλαβον. τροπαῖον δὲ στήσαντες, τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν. Ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαρδόκου, ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θρᾴκης, ἧσπερ καὶ ἐκεῖνος.

102. Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας, ἔχων τοὺς ἐπὶ Θρᾴκης ξυμμάχους, ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ, Ἀθηναίων ἀποικίαν. Τὸ δὲ χωρίον τοῦτο, ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν, ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος, φεύγων βασιλέα Δαρεῖον, κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη· ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι, ἔτεσι δύο καὶ τριάκοντα ὕστερον, ἐποίκους μυρίους, σφῶν τε αὐτῶν

descendere. Sitalces, rex Odrysarum, in proelio occisus. 102. Brasidas accedit ad Amphipolin, Atheniensium co-

101. ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός. Haec discrepare videntur cum iis, quae leguntur cap. 94 extr. ψιλοὶ δὲ — οὐ παρεγένοντο, ὅτι μὴ ὀλίγοι. Sed cum h. l. dicat καὶ σκευοφόρων, quibus adiectis maxime numerum auctum esse credibile sit, non est de lectionis veritate dubitandum.

οὐ προὐχώρησεν. Soloece vulgo προὐχώρησαν, contra codices plerosque.

ἔχων τὸν στρατὸν — quem paraverat in Acarnania, v. c. 77. coll. c. 89.

ὁ Σπαρδόκου. Vulgo Σπαραδόκου. Vide ad 2, 101.

102. Ἀρισταγόρας ὁ Μιλήσιος. De eo adi Herodotum 5, 30 seqq. et c. 124 — 126.

ἔπειτα δὲ καὶ οἱ Ἀθη-

καὶ τῶν ἄλλων τὸν βουλόμενον, πέμψαντες, οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρακῶν. Καὶ αὖθις, ἑνὸς δέοντος τριακοστῷ ἔτει, ἐλθόντες οἱ Ἀθηναῖοι, Ἅγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος, Ἠδῶνας ἐξελάσαντες, ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. Ὡρμῶντο δὲ ἐκ τῆς Ἠιόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἅγνων ὠνόμασεν, ὅτι, ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτὴν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν, περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν.

103. Ἐπὶ ταύτην οὖν ὁ Βρασίδας, ἄρας ἐξ Ἀρνῶν τῆς Χαλκιδικῆς, ἐπορεύετο τῷ στρατῷ· καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρωμίσκον, ᾗ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνο-

loniam. 103. Qua ratione ponte potitus ſit et Stry-

ναῖοι — int. *ἐπείρασαν κατοικίσαι.* Rem narrat etiam ſupra 1, 100 med. ubi ſunt *οἰκήτορες*, quos hic *ἐποίκους* nominat. Cf. Diodor. 12, 68. qui conditorem Athenienſem, Thucydidi Agnonem dictum, *Apionem* vocat, et tertiam *κτίσιν duobus* annis poſt alteram factam eſſe tradit, ſi ibi lectio certa. Pro *σφῶν τε αὐτῶν* edidi *σφῶν τε αὐτῶν*, ut in Reg. Caſſ. Moſq. et aliis codd. ſcriptum eſt. Cf. dicta ad 1, 5. Non magis enim *σφῶν αὐτῶν* dici poſſe apparet, quam *ἡμῶν* vel *ὑμῶν αὐτῶν*. Mox pro *ἑνὸς δέοντος* malim e codd. Cl. Caſſ. *ἑνὸς δέοντι*. Sic plerumque Thucydides. cf. c. 58 extr.

ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. Vulgo *ἐκαλεῖτο* contra plurimos codices. Pluralis verbi non ad relativum *ὅπερ* ſed ad proximum nomen *Ἐννέα ὁδοὶ* referendus.

διὰ τὸ περιέχειν αὐτήν, cum Bredovio de Agnone accipio, ut cauſa nominis *Ἀμφίπολις* ſit in verbo *περιέχειν*, quod clarius explicatur ſequentibus: *ἀπολαβὼν ἐκ ποταμοῦ ἐς πόταμον τείχει μακρῷ.* Nam ſupra Amphipolin Strymon ſcinditur in duos fluvios, quos cum muro iunxiſſet Agnon, totam urbem ab omni parte munitione quadam vel praeſidio cinctam habebat. Eadem conſpicua erat illo ipſo muro et verſus mare, et verſus continentem.

103. *ἡ Βόλβη λίμνη*, quae eſt inter Arethuſam et Apolloniam. Cf. 1, 58. *Αὐλὼν* utrum h. l. proprium nomen urbis ſit, an appellativum, incertum nonnullis viſum eſt propterea, quod Athenaeus (l. l. a Duckero) pro appellativo habuit. Certe urbs Macedoniae Aulon, quam Galenus memorat ſupra Strymonem

ποιησάμενος, ἐχώρει τὴν νύκτα. Χειμὼν δὲ ἦν, καὶ ὑπένιφεν· ᾗ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει, πλὴν τῶν προδιδόντων. Ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες (εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι,) καὶ ἄλλοι, οἳ ξυνέπρασσον ταῦτα, οἱ μὲν, Περδίκκᾳ πειθόμενοι, οἱ δὲ, Χαλκιδεῦσι. Μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προςοικοῦντες, καὶ ἀεί ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι, καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ. ἐπειδὴ παρέτυχεν ὁ καιρὸς, καὶ Βρασίδας ἦλθεν, ἔπραξάν τε ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύοντας σφῶν ἐκεῖ, ὅπως ἐνδοθήσεται ἡ πόλις· καὶ τότε δεξάμενοι αὐτὸν τῇ πόλει, καὶ ἀποστάντες τῶν Ἀθηναίων, ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν πρόσω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. Ἀπέχει δὲ τὸ πόλισμα πλέον τῆς διαβάσεως· καὶ οὐ καθεῖτο τείχη, ὥςπερ νῦν, φυλακὴ δέ τις βραχεῖα καθειστήκει. Ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος, καὶ ἀπροςδόκητος προςπεσὼν, διέβη τὴν γέφυραν, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν, οἰκούντων κατὰ πᾶν τὸ χωρίον, εὐθὺς εἶχε.

monem transierit, ope Argiliorum.

ſitam eſſe, ab his circa Bolben locis nimis remota et diſſita videtur.

καὶ ὑπένιφεν. Undecim codd. exhibent ὑπένειφεν, quod Benedictus recipiendum cenſet.

καὶ ἄλλοι, οἳ ξυνέπρασσον ταῦτα. Ineptum articulum οἱ, qui vulgo legitur ante ἄλλοι, codd. auctoritate expunximus. — Mox ἔπραξάν τε legendum eſſe pro ἔπραξέν τε propter particulas τέ — καί, quas ad idem ſubiectum referri neceſſe eſt, vidit Kiſtem. Etiam σφῶν indicat, illam actionem ad Argilios pertinere; neque verba ἐκ πλείονος, niſi in eosdem, quadrant. Nam Braſidas aberat.

ἐν ἐκείνῃ τῇ νυκτί. Codices omittunt ἐν ante ἐκείνῃ, quorum auctoritati obtemperandum. Ceterum inciſo opus eſt ante haec verba, ut eadem illa nocte exercitum promoviſſe Argilii intelligantur.

ἀπέχει δὲ — διαβάσεως. Kiſtemakerus vertit: „Abeſt oppidum longius a tranſitu pontis, quam alibi a flumine abeſt." — οὐ καθεῖτο τείχη, nempe ibi, ubi pons ſ. tranſitus fluminis erat, remotior ille quidem ab urbe, nulla dum munitio vel muri ad fluvium pertinebant. — καθειστήκει, v. ad cap. 96.

104. Τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης, καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων, τῶν δὲ καὶ καταφευγόντων ἐς τὸ τεῖχος, οἱ Ἀμφιπολῖται ἐς θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες. Καὶ λέγεται, Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ᾽ ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ᾽ εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν ἑλεῖν. Νῦν δὲ ὁ μὲν, ἱδρύσας τὸν στρατὸν, ἐπὶ τὰ ἔξω ἐπέδραμε, καὶ, ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον, ὡς προςεδέχετο, ἀπέβαινεν, ἡσύχαζεν. Οἱ δὲ ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει, ὥςτε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν τὸν ἐπὶ Θρᾴκης, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε ξυνέγραψεν, ὄντα περὶ Θάσον, (ἔστι δὲ ἡ νῆσος Παρίων ἀποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμίσεος ἡμέρας μάλιστα πλοῦν). κελεύοντες σφίσι βοηθεῖν. Καὶ ὁ μὲν, ἀκούσας, κατὰ τάχος ἑπτὰ ναυσὶν, αἳ ἔτυχον παροῦσαι, ἔπλει· καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν, πρίν τι ἐνδοῦναι, εἰ δὲ μὴ, τὴν Ἠιόνα προκαταλαβών.

105. Ἐν τούτῳ δὲ ὁ Βρασίδας, δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν, καὶ πυνθανόμενος, τὸν Θουκυδίδην κτῆσιν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θρᾴκῃ, καὶ ἀπ᾽ αὐτοῦ

104. Amphipolitae in hoc diſcrimine alterum Athenienſium ducem, Thucydidem, Thaſo arceſſunt. 105. Id-

104. *τῆς δὲ διαβάσεως — γεγενημένης*, cum eius transitus oppidanis inopinatus accidiſſet.

καὶ λέγεται, Βρασίδαν. Codicum plurimorum auctoritate articulum *τὸν* ante *Βρασίδαν* expunxi. Iisdem auctoribus dedi *οἱ δὲ ἐναντίοι* pro *οἱ δ᾽ ἐναντίοι*.

ἐκ τῶν Ἀθηναίων, cf. ad cap. 97.

προκαταλαβών. Cum viginti codices, ſi recte rationem ſubduxit Benedictus, hanc lectionem exhibeant, altera *προκαταλαβεῖν* exigua ſane codicum fide nitatur. Cf. Xenoph. Mem. 3, 14. *ὃς ἂν φθάνῃ — κακῶς ποιῶν.*

105. *καὶ ἀπ᾽ αὐτοῦ*, int. *τοῦ ἔχειν κτῆσιν.* — *μὴ — οὐκέτι προςχωροῖ*, ne poſt eius adventum Amphipolitana plebs, cum ab eo, ſociis a mari et e Thracia

δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν, ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν, μὴ, ἀφικνουμένου αὐτοῦ, τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν, ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θρᾴκης ἀγείραντα αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προςχωροῖ. Καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπὼν, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον, ἐπὶ τοῖς ἑαυτοῦ, τῆς ἴσης καὶ ὁμοίας μετέχοντα, μένειν· τὸν δὲ μὴ ἐθέλοντα, ἀπιέναι, τὰ ἑαυτοῦ ἐκφερόμενον, πέντε ἡμερῶν.

106. Οἱ δὲ πολλοὶ, ἀκούσαντες, ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας· ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον, καὶ τῶν ἔξω ληφθέντων συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν, καὶ τὸ κήρυγμα, πρὸς τὸν φόβον, δίκαιον εἶναι ἐλάμβανον, οἱ μὲν Ἀθηναῖοι, διὰ τὸ ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινὰ, καὶ ἅμα οὐ προς-

circo Braſidas, ut ante eius adventum urbe potiretur, leniſſimas fert conditiones urbis tradendae. 106. Traditur Amphipolis Braſidae. Eïon praeoccupat ante noctem

collectis, ſe ſervatum iri ſperaret, non amplius transiret ad ipſum. — *ἐποιεῖτο*, de conatu h. l.

106. *ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας.* Schol. *μετεβλήθησαν τὴν προαίρεσιν.*

βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον —. Hunc accuſativum abſolutum puta pro genitivo. Redditur enim ratio mutatae populi voluntatis, neque verba *βραχὺ Ἀθηναίων ἐμπολιτεῦον* ad *οἱ πολλοὶ* referri poſſunt. Eſt autem eius generis accuſativorum, cuius *μέλον*, *ἐξόν*, *παρόν*, *προσῆκον* (c. 95.) *δοκοῦν* et *κυρωθέν* (c. 125.), *παρεστηκός* (c. 153). Cf. Periz. ad Aelian. V. H. 2, 13. Eiusmodi accuſativus eſt etiam Eurip. Phoen. 220. *κάλλιστον κελάδημα*, pulcherrimo ſtridore. Sed ſi quis potius nominativum abſolutum eſſe contendat, non equidem adverſer, memor et ſic Thucydidem loqui 4, 108 med. ubi verba *εἰωθότες οἱ ἄνθρωποι* ſunt pro *εἰωθότων τῶν ἀνθρώπων*. Supra c. 80. *καὶ προκρίναντες ἐς διοχιλίους, οἱ μὲν ἐστεφανώσαντο.*

δίκαιον εἶναι ἐλάμβανον. Codices Ar. C. Dan. Moſq. Caſſ. Cl. (qui tamen in margine vulgatum adſcriptum habet) Pariſſ. tres pro *ἐλάμβανον* exhibent *ὑπελάμβανον*, quod cum Kiſtemak. probat Benedictus. Mihi interpretamentum vulgatae lectionis videtur eſſe, quae fere eandem h. l. vim habet, nec facile ex illa oriri potuit. *πρὸς τὸν φόβον*, *prae metu, qui erat metus eorum.*

δεχόμενοι βοήθειαν ἐν τάχει· ὁ δὲ ἄλλος ὅμιλος, πόλεώς τε ἐν τῷ ἴσῳ οὐ στερισκόμενοι, καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι. Ὥστε τῶν πρασσόντων τῷ Βρασίδᾳ ἤδη καὶ ἐκ τοῦ φανεροῦ διαδικαιούντων αὐτὰ, ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τετραμμένον, καὶ τοῦ παρόντος Ἀθηναίων στρατηγοῦ οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία, καὶ προσεδέξαντο ἐφ' οἷς ἐκήρυξε. Καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν· ὁ δὲ Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν Ἠϊόνα. Καὶ τὴν μὲν Ἀμφίπολιν Βρασίδας ἄρτι εἶχε, τὴν δὲ Ἠϊόνα παρὰ νύκτα ἐγένετο λαβεῖν. εἰ γὰρ μὴ ἐβοήθησαν αἱ νῆες διὰ τάχους, ἅμα ἕῳ ἂν εἴχετο.

107. Μετὰ δὲ τοῦτο, ὁ μὲν τὰ ἐν τῇ Ἠϊόνι καθίστατο, ὅπως καὶ τὸ αὐτίκα, ἢν ἐπίῃ ὁ Βρασίδας, καὶ τὸ ἔπειτα ἀσφαλῶς ἕξει, δεξάμενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι ἄνωθεν κατὰ τὰς σπονδάς· ὁ δὲ, πρὸς μὲν τὴν Ἠϊόνα κατά τε τὸν ποταμὸν πολλοῖς πλοίοις ἄφνω καταπλεύσας, εἴ πως, τὴν προύχουσαν ἄκραν ἀπὸ τοῦ τείχους λαβὼν, κρατοίη τοῦ ἔσπλου,

Thucydides. 107. Ad Braſidam, ab Eïone repulſum,

ἐν τῷ ἴσῳ. Non ſecus atque antea, ut paullo ante ἐν ὁμοίῳ. Βρασίδας ἄρτι εἶχε. Articulum ὁ ante Βρασίδας, codicibus iubentibus, abieci. — παρὰ νύκτα ἐγένετο λαβεῖν, iunge: τὸ λαβεῖν τὴν Ἠϊόνα ἐγένετο παρὰ νύκτα, occupatio Eïonis ab una nocte pendebat, non niſi una nox deerat, quin occuparetur Eïon. Ita παρά intelligitur in formulis notiſſimis παρὰ πολύ, παρὰ μικρόν, παρ' ὀλίγον. Cf. Viger. p. 646. Thucyd. 3, 49 extr. παρὰ τοσοῦτον μὲν ἡ Μιτυλήνη ἦλθε κινδύνου.

107. ἐπιχωρῆσαι ἄνωθεν. Vulgo ἀποχωρῆσαι. Cum autem quindecim Thucydidis codices, teſtante Benedicto, in iisque praeſtantiores praebeant ἐπιχωρῆσαι, et utraque lectio aptum fundat ſenſum, non dubitavi codicum auctoritatem ſequi. Librarii, qui ἀποχωρῆσαι ſcripſerunt, in mente habuiſſe videntur verba ἀπιέναι τὰ ἑαυτοῦ ἐκφερόμενον cap. 105 extr. Sed hoc loco agitur de receptione eorum, qui ἄνωθεν, i. e. ἐκ τῆς ἄνω πόλεως ad eum concedere volebant; et verba κατὰ τὰς σπονδάς intelligenda ſunt, *id quod iis per foedus* ſ. compoſitionem *licebat*.

τὴν προύχουσαν ἄκραν ἀπὸ τοῦ τ. Participium προύχουσαν iunge cum ἀπὸ τοῦ τείχους, promontorium (ſ. lingula) a muris verſus mare excurrens.

καὶ κατὰ γῆν ἀποπειράσας ἅμα, ἀμφοτέρωθεν ἀπεκρούσθη. Τὰ δὲ περὶ τὴν Ἀμφίπολιν ἐξηρτύετο. Καὶ Μύρκινός τε αὐτῷ προσεχώρησεν, Ἠδωνικὴ πόλις, Πιττακοῦ τοῦ Ἠδώνων βασιλέως ἀποθανόντος ὑπὸ τῶν Γοάξιος παίδων, καὶ Βραυροῦς τῆς γυναικὸς αὐτοῦ· καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον, καὶ Οἰσύμη. εἰσὶ δὲ αὗται Θασίων ἀποικίαι. Παρὼν δὲ καὶ Περδίκκας εὐθὺς μετὰ τὴν ἅλωσιν, ξυγκαθίστη ταῦτα.

108. Ἐχομένης δὲ τῆς Ἀμφιπόλεως, οἱ Ἀθηναῖοι ἐς μέγα δέος κατέστησαν, ἄλλως τε καὶ ὅτι ἡ πόλις ἦν αὐτοῖς ὠφέλιμος, ξύλων τε ναυπηγησίμων πομπῇ, καὶ χρημάτων προσόδῳ· καὶ ὅτι μέχρι μὲν τοῦ Στρυμόνος ἦν πάροδος, Θεσσαλῶν διαγόντων, ἐπὶ τοὺς ξυμμάχους σφῶν τοῖς Λακεδαιμονίοις· τῆς δὲ γεφύρας μὴ κρατούντων, ἄνωθεν μὲν μεγάλης οὔσης ἐπὶ πολὺ λίμνης

plures concedunt urbes, 108. qua re anxii de rebus

καὶ Γαληψός. Interpretes plerique monuerunt, hic, ut 5, 6 ſcriptum eſt in plerisque omnibus codd., Γαληψός edendum eſſe pro vulgato Γάψηλος. Cf. Herodot. 7, 122. Prae ceteris Poppo ſcripturam a nobis receptam contra Gattereri dubitationes optime defendit. — ξυγκαθίστη ταῦτα, adiuvabat Braſidam in his rebus conſtituendis.

103. τῆς δὲ γεφύρας μὴ κρατούντων, int. τῶν Λακεδαιμονίων, ad quos etiam alterum participium τηρουμένων, vulgo ad Athenienſes relatum, pertinere docuit Poppo. Τηρεῖσθαι eſt obſervari. — ἄνωθεν, ſupra urbem, ab ea parte, quae terram verſus eſt. Ibi fluvius paludoſus erat, lateque ſtagnabat; quae res praeſidio urbi erat ab illa parte: ab altera vero, verſus mare, naves Athenienſium ſtationem habebant, ita ut hic quoque, ergo ab utraque parte, tuta omnia eſſent, dum pons eſſet in poteſtate Athenienſium. — προσελθεῖν cum Benedicto recepimus propter codicum auctoritatem, et quia ſermo de acceſſu ad urbem. Verbum ἐνομίζετο, pro quo codices plerique omnes exhibent ἐνόμιζε, alii ἐνόμιζεν, unus ἐνόμιζον, uncis incluſi, tamquam interpretamentum ab enarratore per compendium in margine notatum, dein textui diverſe inſertum, quemadmodum iam Kiſtemakerus indicabat. Thucydides transit ab oratione recta ad obliquam, ut ſaepe fit in iis locis, ubi deliberationem vel cogitationem exponit. Sed tota periodus inter anacolutha eſt cenſenda. Nam iuſta periodi ratio hanc fere verborum iuncturam poſtulabat: τῆς δὲ γεφύρας μὴ κρατοῦντας, ἄνωθεν μὲν μεγάλης οὔσης ἐπὶ πολὺ λίμνης τοῦ ποταμοῦ, τὰ δὲ πρὸς Ἠιόνα τριήρεσι τηρουμένους, ἐλπισάντων οὐκ ἂν δύνασθαι προσελθεῖν, τότε ὅμως ῥᾳδία ἤδη ἐγεγένητο. Pro

τοῦ ποταμοῦ, τὰ δὲ πρὸς Ἠϊόνα τριήρεσι τηρουμένων, οὐκ ἂν δύνασθαι προσελθεῖν· τότε δὲ ῥάδια ἤδη [ἐνομίζετο] γεγενῆσθαι. Καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο, μὴ ἀποστῶσιν. Ὁ γὰρ Βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν παρεῖχε, καὶ ἐν τοῖς λόγοις πανταχοῦ ἐδήλου, ὡς ἐλευθερώσων τὴν Ἑλλάδα ἐκπεμφθείη. Καὶ αἱ πόλεις πυνθανόμεναι αἱ τῶν Ἀθηναίων ὑπήκοοι τῆς τε Ἀμφιπόλεως τὴν ἅλωσιν, καὶ ἃ παρέχεται, τήν τε ἐκείνου πρᾳότητα, μάλιστα δὴ ἐπήρθησαν εἰς τὸ νεωτερίζειν. Καὶ ἐπεκηρυκεύοντο πρὸς αὐτὸν κρύφα, ἐπιπαριέναι τε κελεύοντες, καὶ βουλόμενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι. Καὶ γὰρ καὶ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον, ὅση ὕστερον διεφάνη, τὸ δὲ πλέον βουλήσει κρίνοντες ἀσαφεῖ, ἢ προνοίᾳ ἀσφαλεῖ· εἰωθότες οἱ ἄνθρωποι, οὗ μὲν ἐπιθυμοῦσιν, ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται, λογισμῷ αὐτοκράτορι διωθεῖσθαι. Ἅμα δὲ τῶν Ἀθηναίων ἐν τοῖς Βοιωτοῖς νεωστὶ πεπληγμένων, καὶ τοῦ Βρασίδου ἐφολκὰ καὶ οὐ τὰ ὄντα λέγοντος, ὡς αὐτῷ ἐπὶ Νίσαιαν τῇ ἑαυτοῦ μόνῃ στρατιᾷ οὐκ ἠθέλησαν οἱ Ἀθηναῖοι ξυμβαλεῖν, ἐθάῤῥουν, καὶ

ſuis Athenienſes, per hiemem brevi tempore praeſidia per urbes Thraciae diſtribuunt. Braſidas item auxilia

ῥαδία Kiſtem. et Bened. legi volunt ῥᾴδια, ut neutrum ſit; nec poteſt, ab iecto ἐνομίζετο, ad πάροδος retrahi.

καὶ ἃ παρέχεται, i. e. ὑπισχνεῖται πρᾶξαι. Cf. 3, 36. ἐστιν ἃ παρεχόμενον, ibique Schol. — *ὅση ὕστερον διεφάνη*, i. e. quanto poſtea maior ipſorum opinione videbatur. Sic recte Bredovius; at contrariam ferme ſententiam extricat Bauerus: „tantum Athenienſium potentiae tribuerant nimia admiratione, quantum illi deeſſe deinde appareret. Hinc tuto illam a ſe contemni credebant.“ — De participio altero *κρίνοντες* eiusque ſtructura diximus ad 3, 56., de altero autem *εἰωθότες* vid. ad 4, 106.

ἐφολκά, Schol. ἐπαγωγά, quae vim habent perſuadendi. Supra c. 88. διὰ τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν. In verbis *ἐπὶ Νίσαιαν* placet Duckeri emendatio ἐπὶ Νισαίᾳ. Facile ex ῑ ſubſcripto vel adſcripto potius ν̄ fieri potuit, et dativus in hoc genere ſolemnis. — *ὀργώντων*, ὡρμημένων, προθυμουμένων.

ἐπίστευον, μηδένα ἂν ἐπὶ σφᾶς βοηθῆσαι. Τὸ δὲ μέγιστον, διὰ τὸ ἡδονὴν ἔχον ἐν τῷ αὐτίκα, καὶ ὅτι τὸ πρῶτον Λακεδαιμονίων ὀργώντων ἔμελλον πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἕτοιμοι ἦσαν. Ὧν αἰσθανόμενοι, οἱ μὲν Ἀθηναῖοι φυλακὰς, ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι, διέπεμπον ἐς τὰς πόλεις· ὁ δὲ, ἐς τὴν Λακεδαίμονα ἐφιέμενος, στρατιάν τε προσαποστέλλειν ἐκέλευε, καὶ αὐτὸς ἐν τῷ Στρυμόνι ναυπηγίαν τριήρων παρεσκευάζετο. Οἱ δὲ Λακεδαιμόνιοι, τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ, τὰ δὲ καὶ βουλόμενοι μᾶλλον τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου κομίσασθαι, καὶ τὸν πόλεμον καταλῦσαι.

109. Τοῦ δ' αὐτοῦ χειμῶνος Μεγαρεῖς τά τε μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν ἑλόντες ἐς ἔδαφος· καὶ Βρασίδας μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν ἔχων τοὺς ξυμμάχους, στρατεύει ἐπὶ τὴν Ἀκτὴν καλουμένην. Ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα, καὶ ὁ Ἄθως αὐτῆς ὄρος ὑψηλὸν τελευτᾷ ἐς τὸ Αἰγαῖον πέλαγος. Πόλεις δὲ ἔχει, Σάνην μὲν, Ἀνδρίων ἀποικίαν, παρ' αὐτὴν τὴν διώρυχα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος τετραμμένην· τὰς δὲ ἄλλας, Θύσσον, καὶ Κλεωνὰς, καὶ Ἀκροθώους, καὶ Ὀλόφυξον, καὶ Δῖον· αἳ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων. Καί τι καὶ Χαλκιδικὸν ἔνι βραχὺ, τὸ δὲ

poſcit, ſed nulla ei ſuppeditantur. 109. Interim ad eum, in Acten dictam regionem profectum, plurimae

ὧν αἰσθανόμενοι. Non ſolum ad Athenienſes, ſed etiam ad Braſidam pertinet hoc participium. — ἐφιέμενος, mandans, legatis cum mandatis Spartam miſſis.

109. Μεγαρεῖς τά τε μακρὰ τείχη. Sic quidem codices omnes. Sed vitioſam eſſe lectionem patet, cum τέ non habeat, quo referatur. Aut delendum τέ, aut mutato ordine legendum Μεγαρεῖς τε τὰ μακρὰ τείχη, ut ſequens καὶ Βρασίδας eo referri poſſit.

ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα. De foſſa illa, quam Xerxes fecerat, v. Herodot. 7, 21. 122. ἔσω, intra Cherſonneſum, ita ut per foſſam illam a continente ſeparetur.

πλεῖστον, Πελασγικὸν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων, καὶ Βισαλτικὸν, καὶ Κρηστωνικὸν, καὶ Ἤδωνες. κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι. Καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ καὶ Δῖον ἀντέστη· καὶ αὐτῶν τὴν χώραν, ἐμμείνας, τῷ στρατῷ ἐδῄου.

110. Ὡς δ' οὐκ ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ Τορώνην τὴν Χαλκιδικὴν, κατεχομένην ὑπὸ Ἀθηναίων. Καὶ αὐτὸν ἄνδρες ὀλίγοι ἐπήγοντο, ἕτοιμοι ὄντες τὴν πόλιν παραδοῦναι· καὶ ἀφικόμενος νυκτὸς ἔτι καὶ περὶ ὄρθρον, τῷ στρατῷ ἐκαθέζετο πρὸς τὸ Διοσκούρειον, ὃ ἀπέχει τῆς πόλεως τρεῖς μάλιστα σταδίους. Τὴν μὲν οὖν ἄλλην πόλιν τῶν Τορωναίων, καὶ τοὺς Ἀθηναίους τοὺς ἐμφρουροῦντας ἔλαθεν· οἱ δὲ πράσσοντες αὐτῷ, εἰδότες, ὅτι ἥξοι, [καὶ] προσελθόντες τινὲς αὐτῶν λάθρα ὀλίγοι, ἐτήρουν τὴν πρόσοδον· καὶ ὡς ᾔσθοντο παρόντα, ἐσκομίζουσι παρ' αὐτοὺς ἐγχειρίδια ἔχοντας ἄνδρας ψιλοὺς ἑπτά· (τοσοῦτοι γὰρ μόνοι, ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων, οὐ κατέδεισαν ἐσελθεῖν· ἦρχε δὲ αὐτῶν Λυσίστρατος Ὀλύνθιος·) οἳ διαδύντες διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους, καὶ λαθόντες, τοὺς

urbes transeunt, excepta Sane et Dio. 110. Clam ad

Τυρσηνῶν. Tyrſeni igitur una ex illis gentibus erant, quas Graeci vulgo inter Pelaſgos cenſebant. — *κατὰ μικρὰ πολισμ.* i. e. *ἐν μικροῖς πολ.*

110. *ὅτι ἥξοι, καὶ προσελθόντες.* Benedictus ex quinque codicibus reſcribit *ἥξει*, quod non improbamus, licet neceſſarium non ſit. Cf. c. 122. *αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν, ὅτι ὕστερον ἀφεστήκοιεν.* Copulam *καί*, quam idem vir doctus deteriorum librorum auctoritate delet, ego retineo. Sed paullo inferius articulum *τὸν* ante *λόφον* cum optimis libris, re etiam ſuadente, ut *πρὸς λόφον* ſit *πρὸς λόφον τινά*, abiicio.

τοσοῦτοι γὰρ μόνοι. Hoc meliores libri praebent pro vulgato *μόνον*. Ceterum parentheſeos notam, vulgo ante verba *ἦρχε δὲ αὐτῶν* demum poſitam, iam ante haec verba ponendam curavi, quia in ſequentibus relativum *οἵ* pertinet ad *ἄνδρας ψιλοὺς ἑπτά*.

διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους. *Τεῖχος* h. l. caſtellum videtur eſſe, praeſidio illi montano continens.

κατὰ Καναστραῖον, ſubaudi *ἄκρον* ſ. *ἀκρωτήριον*. Eſt enim Pallenes promontorium.

τε ἐπὶ τοῦ ἀνώτατα φυλακτηρίου φρουροὺς, οὔσης τῆς πόλεως πρὸς λόφον, ἀναβάντες διέφθειραν, καὶ τὴν κατὰ Καναστραῖον πυλίδα διῄρουν.

111. Ὁ δὲ Βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν ὀλίγον προελθών· ἑκατὸν δὲ πελταστὰς προπέμπει, ὅπως, ὁπότε πύλαι τινὲς ἀνοιχθεῖεν, καὶ τὸ σημεῖον ἀρθείη, ὃ ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν. Καὶ οἱ μὲν, χρόνου ἐγγιγνομένου, καὶ θαυμάζοντες, κατὰ μικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελθόντες· οἱ δὲ τῶν Τορωναίων ἔνδοθεν παρασκευάζοντες μετὰ τῶν ἐσεληλυθότων, ὡς αὐτοῖς ἥ τε πυλὶς διῄρητο, καὶ αἱ κατὰ τὴν ἀγορὰν πύλαι, τοῦ μοχλοῦ διακοπέντος, ἀνεῴγοντο, πρῶτον μὲν κατὰ τὴν πυλίδα τινὰς περιαγαγόντες ἐσεκόμισαν, ὅπως κατὰ νώτου καὶ ἀμφοτέρωθεν τοὺς ἐν τῇ πόλει, οὐδὲν εἰδότας, ἐξαπίνης φοβήσειαν· ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρὸς, ὡς εἴρητο, ἀνέσχον, καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν τοὺς λοιποὺς ἤδη τῶν πελταστῶν ἐσεδέχοντο.

112. Καὶ ὁ Βρασίδας, ἰδὼν τὸ ξύνθημα, ἔθει δρόμῳ, ἀναστήσας τὸν στρατὸν, ἐμβοήσαντάς τε ἀθρόον, καὶ ἔκπληξιν πολλὴν τοῖς ἐν τῇ πόλει παρασχόντας. Καὶ οἱ μὲν κατὰ τὰς πύλας εὐθὺς ἐσέπι-

Toronen promovet, 111. nonnullisque praemiſſis, qui aperta per proditores porta in urbem ſe inferrent, 112. ipſe cum exercitu ab omni parte irrumpit.

111. *κατὰ μικρὸν ἔτυχον — προσελθόντες*, „*paullatim* prope ad urbem acceſſerant."

κατὰ τὴν πυλίδα τινὰς περιαγαγόντες ἐσεκόμισαν. Vulgo contra codices plerosque legitur *ἐσεκομίσαντο*, pro quo plurimi exhibent *ἐξεκόμισαν*, nonnulli *ἐσεκόμισαν*. Illud Benedictus e codd. recepit; ſed res manifeſto exigit *ἐσεκόμισαν*, vel *ἐσεκομίσαντο*, ex quibus dedimus id, quod librorum plurimorum ſcripturae proxime accedit. Primum nonnullos ex centum peltaſtis circumductos per portulam intromittunt; deinde, ſigno dato, reliquos peltaſtas per fori portas.

112. *ἐμβοήσαντάς τε ἀθρόον, καὶ — παρασχόντας.* Miror Popponem h. l. a vulgata ſcriptura, quae ſaniſſima eſt, abire voluiſſe, legendo: *ἐμβοηθήσαντές τε ἀθρόοι — παρασχόντες*, colo poſt *στρατὸν* fixo, et puncto poſt *παρασχόντες* in comma mutato, deni-

πτον· οἱ δὲ κατὰ δοκοὺς τετραγώνους, αἳ ἔτυχον τῷ τείχει, πεπτωκότι καὶ οἰκοδομουμένῳ, πρὸς λίθων ἀνολκὴν προςκείμεναι. Βρασίδας μὲν οὖν καὶ τὸ πλῆθος εὐθὺς ἄνω καὶ ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος κατ' ἄκρας καὶ βεβαίως ἑλεῖν αὐτήν· ὁ δὲ ἄλλος ὅμιλος κατὰ πάντα ὁμοίως ἐσκεδάννυντο.

113. Τῶν δὲ Τορωναίων, γιγνομένης τῆς ἁλώσεως, τὸ μὲν πολὺ, οὐδὲν εἰδὸς, ἐθορυβεῖτο· οἱ δὲ πράσσοντες, καὶ οἷς ταῦτα ἤρεσκε, μετὰ τῶν ἐςελθόντων εὐθὺς ἦσαν. Οἱ δὲ Ἀθηναῖοι (ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται καθεύδοντες ὡς πεντήκοντα) ἐπειδὴ ᾔσθοντο, οἱ μέν τινες ὀλίγοι διαφθείρονται ἐν χερσὶν αὐτῶν, τῶν δὲ λοιπῶν, οἱ μὲν, πεζῇ, οἱ δὲ, ἐς τὰς ναῦς, αἳ ἐφρούρουν δύο, καταφυγόντες, διασώζονται ἐς τὴν Λήκυθον τὸ φρούριον, ὃ εἶχον αὐτοὶ, καταλαβόντες ἄκρον τῆς πόλεως, ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ. Κατέφυγον δὲ καὶ τῶν Τορωναίων ἐς αὐτοὺς, ὅσοι ἦσαν σφίσιν ἐπιτήδειοι.

114. Γεγενημένης δὲ ἡμέρας ἤδη, καὶ βεβαίως τῆς πόλεως ἐχομένης, ὁ Βρασίδας τοῖς μὲν μετὰ τῶν Ἀθηναίων Τορωναίοις καταπεφευγόσι κήρυγμα ἐποιή-

113. Athenienſes plerique, qui in urbe erant, Lecythum fugiunt, ubi eorum erat praeſidium. 114. Braſidae

que copula *καὶ* deleta. Nec verum eſt, quod dicit, ſi *ἐμβοήσαντας — παρασχόντας* legeretur, haec participia cum *ἀναστήσας* iuncta incommodam prorſus ſententiam fundere, milites a Braſida excitatos eſſe, quum iam clamorem ſuſtuliſſent, et metum Toronaeis incuſſiſſent. Ne illud quidem perſpicio, quid in vocabulo *ἀθρόον* reprehendat, quod pro *ἀθρόως* rectiſſime dicitur, ut vel Latini arguunt. Horatius Sat. I, 3, 26. „Cur in amicorum vitiis tam cernis *acutum?*" Poſſes quidem, ſi ita loqui graecae linguae leges vetarent, cum Kiſtem. et Benedicto ex codd. Gr. Caſſ. Aug. Moſq. Reg. et quatuor aliis Pariſſ. legere *ἐμβοήσαντα — παρασχόντα*. Sed ea lectio correctionem redolet, neque ad eam firmandam abutar loco c. 100 extr.

βουλόμενος, ad unum Braſidam pertinet, quaſi antea fuerit *μετὰ τοῦ πλήθους*.

113. *ἐν χερσὶν αὐτῶν*, int. *τῶν περὶ τὸν Βρασίδαν*. — *ἀπειλημμένον*, cf. ſupra 102. *τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμόν*. 120. *τῆς Παλλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημμένης*. 127 extr. *ὡς ἀποληψόμενοι*.

σατο, τὸν βουλόμενον, ἐπὶ τὰ ἑαυτοῦ ἐξελθόντα, ἀδεῶς πολιτεύειν. Τοῖς δὲ Ἀθηναίοις κήρυκα προσπέμψας, ἐξιέναι ἐκέλευεν ἐκ τῆς Ληκύθου ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας, ὡς οὔσης Χαλκιδέων. Οἱ δὲ ἐκλείψειν μὲν οὐκ ἔφασαν, σπείσασθαι δὲ σφίσιν ἐκέλευον ἡμέραν τοὺς νεκροὺς ἀνελέσθαι. Ὁ δὲ ἐσπείσατο δύο. ἐν ταύταις δὲ αὐτός τε τὰς ἐγγὺς οἰκίας ἐκρατύνατο, καὶ Ἀθηναῖοι τὰ σφέτερα. Καὶ ξύλλογον τῶν Τορωναίων ποιήσας, ἔλεξε τοῖς ἐν τῇ Ἀκάνθῳ παραπλήσια· ὅτι οὐ δίκαιον εἴη, οὔτε τοὺς πράξαντας πρὸς αὐτὸν τὴν λῆψιν τῆς πόλεως χείρους οὐδὲ προδότας ἡγεῖσθαι· (οὐ γὰρ ἐπὶ δουλείᾳ, οὐδὲ χρήμασι πεισθέντας, δρᾶσαι τοῦτο, ἀλλ' ἐπὶ ἀγαθῷ καὶ ἐλευθερίᾳ τῆς πόλεως·) οὔτε τοὺς μὴ μετασχόντας οἴεσθαι μὴ τῶν αὐτῶν τεύξεσθαι. Ἀφῖχθαι γὰρ οὐ διαφθερῶν οὔτε πόλιν, οὔτε ἰδιώτην οὐδένα. Τὸ δὲ κήρυγμα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ' Ἀθηναίους καταπεφευγόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ ἐκείνων φιλίᾳ· οὐδ' ἂν, σφῶν πειρασαμένους αὐτοὺς τῶν Λακεδαιμονίων, δοκεῖν ἧσσον, ἀλλὰ πολλῷ μᾶλλον, ὅσῳ δικαιότερα πράσσουσιν, εὔνους ἂν σφίσι γενέσθαι· ἀπειρίᾳ δὲ νῦν πεφοβῆσθαι. Τούς τε πάντας παρασκευάζεσθαι ἐκέλευεν ὡς βεβαίους τε ἐσομένους ξυμμάχους, καὶ τὸ ἀπὸ τοῦδε ἤδη, ὅ, τι ἂν ἁμαρτάνωσιν, αἰτίαν ἕξοντας. Τὰ δὲ πρότερα, οὐ σφεῖς ἀδικεῖσθαι, ἀλλ' ἐκείνους μᾶλλον

conditiones, latae iis, qui ad Athenienſes confugerant.

114. **ἐκρατύνατο**, ſibi firmavit, muniit.

οὐ γὰρ ἐπὶ δουλείᾳ. Ita edidi, Benedictum ſecutus, pro οὐδὲ γάρ Reg. cum ſeptem aliis codicibus δὲ omittit, quod h. l. propter praecedens et ſtatim ſequens οὐδὲ facile adiici potuit.

τῇ ἐκείνων φιλίᾳ, propter eorum amicitiam cum illis, nempe Athenienſibus.

οὐδ' ἂν, σφῶν — δοκεῖν, int. αὐτός. Ad infinitivum **γενέσθαι** pertinet duplex **ἄν**, quod h. l. reperitur. — **δικαιότερα**, ſubaudi **τῶν Ἀθηναίων**. — De verbis **σφῶν τῶν Λακεδαιμονίων** diximus ad 1, 144.

οὐ σφεῖς, recte nominativus pronominis habet, ad ipſum dicentem referendus: „non ſe (Lacedaemonios) iniuria affici, ſed

ὑπ' ἄλλων κρεισσόνων· καὶ ξυγγνώμην εἶναι, εἴ τι ἠναντιοῦντο.

115. Καὶ ὁ μὲν, τοιαῦτα εἰπὼν, καὶ παραθαρσύνας, διελθουσῶν τῶν σπονδῶν, τὰς προσβολὰς ἐποιεῖτο τῇ Ληκύθῳ. Οἱ δὲ Ἀθηναῖοι ἠμύνοντό τε ἐκ φαύλου τειχίσματος, καὶ ἀπ' οἰκιῶν ἐπάλξεις ἐχουσῶν. Καὶ μίαν μὲν ἡμέραν ἀπεκρούσαντο, τῇ δ' ὑστεραίᾳ, μηχανῆς μελλούσης προσάξεσθαι αὐτοῖς ἀπὸ τῶν ἐναντίων, ἀφ' ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα παραφράγματα, καὶ προσιόντος ἤδη τοῦ στρατεύματος, ᾗ ᾤοντο μάλιστα αὐτοὺς προσκομιεῖν τὴν μηχανὴν, καὶ ἦν ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ' οἴκημα ἀντέστησαν, καὶ ὕδατος ἀμφορέας πολλοὺς καὶ πίθους ἀνεφόρησαν, καὶ λίθους μεγάλους· ἄνθρωποί τε πολλοὶ ἀνέβησαν. Τὸ δὲ οἴκημα, λαβὸν μεῖζον ἄχθος, ἐξαπίνης κατεῤῥάγη· καὶ ψόφου πολλοῦ γενομένου, τοὺς μὲν ἐγγὺς καὶ ὁρῶντας τῶν Ἀθηναίων ἐλύπησε μᾶλλον ἢ ἐφόβησεν· οἱ δὲ ἄπωθεν, καὶ μάλιστα οἱ διὰ πλείστου, νομίσαντες ταύτῃ ἑαλωκέναι ἤδη τὸ χωρίον, φυγῇ ἐς τὴν θάλασσαν καὶ τὰς ναῦς ὥρμησαν.

116. Καὶ ὁ Βρασίδας, ὡς ᾔσθετο αὐτοὺς ἀπολείποντάς τε τὰς ἐπάλξεις, καὶ τὸ γιγνόμενον ὁρῶν,

115. Lecythum aggreſſus, Athenienſibus fortuito caſu in fugam converſis, 116. caſtellum occupat. Finis anni

illos (Toronenſes) potius ab aliis potentioribus (Athenienſibus nempe).“ Thuc. 4, 28. οὐκ ἔφη αὐτὸς, ἀλλ' ἐκεῖνον στρατηγεῖν.

115. καὶ προσιόντος ἤδη τοῦ στρατεύματος, int. τῶν Λακεδαιμονίων. Verba ᾗ ᾤοντο μάλιστα — ἐπιμαχώτατον ad ſequentia pertinent: ,,qua parte maxime eos (Lacedaemonios ex τοῦ στρατεύματος) machinam admoturos ſperabant, et (caſtellum) facillime oppugnari poterat, ibi turrim ligneam in aedificio exſtructam oppoſuerunt.“

οἱ διὰ πλείστου, ſubint. διαστήματος ἄπωθεν ὄντες.

116. καὶ τὸ γιγνόμενον ὁρῶν, mutavit ſtructuram, quaſi antea dixiſſet αἰσθόμενος αὐτοὺς ἀπολείποντας καὶ τὸ γιγν. ὁρῶν. Participium ὁρῶν accipiendum eſt pro ὅτι ἑώρα, ut 1, 1. τεκμαιρόμενος, ὅτι ἀκμάζοντές τε ᾖσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους.

ἐπιφερόμενος τῷ στρατῷ, εὐθὺς τὸ τείχισμα λαμβάνει· καὶ ὅσους ἐγκατέλαβε, διέφθειρε. Καὶ οἱ μὲν Ἀθηναῖοι τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ, τούτῳ τῷ τρόπῳ ἐκλιπόντες τὸ χωρίον, ἐς Παλλήνην διεκομίσθησαν. Ὁ δὲ Βρασίδας (ἔστι γὰρ ἐν τῇ Ληκύθῳ Ἀθηνᾶς ἱερὸν, καὶ ἔτυχε κηρύξας, ὅτε ἔμελλε προσβάλλειν, τῷ ἐπιβάντι πρώτῳ τοῦ τείχους τριάκοντα μνᾶς ἀργυρίου δώσειν,) νομίσας ἄλλῳ τινὶ τρόπῳ, ἢ ἀνθρωπείῳ, τὴν ἅλωσιν γενέσθαι, τάς τε τριάκοντα μνᾶς τῇ θεῷ ἀπέδωκεν ἐς τὸ ἱερὸν, καὶ τὴν Λήκυθον καθελὼν καὶ ἀνασκευάσας, τέμενος ἀνῆκεν ἅπαν. Καὶ ὁ μὲν τὸ λοιπὸν τοῦ χειμῶνος, ἅ τε εἶχε τῶν χωρίων καθίστατο, καὶ τοῖς ἄλλοις ἐπεβούλευε. καὶ τοῦ χειμῶνος διελθόντος, ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ.

117. Λακεδαιμόνιοι δὲ καὶ Ἀθηναῖοι, ἅμα ἦρι τοῦ ἐπιγιγνομένου θέρους, εὐθὺς ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον, νομίσαντες, Ἀθηναῖοι μὲν, οὐκ ἂν ἔτι τὸν Βρασίδαν σφῶν προσαποστῆσαι οὐδὲν, πρὶν παρασκευάσαιντο καθ' ἡσυχίαν, καὶ ἅμα, εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ πλείω· Λακεδαιμόνιοι δὲ, ταῦτα τοὺς Ἀθηναίους ἡγούμενοι, ἅπερ ἔδεισαν, φοβεῖσθαι, καὶ, γενομένης ἀνακωχῆς κακῶν καὶ ταλαιπωρίας, μᾶλλον ἐπιθυμήσειν αὐτοὺς, πειρασαμένους, ξυναλλα-

octavi belli Pelop. 117. Quibus rationibus tum Athenienses, tum Lacedaemonii permoti sint ad in-

καὶ ἀνασκευάσας, τέμενος ἀνῆκεν. Ἀνασκευάζειν h. l. nostrum *aufräumen*, rudera tollere et removere. Pro *ἀνῆκεν*, quod aptissimum est sensu consecrandi, dicandi, sicut *ἀνειμένα* dici notum est de iis, quae diis consecratae sunt, pecudibus, Poppo coniecit *ἀνέθηκεν*. — *ἅπαν*, τὸ χωρίον.

117. *καὶ ξυμβῆναι τὰ πλείω*, intelligo ipsam pacem, τὰ τῆς εἰρήνης ἢ ξυναλλαγῆς. Cf. c. 118 extr. 119 extr. — *ἅπερ ἔδεισαν*, frustra Bauerus ad Lacedaemonios refert. Poterat addere *καὶ* (ἅπερ καὶ ἔδεισαν) Thucydides; sed hoc non prorsus necessarium erat. Quae timerent Athenienses, non poterat obscurum esse Lacedaemoniis: nimirum Brasidam prospero successu usurum in subigendis Atheniensium sociis, nisi induciis impediretur, quivis perspiciebat.

γῆναί τε, καὶ, τοὺς ἄνδρας σφίσιν ἀποδόντας, σπονδὰς ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον. Τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ὡς ἔτι Βρασίδας εὐτύχει· καὶ ἔμελλον, ἐπὶ μεῖζον χωρήσαντος αὐτοῦ, καὶ ἀντίπαλα καταστήσαντος, τῶν μὲν στέρεσθαι, τοῖς δ' ἐκ τοῦ ἴσου ἀμυνόμενοι, κινδυνεύσειν καὶ κρατήσειν. Γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε καὶ τοῖς ξυμμάχοις ἥδε.

118. „ΠΕΡΙ μὲν τοῦ ἱεροῦ καὶ τοῦ μαντείου τοῦ Ἀπόλλωνος τοῦ Πυθίου, δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως καὶ ἀδεῶς κατὰ τοὺς πατρίους νόμους. Τοῖς μὲν Λακεδαιμονίοις ταῦτα δοκεῖ, καὶ τοῖς ξυμμάχοις τοῖς παροῦσι· Βοιωτοὺς δὲ καὶ Φωκέας πείσειν φασὶν ἐς δύναμιν προσκηρυκευόμενοι. Περὶ δὲ

ducias annuas faciendas. 118. Earum conditiones,

περὶ πλείονος ἐποιοῦντο, comparative accipiendum, „tum temporis malebant eos recipere, quam pòstea, cum forte Brasidas, ad altiora progressus, Atheniensium iram ad captivorum caedem movisset. cf. cap. 41 init. — *ἀντίπαλα καταστήσαντος*, cum res (Lacedaemoniorum in Thracia Atheniensibus) aequasset. — *τῶν μὲν* pertinet ad captivos Lacedaemonios, *τοῖς δὲ* ad eos, quos sibi socios in Thracia Brasidas conciliaverat. Similiter infra cap. 120. ἡ τριήρης ἀμύνοι αὐτῷ. — *ἐκ τοῦ ἴσου*, *aequis viribus*, si quidem iis erant ἀντίπαλα, ut paullo ante dixerat. Verba denique *κινδυνεύσειν* (pro quo in Caſſ. Aug. est κινδυνεύειν) *καὶ κρατήσειν* iam Reiskio coniecturae occasionem dederunt. Sed quomodo ex *καὶ προσπταίσειν* oriri potuerit καὶ κρατήσειν, nemo viderit. Propius codicum scripturam conieceris *εἰ κρατήσειαν*, quo redit certe Scholiastae prioris interpretatio: καὶ ἔμελλον] ἐν ἀδήλῳ εἶναι, εἰ κρατήσουσιν αὐτῶν. Fortasse igitur fuit *κινδυνεύειν εἰ κρατήσειαν*, unde primum factum errore κρατήσειν, deinde non solum *κινδυνεύσειν* adaequatum, sed etiam *εἰ*, quod nunc sensu cassum erat, in *καὶ* mutatum est.

118. *περὶ μὲν τοῦ ἱεροῦ* —. In hoc foedere, quod Athenis ictum est, primo loco perscriptae sunt legatorum Lacedaemoniorum propositiones; deinde a verbis ἔδοξε τῷ δήμῳ populi Atheniensis confirmatio et acceptio conditionum oblatarum. Quare ἡμῖν post δοκεῖ ad Lacedaemonios eorumque socios, non item ad Athenienses referendum. Nam consultatio Dei Delphici eo tempore, quo per totam fere Graeciae continentem res Atheniensium fractae erant, a Lacedaemoniis eorumque sociis in beneficium concedebatur.

τῶν χρημάτων τῶν τοῦ θεοῦ, ἐπιμελεῖσθαι, ὅπως τοὺς ἀδικοῦντας ἐξευρήσωμεν, ὀρθῶς καὶ δικαίως τοῖς πατρίοις νόμοις χρώμενοι καὶ ὑμεῖς καὶ ἡμεῖς, καὶ τῶν ἄλλων οἱ βουλόμενοι, τοῖς πατρίοις νόμοις χρώμενοι πάντες. Περὶ μὲν οὖν τούτων ἔδοξε Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις, ἐὰν σπονδὰς ποιῶνται οἱ Ἀθηναῖοι, ἐπὶ τῆς αὑτῶν μένειν ἑκατέρους, ἔχοντας, ἅπερ νῦν ἔχομεν· τοὺς μὲν ἐν τῷ Κορυφασίῳ, ἐντὸς τῆς Βουφράδος καὶ τοῦ Τομέως μένοντας· τοὺς δέ, ἐν Κυθήροις, μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν, μήτε ἡμᾶς πρὸς αὐτοὺς, μήτε αὐτοὺς πρὸς ἡμᾶς· τοὺς δὲ ἐν Νισαίᾳ καὶ Μινώᾳ, μὴ ὑπερβαίνοντας τὴν ὁδὸν τὴν ἀπὸ τῶν Πυλῶν τῶν παρὰ τοῦ Νίσου ἐπὶ τὸ Πο-

ὅπως τοὺς ἀδικοῦντας ἐξευρήσωμεν. Bredovius contra Manſonem, qui haec de certo quodam ſacrilegio, Delphico templo illato, accipiebat, defendit, hoc loco nihil niſi generalem de ſacrilegis legem contineri; alioquin dicendum fuiſſe τοὺς ἀδικήσαντας. Sed vir doctus non meminerat, Thucydidem ſaepe participiis uti pro ſubſtantivis. Sic 2, 5. οἱ προδιδόντες ſunt proditores; 3, 4. οἱ διαβάλλοντες accuſatores. Et quoties οἱ φεύγοντες ſunt exſules? Ita hic quoque τοὺς ἀδικοῦντας τὰ τοῦ θεοῦ χρήματα ſacrilegos intellexeris licet, qui nuper furtum fecerint. Scholiaſta tamen, ſubaudire iubens πῶς, ad eandem ſententiam, quam Bredovius defendebat, inclinabat.

ἐπὶ τῆς αὑτῶν μένειν ἑκατέρους. Haec verba pendent a σπονδὰς ποιῶνται οἱ Ἀθηναῖοι, ne cum latino interprete ad ἔδοξε referas. Sententia eſt, Lacedaemonios cum ſociis concedere illa, quae ad templi Delphici uſum et curam pertineant, Athenienſibus ea lege, ut de induciis paciſcantur, cum eo, ut uterque teneat, quodcunque expugnaverit.

τοὺς μὲν ἐν τῷ Κορυφασίῳ. Coryphaſium eſt promontorium, ſub quo Pylus Meſſeniaca ſita erat. Vid. Duck. ad 4, 3. cf. 5, 18. Prope Coryphaſium, auctore Stephano Byzantino, Τομεὺς mons vel Τομαῖον ὄρος erat. Βουφράδος nulla apud veteres mentio fit. Ceterum Portus errat, et quodammodo etiam Bredovius, τοὺς μὲν non ad Athenienſes, ſed ad Lacedaemonios referens. Recenſentur h. l. Athenienſium tantum in Lacedaemoniorum finibus praeſidia et caſtella, Pylus, unde Meſſenii Laconicam vaſtabant (cf. cap. 41.), Cythera, et Niſaea cum Minoa inſula. Quae Lacedaemonii in Macedonia expugnaſſent caſtella, partim non nota tum paciſcentibus omnia erant, partim haec cautio in his regionibus Lacedaemoniis minus neceſſaria videbatur.

μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν, i. e. μὴ φοιτῶντας ἐς τὴν ξυμμαχικήν, ſ. πρὸς τοὺς ξυμμάχους. Inferius: κατὰ τὴν ξυμμαχίαν.

τὴν ὁδὸν τὴν ἀπὸ τῶν Πυ-

σειδώνιον, ἀπὸ δὲ τοῦ Ποσειδωνίου, εὐθὺς ἐπὶ τὴν γέφυραν τὴν ἐς Μίνωαν. Μηδὲ Μεγαρέας καὶ τοὺς ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην, καὶ τὴν νῆσον, ἥνπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας, μήτε ἐπιμισγομένους μηδετέρους μηδετέρωσε, καὶ τὰ ἐν Τροιζῆνι, ὅσαπερ νῦν ἔχουσι, καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους. Καὶ τῇ θαλάσσῃ χρωμένους, ὅσα ἂν κατὰ τὴν ἑαυτῶν καὶ κατὰ τὴν ξυμμαχίαν, Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πλεῖν μὴ μακρᾷ νηΐ, ἄλλῳ δὲ κωπήρει πλοίῳ, ἐς πεντακόσια τάλαντα ἄγοντι μέτρα. Κήρυκι δὲ καὶ πρεσβείᾳ καὶ ἀκολούθοις, ὁπόσοις ἂν δοκῇ, περὶ καταλύσεως τοῦ πολέμου καὶ δικῶν,

λῶν τῶν παρὰ τοῦ Νίσου —. Haec depravata eſſe arbitror. Primum enim τῶν πυλῶν appellative accipiendum videtur, ut porta quaedam Niſaeae indicetur, quae porta *prope Niſi aedem* fuerit. Deinde cum hoc per graecae linguae leges non ſit παρὰ τοῦ Νίσου, ſcribendum παρὰ τῷ Νίσου. Facile enim articulus propter ſequens nomen a librariis corrumpi potuit.

ἐπὶ τὴν γέφυραν τὴν ἐς Μίνωαν. De hoc ponte vid. 3, 51 extr. — **καὶ τὴν νῆσον**, intelligo *Μίνωαν*, et haec verba ad *ὑπερβαίνειν* refero, non ad *ἔχοντας*, ad quod participium cum Kiſtem. verba ſequentia *καὶ τὰ ἐν Τροιζῆνι — καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους* pertinere exiſtimo; quare colon poſt *μηδετέρωσε* in comma mutavi. Licet enim alibi non tradat Scriptor, neque quid in Troezenide Megarenſes occupaverint, nec quid cum Athenienſibus pepigerint: tamen hoc ſatis vel ex hoc ipſo loco conſtat, Minoam inſulam in Athenienſium poteſtate manſiſſe; neque de alia inſula cum Bredovio cogitare licet per articulum *τὴν* adiectum, et Thucydidis morem. Sententia igitur eſt: „Neve Megarenſes et ſocii ſuperent illam viam et inſulam, quam Athenienſes ceperunt, habentes (neutri vero cum alteris commercium agentes) et illa, quaecunque in Troezenide nunc tenent, et ea, de quibus inter ipſos et Athenienſes convenit.“

καὶ τῇ θαλάσσῃ χρωμένους —. Haec verba usque ad *κατὰ τὴν ξυμμαχίαν* vulgo cum praecedentibus coniunguntur. Quae ratio mihi displicet, primum quod ita proxima periodus a verbis *Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους — ἀσυνδέτως* incipit; deinde quod Megarenſes, portu Niſaea amiſſo, non magnopere mari poterant uti, ut hoc diſerte concedere opus videri poſſit; denique quod, cur haec definitio ad Megarenſes ſolos potius, quam ad Peloponneſios omnes et Lacedaemonios maxime, pertineat, nemo videat. Plenius igitur poſt verba *πρὸς Ἀθηναίους* interpungendum, et comma ante *Λακεδαιμονίους* ponendum eſt.

ἄγοντι μέτρα. *Μέτρα* videntur eſſe *onera*, *Laſten*, quae Bredovius ad quinquaginta millia librarum noſtrarum aeſtimat.

κήρυκι δὲ καὶ πρεσβείᾳ

ἐς Πελοπόννησον καὶ Ἀθήναζε σπονδὰς εἶναι ἰοῦσι καὶ ἀπιοῦσι, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Τοὺς δὲ αὐτομόλους μὴ δέχεσθαι ἐν τούτῳ τῷ χρόνῳ, μήτε ἐλεύθερον, μήτε δοῦλον, μήτε ὑμᾶς, μήτε ἡμᾶς. Δίκας τε διδόναι ὑμᾶς τε ἡμῖν καὶ ἡμᾶς ὑμῖν κατὰ τὰ πάτρια, τὰ ἀμφίλογα δίκῃ διαλύοντας ἄνευ πολέμου. Τοῖς μὲν Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις ταῦτα δοκεῖ· εἰ δέ τι ὑμῖν εἴτε κάλλιον, εἴτε δικαιότερον τούτων δοκεῖ εἶναι, ἰόντες ἐς Λακεδαίμονα διδάσκετε. Οὐδενὸς γὰρ ἀποστήσονται, ὅσα ἂν δίκαια λέγητε, οὔτε οἱ Λακεδαιμόνιοι, οὔτε οἱ ξύμμαχοι. Οἱ δὲ ἰόντες, τέλος ἔχοντες ἰόντων, ἧπερ καὶ ὑμεῖς ἡμᾶς κελεύετε. Αἱ δὲ σπονδαὶ ἐνιαυτὸν ἔσονται. Ἔδοξε τῷ δήμῳ. Ἀκάμαντις ἐπρυτάνευε, Φαίνιππος ἐγραμμάτευε, Νικιάδης ἐπεστάτει. Λάχης εἶπε, τύχῃ ἀγαθῇ τῇ Ἀθηναίων, ποιεῖσθαι τὴν ἐκεχειρίαν, καθὰ ξυγχωροῦσι Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν· καὶ ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν ἐκεχειρίαν εἶναι ἐνιαυτὸν, ἄρχειν δὲ τήνδε τὴν ἡμέραν, τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος μηνός. Ἐν τούτῳ τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις καὶ κήρυκας, ποιεῖσθαι τοὺς

— *σπονδὰς εἶναι.* Hic et sequentes infinitivi pendent aptius a subaudiendo *δοκεῖ*, quam a verbis superioribus: *ἐὰν σπονδὰς ποιῶνται οἱ Ἀθηναῖοι.* — *Δίκαι* sunt controversiae.

εἴτε κάλλιον. Ita codices plurimi. Vulgo *καλλιώτερον.*

τέλος ἔχοντες. Schol. *κύριοι συμβῆναι ἄνευ τῶν πόλεων.* Est igitur h. l. *τέλος* summa et libera potestas rei transigendae, cum alias sit magistratus, potestas civilis in universum.

ἔδοξε τῷ δήμῳ, Ἀθηναίων. Perverse Schol. ad Lacedaemonios trahit. — *Ἀκάμαντις* est una ex decem tribubus Atticae, quarum cuique in 35 vel 36 dies *πρυτανεία* erat.

τύχῃ ἀγαθῇ τῇ Ἀθην. formula, quae bene ominandi causa foederibus et perficiendis et promulgandis praemittebatur: Quod felix faustumque sit Atheniensibus. — *εἶπε, suasit.* — *ἐν τῷ δήμῳ*, coram populo, in ecclesia, ut paullo inferius cap. extr. — Pro *ἄρχειν* alii codices habent *ἀρχήν*, probante Bened. Sed vulgata vera est: „hunc diem primum esse,“ nempe induciarum.

τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος. Is dies erat *μηνὸς ἐν Λακεδαίμονι Γεραστίου δωδεκάτῃ*, (cf. c. 119.) secundum Dodwellum 22 Martii anni 423 a. Chr. n.

ποιεῖσθαι τοὺς λόγους,

λόγους, καθότι ἔσται ἡ κατάλυσις τοῦ πολέμου. Ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ τοὺς πρυτάνεις, πρῶτον περὶ τῆς εἰρήνης βουλεύσασθαι Ἀθηναίους, καθότι ἂν ἐσίῃ ἡ πρεσβεία περὶ τῆς καταλύσεως τοῦ πολέμου. Σπείσασθαι δὲ αὐτίκα μάλα τὰς πρεσβείας ἐν τῷ δήμῳ τὰς παρούσας, ἦ μὴν ἐμμενεῖν ἐν ταῖς σπονδαῖς τὸν ἐνιαυτόν."

119. Ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι, καὶ ὡμολόγησαν καὶ οἱ ξύμμαχοι Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις, μηνὸς ἐν Λακεδαίμονι Γεραστίου δωδεκάτῃ. Ξυνετίθεντο δὲ καὶ ἐσπένδοντο Λακεδαιμονίων μὲν οἵδε, Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος Περικλείδα, Φιλοχαρίδας Ἐρυξιδαΐδα· Κορινθίων δέ, Αἰνέας Ὠκύτου, Εὐφαμίδας Ἀριστωνύμου· Σικυωνίων δέ, Δαμότιμος Ναυκράτους, Ὀνάσιμος Μεγακλέους· Μεγαρέων δέ, Νίκασος Κεκάλου, Μενεκράτης Ἀμφιδώρου· Ἐπιδαυρίων δέ, Ἀμφίας Εὐπαΐδα· Ἀθηναίων δὲ οἱ στρατηγοί, Νικόστρατος Διϊτρεφοῦς, Νικίας Νικηράτου, Αὐτοκλῆς Τολμαίου. Ἡ μὲν δὴ ἐκεχειρία αὕτη ἐγένετο, καὶ ξυνῄεσαν ἐν αὐτῇ περὶ τῶν μειζόνων σπονδῶν διὰ παντὸς ἐς λόγους.

120. Περὶ δὲ τὰς ἡμέρας ταύτας, αἷς ἐπήρχοντο, Σκιώνη ἐν τῇ Παλλήνῃ πόλις ἀπέστη ἀπ' Ἀθηναίων πρὸς Βρασίδαν. φασὶ δὲ οἱ Σκιωναῖοι, Πελληνεῖς μὲν εἶναι ἐκ Πελοποννήσου, πλέοντας δ' ἀπὸ Τροίας σφῶν

119. et ſponſores ab utraque parte. 120. Scioneuſes in Cherſonneſo Pallenenſi, ultro deficientes ab Athenien-

int. ex ſuperioribus aut *ὡμολόγησαν*, aut *ἔδοξε*.

τὰς πρεσβείας — τὰς παρούσας, Lacedaemoniorum ceterorumque Peloponneſiorum. — *αὐτίκα μάλα*, ſtatim in praeſentia.

119. *περὶ τῶν μειζόνων σπονδῶν*, i. e. de pace. — *διὰ παντός*, int. *χρόνου*.

120. *αἷς ἐπήρχοντο*. Schol. *εἰς ἀλλήλους ἑκάτεροι*. — *ἐν τῇ Παλλήνῃ*. Sic ſcripſi hic et paullo inferius pro *Πελλήνῃ* et *Πελλήνης*, ut Hiſtoricus ſibi conſtet, cuius libri ſupra c. 116, praebebant *ἐς Παλλήνην*. cf. c. 123. 1. 56. 64. Fortaſſe proximum nomen *Πελληνεῖς* librarios in errorem induxit. *Pallene* eſt cher-

τοὺς πρώτους κατενεχθῆναι ἐς τὸ χωρίον τοῦτο τῷ χειμῶνι, ᾧ ἐχρήσαντο Ἀχαιοὶ, καὶ αὐτοῦ οἰκῆσαι. Ἀποστᾶσι δ' αὐτοῖς ὁ Βρασίδας διέπλευσε νυκτὸς ἐς τὴν Σκιώνην, τριήρει μὲν φιλίᾳ προπλεούσῃ, αὐτὸς δὲ ἐν κελητίῳ ἄπωθεν ἐφεπόμενος, ὅπως, εἰ μέν τινι τοῦ κέλητος μείζονι πλοίῳ περιτυγχάνοι, ἡ τριήρης ἀμύνοι αὐτῷ· ἀντιπάλου δὲ ἄλλης τριήρους ἐπιγενομένης, οὐ πρὸς τὸ ἔλασσον νομίζων τρέψασθαι, ἀλλ' ἐπὶ τὴν ναῦν, καὶ ἐν τούτῳ αὐτὸν διασώσειν. Περαιωθεὶς δὲ, καὶ ξύλλογον ποιήσας τῶν Σκιωναίων, ἔλεγεν, ἅ, τε ἐν τῇ Ἀκάνθῳ καὶ Τορώνῃ· καὶ προσέτι φάσκων, ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵτινες, τῆς Παλλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημμένης ὑπὸ Ἀθηναίων Ποτίδαιαν ἐχόντων, καὶ ὄντες οὐδὲν ἄλλο ἢ νησιῶται, αὐτεπάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν, καὶ οὐκ ἀνέμειναν ἀτολμίᾳ ἀνάγκην σφίσι προσγενέσθαι περὶ τοῦ φανερῶς οἰκείου ἀγαθοῦ· σημεῖόν τ' εἶναι τοῦ καὶ ἄλλο τι ἂν αὐτοὺς τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι, εἰ τεθήσεται κατὰ νοῦν τὰ πράγματα· πιστοτάτους τε τῇ ἀληθείᾳ ἡγήσεσθαι αὐτοὺς Λακεδαιμονίων φίλους, καὶ τἄλλα τιμήσειν.

ſibus, recipit in fidem Braſidas, et eos ſummopere colit.

lonneſus in Thracia ſ. Macedonia; *Pellene* urbs Achaiae (v. Schol. ad 2, 9.), unde Pallenenſes ſe oriundos profitebantur. Ita recte Duckerus diſtinguit.

τοὺς πρώτους, primos conditores, auctores ſuae gentis et urbis. — *ᾧ ἐχρήσαντο Ἀχαιοί*, in reditu poſt everſam Troiam.

ἡ τριήρης ἀμύνοι αὐτῷ· Multi codices habent *αὐτῇ* pro *αὐτῷ*, unde Benedictus ſcribere volebat *αὐτῆ* ſine ι ſubſcripto, quod nihili h. l. eſt. *Αὐτῷ* non tentandum eſt. Altera lectio exiſtere potuit ex ſuperſcripto ῃ verbo *ἀμύνοι*, nam codd. Caſſ. Moſq. Aug. *ἀμύνῃ*. Cf. Poppo p. 161. — Pro *τρέψεσθαι* in bonis libris reperitur *τρέψασθαι*, quod cum Benedicto recepimus. Vid. ad 4, 21. Subaudiendum autem ad *τρέψασθαι αὐτὴν* i. e. *τριήρη*, cum *διασώσειν* arctius cum participio *νομίζων* cohaereat, in quo eius ſubiectum *αὐτός* latet.

τῆς Παλλήνης — ἀπειλημμένης ὑπὸ Ἀθην. Ποτιδ. ἐχ. Vid. ſupra 2, 70. Vulgo etiam hic *Πελλήνης*. — *οὐδὲν ἄλλο ἢ νησιῶται*, non re vera, ſed quod Potidaea eos a continenti arceret. Ita cap. 121. dicit de eadem Pallene: *ὡς ἐς νῆσον*.

σημεῖόν τε εἶναι, int. *τοῦ-*

121. *Καὶ οἱ μὲν Σκιωναῖοι ἐπήρθησάν τε τοῖς λόγοις, καὶ θαρσήσαντες πάντες ὁμοίως, καὶ οἷς πρότερον μὴ ἤρεσκε τὰ πρασσόμενα, τόν τε πόλεμον διενοοῦντο προθύμως οἴσειν, καὶ τὸν Βρασίδαν τά τ' ἄλλα καλῶς ἐδέξαντο, καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ ἀνέδησαν, ὡς ἐλευθεροῦντα τὴν Ἑλλάδα, ἰδίᾳ δὲ ἐταινίουν τε καὶ προςήρχοντο ὥςπερ ἀθλητῇ. Ὁ δὲ τό, τε παραυτίκα φυλακήν τινα αὐτοῖς ἐγκαταλιπὼν, διέβη πάλιν· καὶ ὕστερον οὐ πολλῷ στρατιὰν πλείω ἐπεραίωσε, βουλόμενος μετ' αὐτῶν τῆς τε Μένδης καὶ τῆς Ποτιδαίας ἀποπειράσαι· ἡγούμενος, καὶ τοὺς Ἀθηναίους βοηθῆσαι ἂν, ὡς ἐς νῆσον, καὶ βουλόμενος φθάσαι. καί τι αὐτῷ καὶ ἐπράσσετο ἐς τὰς πόλεις ταύτας προδοσίας πέρι. Καὶ ὁ μὲν ἔμελλεν ἐγχειρήσειν ταῖς πόλεσι ταύταις.*

122. *Ἐν τούτῳ δὲ, τριήρει οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες ἀφικνοῦνται παρ' αὐτὸν, Ἀθηναίων μὲν, Ἀριστώνυμος, Λακεδαιμονίων δὲ, Ἀθήναιος. Καὶ ἡ μὲν στρατιὰ πάλιν διέβη ἐς Τορώνην· οἱ δὲ τῷ Βρασίδᾳ ἀνήγγελλον τὴν ξυνθήκην· καὶ ἐδέξαντο πάντες οἱ ἐπὶ Θρᾴκης ξύμμαχοι Λακεδαιμονίων τὰ πεπραγμένα. Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατῄνει, Σκιωναίους δὲ αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν, ὅτι ὕστερον ἀφεστήκοιεν, οὐκ ἔφη ἐνσπόνδους ἔσεσθαι. Βρασίδας δὲ ἀντέλεγε πολλὰ, ὡς πρότερον, καὶ οὐκ*

121. Quomodo Scionenſes Braſidam coluerint. 122. Poſt adventum induciarum pactarum nuntiorum, de Scione lis orta

το, τὸ αὐτεπαγγέλτους χωρῆσαι πρὸς τὴν ἐλευθερίαν, σημεῖον εἶναι τοῦ — ὑπομεῖναι. — *Κατὰ νοῦν*, ex animi ſententia.

121. *προςήρχοντο ὥςπερ ἀθλητῇ*, ſalutandi cauſa adibant eum, tamquam victorem athletam, velut Olympionicen.

καί τι αὐτῷ καὶ ἐπράσσετο. Hic ordo verborum aptior eſt, quam quem vulgatae editiones exhibent, *καί τι καὶ αὐτῷ ἐπ.*, contra plerosque libros manu ſcriptos. — Paullo ante verba *ὡς ἐς νῆσον* illuſtrantur iis, quae cap. 122. exponit Hiſtoricus de Athenienſium graviore ira, ſi qui inſulanorum a ſe defeciſſent, Lacedaemoniorum auxilio, quod in re navali inutile eſſet, confiſi.

ἀφίει τὴν πόλιν. Ὡς δ' ἀπήγγελλεν ἐς τὰς Ἀθήνας ὁ Ἀριστώνυμος περὶ αὐτῶν, οἱ Ἀθηναῖοι εὐθὺς ἕτοιμοι ἦσαν στρατεύειν ἐπὶ τὴν Σκιώνην. Οἱ δὲ Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες, παραβήσεσθαι ἔφασαν αὐτοὺς τὰς σπονδὰς, καὶ τῆς πόλεως ἀντεποιοῦντο, Βρασίδᾳ πιστεύοντες· δίκῃ τε ἕτοιμοι ἦσαν περὶ αὐτῆς κρίνεσθαι. Οἱ δὲ, δίκῃ μὲν οὐκ ἤθελον κινδυνεύειν, στρατεύειν δὲ ὡς τάχιστα, ὀργὴν ποιούμενοι, εἰ καὶ οἱ ἐν ταῖς νήσοις ἤδη ὄντες ἀξιοῦσι σφῶν ἀφίστασθαι, τῇ κατὰ γῆν Λακεδαιμονίων ἰσχύϊ ἀνωφελεῖ πιστεύοντες. Εἶχε δὲ καὶ ἡ ἀλήθεια περὶ τῆς ἀποστάσεως μᾶλλον, ᾗ οἱ Ἀθηναῖοι ἐδικαίουν. δύο γὰρ ἡμέραις ὕστερον ἀπέστησαν οἱ Σκιωναῖοι. Ψήφισμά τ' εὐθὺς ἐποιήσαντο, Κλέωνος γνώμῃ πεισθέντες, Σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖναι. Καὶ τἄλλα ἡσυχάζοντες, ἐς τοῦτο παρεσκευάζοντο.

125. Ἐν τούτῳ δὲ Μένδη ἀφίσταται αὐτῶν, πόλις ἐν τῇ Παλλήνῃ, Ἐρετριέων ἀποικία. Καὶ αὐτοὺς ἐδέξατο ὁ Βρασίδας, οὐ νομίζων ἀδικεῖν, ὅτι ἐν τῇ ἐκεχειρίᾳ φανερῶς προσεχώρησαν. Ἔστι γὰρ ἃ καὶ αὐτὸς ἐνεκάλει τοῖς Ἀθηναίοις παραβαίνειν τὰς σπονδάς. Διὸ καὶ οἱ Μενδαῖοι μᾶλλον ἐτόλμησαν, τήν τε τοῦ Βρασίδου γνώμην ὁρῶντες ἑτοίμην, τεκμαιρόμενοι καὶ ἀπὸ τῆς Σκιώνης, ὅτι οὐ προὐδίδου· καὶ ἅμα τῶν πρασσόντων σφίσιν ὀλίγων τε ὄντων, καὶ, ὡς τότε ἐμέλλησαν, οὐκέτι ἀνέντων, ἀλλὰ περὶ σφίσιν αὐ-

inter Athenienſes et Lacedaemonios, quia haec urbs poſt ſponſionem demum induciarum defecerat. 125. Etiam

122. *ᾗ οἱ Ἀθηναῖοι ἐδικαίουν.* Vulgo ἡ, quod usque tenent editores et interpretes, licet aegre ſententiam loci expediant. In codd. Gr. Reg. eſt ῃ, aut ſine ι ſubſcripto, aut cum illo. Quae unice vera eſt lectio; idem enim valet quod ὡς. *Μᾶλλον* et hic eſt potius (3, 63 coll. 4, 10.) cuius ſignificationis ignorantia non ſolum 4, 10., ſed etiam h. l. mutandae lectioni anſam dedit.

123. *ὡς τότε ἐμέλλησαν, οὐκέτι ἀνέντων*, rem, quam tum facturi erant, non amplius intermittentibus.

τοῖς φοβουμένων τὸ κατάδηλον, καὶ καταβιασαμένων παρὰ γνώμην τοὺς πολλούς. Οἱ δὲ Ἀθηναῖοι, εὐθὺς πυθόμενοι, πολλῷ ἔτι μᾶλλον ὀργισθέντες, παρεσκευάζοντο ἐπ' ἀμφοτέρας τὰς πόλεις. Καὶ Βρασίδας, προσδεχόμενος τὸν ἐπίπλουν αὐτῶν, ὑπεκκομίζει ἐς Ὄλυνθον τὴν Χαλκιδικὴν παῖδας καὶ γυναῖκας τῶν Σκιωναίων καὶ Μενδαίων, καὶ τῶν Πελοποννησίων αὐτοῖς πεντακοσίους ὁπλίτας διέπεμψε, καὶ πελταστὰς τριακοσίους Χαλκιδέων, ἄρχοντά τε τῶν ἁπάντων Πολυδαμίδαν. Καὶ οἱ μὲν, τὰ περὶ σφᾶς αὐτοὺς, ὡς ἐν τάχει παρεσομένων τῶν Ἀθηναίων, κοινῇ εὐτρεπίζοντο.

124. Βρασίδας δὲ καὶ Περδίκκας ἐν τούτῳ στρατεύουσιν ἅμα ἐπὶ Ἀῤῥίβαιον τὸ δεύτερον ἐς Λύγκον. Καὶ ἦγον, ὁ μὲν, ὧν ἐκράτει Μακεδόνων τὴν δύναμιν, καὶ τῶν ἐνοικούντων Ἑλλήνων ὁπλίτας. ὁ δὲ, πρὸς τοῖς αὐτοῦ περιλοίποις τῶν Πελοποννησίων, Χαλκιδέας, καὶ Ἀκανθίους, καὶ τῶν ἄλλων κατὰ δύναμιν ἑκάστων. Ξύμπαν δὲ τὸ ὁπλιτικὸν τῶν Ἑλλήνων, τρισχίλιοι μάλιστα. Ἱππεῖς δ' οἱ πάντες ἠκολούθουν Μακεδόνων ξὺν Χαλκιδεῦσιν ὀλίγου ἐς χιλίους, καὶ ἄλλος ὅμιλος τῶν βαρβάρων πολύς. Ἐσβαλόντες δὲ ἐς τὴν Ἀῤῥιβαίου, καὶ εὑρόντες ἀντεστρατοπεδευμένους αὐτοῖς τοὺς Λυγκηστὰς, ἀντεκαθέζοντο καὶ αὐτοί. Καὶ, ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθεν, πεδίου δὲ τοῦ μέσου ὄντος, οἱ ἱππεῖς, ἐς αὐτὸ καταδραμόντες, ἱππομάχησαν πρῶτα ἀμφοτέρων· ἔπειτα δὲ καὶ ὁ Βρασίδας καὶ ὁ Περδίκκας, προελθόντων προτέρων ἀπὸ τοῦ λόφου μετὰ τῶν ἱππέων τῶν Λυγκη-

Mende deſciſcit ab Athenienſibus, et a Braſida recipitur. 124. Altera Braſidae cum Perdicca adverſus Arrhibaeum

124. *καὶ τῶν ἄλλων*, int. *τινάς*. Mox pro *ὀλίγῳ ἐς χιλίους* recepi lectionem a Poppone p. 44. ex Priſciano prolatam: *ὀλίγου ἐς χιλίους*, i. e. *παρ' ὀλίγον χιλίους*, propemodum mille, paullo minus mille. Nam *ὀλίγῳ* hic nihili eſt.

στῶν ὁπλιτῶν, καὶ ἑτοίμων ὄντων μάχεσθαι, ἀντεπαγαγόντες καὶ αὐτοὶ, ξυνέβαλον, καὶ ἔτρεψαν τοὺς Λυγκηστάς. Καὶ πολλοὺς μὲν διέφθειραν· οἱ δὲ λοιποὶ, διαφεύγοντες πρὸς τὰ μετέωρα, ἡσύχαζον. Μετὰ δὲ τοῦτο, τροπαῖον στήσαντες, δύο μὲν ἢ τρεῖς ἡμέρας ἐπέσχον, τοὺς Ἰλλυριοὺς μένοντες, οἳ ἔτυχον τῷ Περδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν· ἔπειτα ὁ Περδίκκας ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ Ἀῤῥιβαίου κώμας, καὶ μὴ καθῆσθαι· Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος, μὴ, τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων, τὶ πάθῃ, καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος ἦν, ἀλλὰ ἀναχωρεῖν μᾶλλον.

125. Καὶ ἐν τούτῳ διαφερομένων αὐτῶν ἠγγέλθη, ὅτι καὶ οἱ Ἰλλυριοὶ μετ᾽ Ἀῤῥιβαίου, προδόντες Περδίκκαν, γεγένηνται· ὥστε, ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν, διὰ τὸ δέος αὐτῶν, ὄντων ἀνθρώπων μαχίμων, κυρωθὲν δὲ οὐδὲν, ἐκ τῆς διαφορᾶς, ὁπηνίκα χρὴ ὁρμᾶσθαι, νυκτός τε ἐπιγενομένης, οἱ μὲν Μακεδόνες καὶ τὸ πλῆθος τῶν βαρβάρων, εὐθὺς φοβηθέντες (ὅπερ φιλεῖ μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλή-

in Lyncum expeditio. Proelium equeſtre pedeſtris pugna excipit, qua funduntur Lynceſtae. 125. Deinde autem, panico inter Macedones orto terrore, Perdiccas cum exercitu discedit ſolus; Braſidas, deſtitutum ſe videns, non ſine periculo

τῆς Μένδης περιορώμενος. Schol. εὐλαβούμενος, περὶ αὐτῆς κηδόμενος. οὐ πρόθυμος ἦν, int. ex antecedentibus προϊέναι.

125. προδόντες Περδίκκαν. Haec verba commatibus a ceteris ſecluſi, ne quis participium iungat cum γεγένηνται.

δοκοῦν — κυρωθέν. Vide ad 4, 106.

οἱ μὲν Μακεδόνες — εὐθὺς φοβηθέντες. Commate poſt Μακεδόνες ſublato, interpunxi poſt βαρβάρων, ut εὐθὺς φοβηθέντες melius cum antecedentibus iungeretur. Pertinet enim non minus ad Macedones quam ad barbarorum multitudinem. Vocem ἀσαφῶς, cuius loco vulgo σαφῶς legitur, iam Duckerus ita defendit, ut dubitare amplius de eius veritate non liceat. Eſt enim ſententia: incerta de cauſa, ἀδήλου οὔσης τῆς αἰτίας, ſubito pavore exercitum eſſe percuſſum. Littera ἀ excidit propter vocis proximae finalem. Et aperte eam exhibent codd. Marg. Caſſ. Schol. Valla et Thom. Mag. Cum eodem Moeris ſervat ex h. l. ἐκπλήγνυ-

γνυσθαι,) καὶ νομίσαντες πολλαπλασίους μὲν, ἢ ἦλθον, ἐπιέναι, ὅσον δὲ οὔπω παρεῖναι, καταστάντες ἐς αἰφνίδιον φυγὴν, ἐχώρουν ἐπ᾽ οἴκου, καὶ τὸν Περδίκκαν, τὸ πρῶτον οὐκ αἰσθανόμενον, ὡς ἔγνω, ἠνάγκασαν, πρὶν τὸν Βρασίδαν ἰδεῖν, (ἄπωθεν γὰρ πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο,) προαπελθεῖν. Βρασίδας δὲ ἅμα τῇ ἕῳ, ὡς εἶδε τοὺς Μακεδόνας προκεχωρηκότας, τούς τε Ἰλλυριοὺς καὶ τὸν Ἀῤῥίβαιον μέλλοντας ἐπιέναι, ξυναγαγὼν καὶ αὐτὸς ἐς τετράγωνον τάξιν τοὺς ὁπλίτας, καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον λαβὼν, διενοεῖτο ἀναχωρεῖν. ἐκδρόμους δὲ, εἴ πῃ προςβάλλοιεν αὐτοῖς, ἔταξε τοὺς νεωτάτους. Καὶ αὐτὸς, λογάδας ἔχων τριακοσίους, τελευταῖος, γνώμην εἶχεν, ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προςκεισομένοις, ἀνθιστάμενος ἀμύνεσθαι. Καὶ, πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι, ὡς διὰ ταχέων, παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε.

126. „ΕΙ μὲν μὴ ὑπώπτευον, ἄνδρες Πελοποννήσιοι, ὑμᾶς, τῷ τε μεμονῶσθαι, καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες, καὶ πολλοὶ, ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως διδαχὴν ἅμα τῇ παρακελεύσει ἐποιούμην· νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων, καὶ τὸ πλῆθος τῶν ἐναντίων, βραχεῖ ὑπομνήματι καὶ παραινέσει τὰ μέ-

ſe recipit. 126. Adhortatur ſuos ad fortiter pugnandum.

σθαι tamquam vocem Thucydidi propriam pro ἐκπλήττεσθαι, quod h. l. depravati codices Ar. C. Dan. Moſq. praebent, iam propter formam ττ a Thucydide alienum. — Ὅπερ non eſt καθόπερ, ſed accuſativus pendens ab ἐκπλήγνυσθαι, „qua formidine impleri ſolent incerta de cauſa magni exercitus.“

ὅσον δὲ οὔπω παρεῖναι. Ita plurimorum librorum auctoritate ſcribendum pro ὅσον δὲ οὐδέπω. Si codices nonnulli ex probatis addicerent, ſcriberem ὅσον οὐ δέ πω. Sed tanto conſenſui non eſt reluctandum.

126. νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων, καὶ τὸ πλῆθος —. Dictum puta pro τὸ πλῆθος δέ. Nam μέν non habet in toto loco, quo referatur, niſi καί. Duae erant res, quae admonitionem flagitarent, et de quibus uberius in ſequentibus agit Braſidas, altera ſuorum (Macedonum) diſceſſus, altera barbarorum magna multitudo. Cf. dicta ad c. 73. πρός h. l. de, quod attinet ad.

γιστα πειράσομαι πείθειν. Ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προςήκει τὰ πολέμια, οὐ διὰ ξυμμάχων παρουσίαν ἑκάστοτε, ἀλλὰ δι' οἰκείαν ἀρετὴν, καὶ μηδὲν πλῆθος πεφοβῆσθαι ἑτέρων· οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε· ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειόνων μᾶλλον ἐλάσσους, οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν δυναστείαν, ἢ τῷ μαχόμενοι κρατεῖν. Βαρβάρους δὲ, οὓς νῦν ἀπειρίᾳ δέδιτε, μαθεῖν χρὴ, ἐξ ὧν τε προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν, καὶ ἀφ' ὧν ἐγὼ εἰκάζων τε, καὶ ἄλλων ἀκοῇ ἐπίσταμαι, οὐ δεινοὺς ἐσομένους. Καὶ γὰρ, ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν πολεμίων δόκησιν ἔχει ἰσχύος, διδαχὴ ἀληθὴς προςγενομένη περὶ αὐτῶν, ἐθάρσυνε μᾶλλον τοὺς ἀμυνομένους· οἷς δὲ βεβαίως τι πρόςεστιν ἀγαθὸν, μὴ προειδώς τις ἂν αὐτοῖς τολμηρότερον προςφέροιτο. Οὔ-

οἵ, γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε, ἐν αἷς οὐ πολλοὶ ὀλίγων ἄρχουσιν. Portus vertit, quasi praecedens μηδὲ non legerit in ſuo exemplari; ſcilicet ſanam rationem h. l. magis, quam verba corrupti ſcriptoris curans, praeter conſuetudinem. At vero etiam Duckerus negat, ſe coniecturam Stephani, pro οὐ legentis οἱ, aſſequi, quae mihi, niſi aut μηδὲ deleatur, aut interpunctio mutetur, prorſus neceſſaria videtur. Patet enim, alteram negationem ſupereſſe, immo ſententiam perdere. Kiſtemakeri ratio, qui μηδὲ num vertit, aliena eſt et linguae uſui contraria. Ut igitur loci ſententia conſtet, cum neque μηδὲ neque οὐ contra codicum fidem expungere liceat, poſt ἥκετε paullo plenius interpungendum putavi: Qui quidem ne ex civitatibus quidem eiusmodi venistis: in quibus (adeo) non multi paucos gubernant, ſed pluribus potius pauciores imperant." Ita ἐν αἷς accipiendum ſit pro ἐν ἐκείναις γάρ.

κτησάμενοι τὴν δυναστείαν. Ad Heraclidas et Dores reſpici puto, qui bellica virtute antiquitus imperium nacti fuerant in Peloponneſo.

προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν. Τοῖς Μακεδόσιν non poteſt eſſe *una cum Macedonibus*, ut Bredovius vertit, ſed *in Macedonum gratiam*, ut recte Portus. — προηγώνισθε Schol. προεπολεμήσατε. Genitivus αὐτῶν autem, vereor, ne inſolens ſit, cum προαγωνίζεσθαι coniunctus. Malim αὐτῶν referre ad praecedens ὧν: „Barbaros vero intelligere vos oportet, partim ex iis ipſis certaminibus, quae iam in Macedonum gratiam ſubiiſtis, partim ex eo, quod ego et ratione et fama percipio, non fore extimeſcendos." Pro εἰκάζω ad codicum fidem reponendum eſt εἰκάζων, ut huic participio reſpondeat dativus ἀκοῇ, quae ſtructurae ratio Thucydidi maxime eſt familiaris.

τοι δὲ τὴν μέλλησιν μὲν ἔχουσι τοῖς ἀπείροις φοβεράν· (καὶ γὰρ πλήθει ὄψεως δεινοί, καὶ βοῆς μεγέθει ἀφόρητοι· ἥ τε διακενῆς ἐπανάσεισις τῶν ὅπλων ἔχει τινὰ δήλωσιν ἀπειλῆς) προςμίξαι δὲ τοῖς ὑπομένουσιν αὐτὰ οὐχ ὅμοιοι. Οὔτε γὰρ τάξιν ἔχοντες αἰσχυνθεῖεν ἂν λιπεῖν τινὰ χώραν βιαζόμενοι· ἥ τε φυγὴ καὶ ἡ ἔφοδος αὐτῶν, ἴσην ἔχουσα δόξαν τοῦ καλοῦ, ἀνεξέλεγκτον καὶ τὸ ἀνδρεῖον ἔχει. Αὐτοκράτωρ δὲ μάχη μάλιστ' ἂν καὶ πρόφασιν τοῦ σώζεσθαι τινὶ πρεπόντως πορίσειε. Τοῦ τε ἐς χεῖρας ἐλθεῖν πιστότερον τὸ ἐκφοβήσειν ἡμᾶς ἀκινδύνως ἡγοῦνται· ἐκείνῳ γὰρ ἂν πρὸ τούτου ἐχρῶντο. Σαφῶς τε πᾶν τὸ προϋπάρχον δεινὸν ἀπ' αὐτῶν ὁρᾶτε ἔργῳ μὲν βραχὺ ὄν, ὄψει δὲ καὶ ἀκοῇ κατασπέρχον. ὃ ὑπομείναντες ἐπιφερόμενον, καί, ὅταν καιρὸς ᾖ, κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες, ἔς τε τὸ ἀσφαλὲς θᾶσσον ἀφίξεσθε, καὶ γνώσεσθε τὸ λοιπόν, ὅτι οἱ τοιοῦτοι ὄχλοι τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις ἄπωθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν· οἳ δ' ἂν εἴξωσιν αὐτοῖς, κατὰ πόδας τὸ εὔψυχον ἐν τῷ ἀσφαλεῖ ὀξεῖς ἐνδείκνυνται."

τὴν μέλλησιν intelligo de impendente hoſtium impetu, ut infra hoc cap. extr. *τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν.* Schol. ſupplet *τοῦ ἐπιέναι. Φοβεροί εἰσι, μέλλοντες, οὐκ ἐν χερσὶν ὄντες.* — *πλήθει ὄψεως*, multitudine, quae conſpectui offertur. — *αὐτά, τὴν ὄψιν, καὶ τὴν βοήν, καὶ τὴν ἐπανάσεισιν τῶν ὅπλων.* Ceterum, cum *δέ* pertineat ad *τὴν μέλλησιν μέν*, verba *καὶ γὰρ — ἀπειλῆς* parentheſeos ſignis ſecluſi.

οὔτε γὰρ τάξιν ἔχοντες αἰσχυνθεῖεν ἂν λιπεῖν —. Negatio *οὐ* pariter ad participium *ἔχοντες*, atque ad verbum *αἰσχυνθεῖεν* pertinet. Vid. ad 1, 141. — *αὐτοκράτωρ δὲ μάχη —.* Schol. *μάχη δὲ αὐτεξούσιος, ἐν ᾗ ἔξεστιν ὃ βούλεταί τις πράττειν, παρέχει πρόφασιν φεύγειν τοῖς ὁπωσοῦν βουλομένοις σώζεσθαι.*

τὸ προϋπάρχον δεινόν, hactenus vobis incuſſus terror. — *κατασπέρχον*, Schol. *κινοῦν εἰς δειλίαν, ἐκπλῆττον.*

οἳ δ' ἂν εἴξωσιν. Cum Duckero comma poſui *ante κατὰ πόδας, e veſtigio.* Facile ſubaudias *τούτοις.*

127. *Τοιαῦτα ὁ Βρασίδας παραινέσας, ὑπῆγε τὸ στράτευμα. Οἱ δὲ βάρβαροι, ἰδόντες, πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο, νομίσαντες φεύγειν τε αὐτὸν, καὶ καταλαβόντες διαφθείρειν. Καὶ ὡς αὐτοῖς αἵ τε ἐκδρομαὶ, ὅπῃ προσπίπτοιεν, ἀπήντων, καὶ αὐτὸς, ἔχων τοὺς λογάδας, ἐπικειμένους ὑφίστατο, τῇ τε πρώτῃ ὁρμῇ παρὰ γνώμην ἀντέστησαν, καὶ τὸ λοιπὸν, ἐπιφερομένους μὲν δεχόμενοι ἠμύνοντο, ἡσυχαζόντων δὲ, αὐτοὶ ὑπεχώρουν, τότε δὴ τῶν μετὰ τοῦ Βρασίδου Ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ οἱ πολλοὶ τῶν βαρβάρων ἀπέσχοντο, μέρος δέ τι καταλιπόντες, αὐτοῖς ἐπακολουθοῦν προσβάλλειν, οἱ λοιποὶ, χωρήσαντες δρόμῳ ἐπί τε τοὺς φεύγοντας τῶν Μακεδόνων, οἷς ἐντύχοιεν, ἔκτεινον, καὶ τὴν ἐσβολὴν, ἥ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ, ἐς τὴν Ἀῤῥιβαίου, φθάσαντες προκατέλαβον, εἰδότες οὐκ οὖσαν ἄλλην τῷ Βρασίδᾳ ἀναχώρησιν. Καὶ προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄπορον τῆς ὁδοῦ, κυκλοῦνται ὡς ἀποληψόμενοι.*

128. *Ὁ δὲ, γνοὺς, προεῖπε τοῖς μεθ᾽ αὐτοῦ τριακοσίοις, ὃν ᾤετο μᾶλλον ἂν ἑλεῖν τῶν λόφων, χωρή-*

127. Barbarorum incurſiones repelluntur; conantur tamen, viam anguſtam praeoccupando, Braſidam intercipere. 128. Quo ex periculo prudenter et fortiter Braſidas ſe expedit.

127. *ὑπῆγε.* Recte Duckerus contra Thomam Mag., qui *ὑπάγειν* h. l. eſſe vult *προάγειν*, defendit conſuetam huius verbi apud noſtrum Scriptorem ſignificationem, ut ſit retro ducere et *ὑποχωρεῖν*. Supra c. 126. dixerat *κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες*, quod c. 125 extr. erat *ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προσκειμένοις*. Adde quod infra dicit *οἱ βάρβαροι — νομίσαντες φεύγειν αὐτόν.*

αἱ ἐκδρομαί. Supra c. 125 extr. *ἐκδρόμους δὲ, εἴ πῃ προσβάλλοιεν αὐτοῖς, ἔταξε τοὺς νεωτάτους.*

χωρήσαντες δρόμῳ ἐπί τε τοὺς φεύγ. Particula *τέ* Bauerum offendebat illo, quo nunc eſt, loco poſita. Sed amat hanc transpoſitionem Thucydides, cum ſcribere debuiſſet: *τούς τε φεύγοντας τῶν Μακεδόνων, χωρήσαντες δρόμῳ ἐπ᾽ αὐτοὺς, οἷς ἐντύχοιεν, ἔκτεινον, καὶ τὴν ἐσβολὴν — προκατέλαβον.* Cf. ſupra ad c. 95.

κυκλοῦνται. Interpunctionem, ſuadente Kiſtemakero, mutavi.

σαντας πρὸς αὐτὸν δρόμῳ, ὡς τάχιστα ἕκαστος δύναται, ἄνευ τάξεως, πειρᾶσαι ἀπ' αὐτοῦ ἐκκροῦσαι τοὺς ἤδη ἐπιόντας βαρβάρους, πρὶν καὶ τὴν πλείονα κύκλωσιν σφῶν αὐτόσε προσμῖξαι. Καὶ οἱ μὲν, προσπεσόντες, ἐκράτησάν τε τῶν ἐπὶ τοῦ λόφου, καὶ ἡ πλείων ἤδη στρατιὰ τῶν Ἑλλήνων ῥᾷον πρὸς αὐτὸν ἐπορεύοντο. Οἱ γὰρ βάρβαροι καὶ ἐφοβήθησαν, τῆς τροπῆς αὐτοῖς ἐνταῦθα γενομένης σφῶν ἀπὸ τοῦ μετεώρου, καὶ ἐς τὸ πλεῖον οὐκέτ' ἐπηκολούθουν, νομίζοντες, καὶ ἐν μεθορίοις εἶναι αὐτοὺς ἤδη, καὶ διαπεφευγέναι. Βρασίδας δέ, ὡς ἀντελάβετο τῶν μετεώρων, κατὰ ἀσφάλειαν μᾶλλον ἰὼν, αὐθημερὸν ἀφικνεῖται εἰς Ἄρνισσαν πρῶτον, τῆς Περδίκκου ἀρχῆς. Καὶ αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται τῇ προαναχωρήσει τῶν Μακεδόνων, ὅσοις ἐνέτυχον κατὰ τὴν ὁδὸν ζεύγεσιν αὐτῶν βοεικοῖς, ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι, (οἷα ἐν νυκτερινῇ καὶ φοβερᾷ ἀναχωρήσει εἰκὸς ἦν ξυμβῆναι) τὰ μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείωσιν ἐποιοῦντο. Ἀπὸ τούτου τε πρῶτον Περδίκκας Βρασίδαν τε πολέμιον ἐνόμισε, καὶ ἐς τὸ λοιπὸν Πελοποννησίων, τῇ μὲν γνώμῃ, δι' Ἀθηναίους, οὐ ξύνηθες μῖσος εἶχε, τῶν δὲ ἀναγκαίων ξυμφόρων διαναστὰς, ἔπρασ-

128. τοὺς ἤδη ἐπιόντας βαρβάρους. Poppo malit ἐπόντας propter finem praecedentis capitis, et propter ea, quae ſtatim adduntur: ἐκράτησαν τῶν ἐπὶ τοῦ λόφου. Sed c. 127. non dictum eſt, λόφους a barbaris captos eſſe, ſed τὴν ἐσβολήν, quae inter duos erat colles. Et infra οἱ ἐπὶ τοῦ λόφου intelligi poſſunt ii, qui in montem aſcendebant, cum alii in valle et fortaſſe ad collis radices verſarentur. Alia ratio eſt verborum: καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπιόντας cap. 131. ubi recipio Popponis coniecturam ἐπόντας.

ἐς τὸ πλεῖον, i. e. ulterius. — ἐν μεθορίοις, int. τῆς τοῦ Περδίκκου ἀρχῆς. — καὶ αὐτοί, pertinet ad κατέκοπτον, ſponte, non iuſſi a Braſida iumenta occidebant.

τῇ μὲν γνώμῃ — εἶχε. Sententia eſt: Animo quidem, propter Athenienſes ſemper ſibi infeſtos, inſolenti i. e. non inſito odio oderat Perdiccas Lacedaemonios, ſed propter neceſſarias res ab illis alienatus, id egit, ut cet. (τῶν ξυμφόρων, ſubaudi ἕνεκα). Non animi voluntas, ſed politicae rationes eum cogebant, ut cum illis paciſceretur, quos oderat, ab iis autem diſſociaretur, quos ſemper dilexerat.

σεν, ὅτῳ τρόπῳ τάχιστα τοῖς μὲν ξυμβήσεται, τῶν δὲ ἀπαλλάξεται.

129. Βρασίδας δὲ, ἀναχωρήσας ἐκ Μακεδονίας ἐς Τορώνην, καταλαμβάνει Ἀθηναίους Μένδην ἤδη ἔχοντας. Καὶ αὐτοῦ ἡσυχάζων, ἐς μὲν τὴν Παλλήνην ἀδύνατος ἤδη ἐνόμιζεν εἶναι διαβὰς τιμωρεῖν, τὴν δὲ Τορώνην ἐν φυλακῇ εἶχεν. Ὑπὸ γὰρ τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ Λύγκῳ ἐξέπλευσαν ἐπί τε τὴν Μένδην καὶ τὴν Σκιώνην οἱ Ἀθηναῖοι, ὥςπερ παρεσκευάζοντο, ναυσὶ μὲν πεντήκοντα, ὧν ἦσαν δέκα Χῖαι, ὁπλίταις δὲ χιλίοις ἑαυτῶν, καὶ τοξόταις ἑξακοσίοις, καὶ Θρᾳξὶ μισθωτοῖς χιλίοις, καὶ ἄλλοις τῶν αὐτόθεν ξυμμάχων πελτασταῖς. ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου, καὶ Νικόστρατος ὁ Διϊτρεφοῦς. Ἄραντες δὲ ἐκ Ποτιδαίας ταῖς ναυσὶ, καὶ σχόντες κατὰ τὸ Ποσειδώνιον, ἐχώρουν ἐς τοὺς Μενδαίους. Οἱ δὲ αὐτοί τε, καὶ Σκιωναίων τριακόσιοι βεβοηθηκότες, Πελοποννησίων τε οἱ ἐπίκουροι, ξύμπαντες δὲ ἑπτακόσιοι ὁπλῖται, καὶ Πολυδαμίδας ὁ ἄρχων αὐτῶν, ἔτυχον ἐξεστρατοπεδευμένοι ἔξω τῆς πόλεως ἐπὶ λόφου καρτεροῦ. Καὶ αὐτοῖς Νικίας μὲν, Μεθωναίους τε ἔχων εἴκοσι καὶ ἑκατὸν ψιλοὺς, καὶ λογάδας τῶν Ἀθηναίων ὁπλιτῶν ἑξήκοντα, καὶ τοὺς τοξότας ἅπαντας, κατὰ ἀτραπόν τινα τοῦ λόφου πειρώμενος προςβῆναι, καὶ τραυματιζόμενος ὑπ' αὐτῶν, οὐκ ἠδυνήθη βιάσασθαι. Νικόστρατος δὲ, ἄλλῃ ἐφόδῳ ἐκ πλείονος παντὶ τῷ ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ λόφῳ, ὄντι δυςπροςβάτῳ, καὶ πάνυ

129. Interea Athenienſes, Nicia et Nicoſtrato ducibus, ad Mendam recuperandam profecti, proelio ante urbem commiſſo, ultimum discrimen adeunt. Mendenſes tamen

129. *ἐπὶ λόφου καρτεροῦ*, i. e. natura munito. *Καρτερός* pro *κρατερός* et alibi Thucydides dixit, ut c. 131. 5, 7. 10. *τὸ καρτερώτατον τοῦ χωρίου*,

Μεθωναίους, ex Macedoniae urbe Methone. Cf. ad 2, 25. 6, 7.

ἐθορυβήθη, καὶ ἐς ὀλίγον ἀφίκετο πᾶν τὸ στράτευμα τῶν Ἀθηναίων νικηθῆναι. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ὡς οὐκ ἐνέδοσαν οἱ Μενδαῖοι καὶ οἱ ξύμμαχοι, οἱ Ἀθηναῖοι ἀναχωρήσαντες ἐστρατοπεδεύσαντο· καὶ οἱ Μενδαῖοι, νυκτὸς ἐπελθούσης, ἐς τὴν πόλιν ἀπῆλθον.

130. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι, περιπλεύσαντες ἐς τὸ πρὸς Σκιώνης, τό τε προάστειον εἷλον, καὶ τὴν ἡμέραν ἅπασαν ἐδῄουν τὴν γῆν, οὐδενὸς ἐπεξιόντος. ἦν γάρ τι καὶ στασιασμοῦ ἐν τῇ πόλει. Οἱ δὲ τριακόσιοι τῶν Σκιωναίων τῆς ἐπιούσης νυκτὸς ἀπεχώρησαν ἐπ' οἴκου. Καὶ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ Νικίας μὲν, τῷ ἡμίσει τοῦ στρατοῦ προϊὼν ἅμα ἐς τὰ μεθόρια, τῶν Σκιωναίων τὴν γῆν ἐδῄου· Νικόστρατος δὲ τοῖς λοιποῖς κατὰ τὰς ἄνω πύλας, ᾗ ἐπὶ Ποτιδαίας ἔρχονται, προσεκάθητο τῇ πόλει. Ὁ δὲ Πολυδαμίδας (ἔτυχε γὰρ ταύτῃ τοῖς Μενδαίοις καὶ ἐπικούροις ἐντὸς τοῦ τείχους τὰ ὅπλα κείμενα,) διατάσσει τε ὡς ἐς μάχην, καὶ παρῄνει τοῖς Μενδαίοις ἐπεξιέναι. Καί τινος αὐτῷ τῶν ἀπὸ τοῦ δήμου ἀντειπόντος κατὰ τὸ στασιωτικὸν, ὅτι οὐκ ἐπέξεισιν, οὐδὲ δέοιτο πολεμεῖν, καὶ, ὡς ἀντεῖπεν, ἐπισπασθέντος τε τῇ χειρὶ ὑπ' αὐτοῦ, καὶ θορυβηθέντος, ὁ δῆμος, εὐθὺς ἀναλαβὼν τὰ

noctu ſe recipiunt in urbem. 130. Tandem tumultu in urbe orto, Athenienſes irrumpunt, et urbem, tamquam vi captam, diripiunt; acropolin autem, ab adver-

130. ἐδῄουν τὴν γῆν. Perperam Schol. intelligit Scionen. Nondum enim appropinquarant Scionae, quod poſtea demum factum eſſe diſerte narratur in ſequentibus. τὸ πρὸς Σκιώνης, i. e. illam Mendae partem, quae eſt verſus Scionen, cui oppoſita eſt altera, ᾗ ἐπὶ Ποτιδαίας ἔρχονται.
- τὰ ὅπλα κείμενα, armatorum praeſidia ibi forte conſtituta erant. — κατὰ τὸ στασιωτικόν, quemadmodum in ſeditionibus fieri ſolet. Idem vocabulum legitur 8, 92. Πολλῶν καὶ στασιωτικῶν λόγων καὶ ὑποψιῶν προσγενομένων. — θορυβηθέντος poſſis abſolute dictum accipere: „cum tumultus ortus eſſet ſuper hac violentia." Praecedens τέ ante τῇ χειρὶ omittunt certe Caſſ. Aug.

ὅπλα, περιοργὴς ἐχώρει ἐπί τε Πελοποννησίους, καὶ τοὺς τὰ ἐναντία σφίσι μετ᾽ αὐτῶν πράξαντας. Καὶ προσπεσόντες, τρέπουσιν, ἅμα μὲν μάχῃ αἰφνιδίῳ, ἅμα δέ, τοῖς Ἀθηναίοις τῶν πυλῶν ἀνοιγομένων, φοβηθέντων. ᾠήθησαν γὰρ ἀπὸ προειρημένου τινὸς αὐτοῖς τὴν ἐπιχείρησιν γενέσθαι. Καὶ οἱ μὲν ἐς τὴν ἀκρόπολιν, ὅσοι μὴ αὐτίκα διεφθάρησαν, κατέφυγον, ἥνπερ καὶ τὸ πρότερον αὐτοὶ εἶχον· οἱ δὲ Ἀθηναῖοι (ἤδη γὰρ καὶ ὁ Νικίας, ἐπαναστρέψας, πρὸς τῇ πόλει ἦν) ἐσπεσόντες ἐς τὴν Μένδην πόλιν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρατιᾷ, ὡς κατὰ κράτος ἑλόντες, διήρπασαν. καὶ μόλις οἱ στρατηγοὶ κατέσχον, ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθείρεσθαι. Καὶ τοὺς μὲν Μενδαίους μετὰ ταῦτα πολιτεύειν ἐκέλευον, ὥσπερ εἰώθεσαν, αὐτοὺς κρίναντας ἐν σφίσιν αὐτοῖς, εἴ τινας ἡγοῦνται αἰτίους εἶναι τῆς ἀποστάσεως. τοὺς δ᾽ ἐν τῇ ἀκροπόλει ἀπετείχισαν ἑκατέρωθεν τείχει ἐς θάλασσαν, καὶ φυλακὴν ἐπεκαθίσαντο. Ἐπειδὴ δὲ τὰ περὶ τὴν Μένδην κατέσχον, ἐπὶ τὴν Σκιώνην ἐχώρουν.

131. Οἱ δέ, ἀντεπεξελθόντες, αὐτοὶ καὶ Πελοποννήσιοι, ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς

ſariis occupatam, circumvallant. 131. Quo facto

περιοργής. Vulgo περὶ ὀργῆς. Illud exhibent codd. Marg. Cam. (Baſ.) et quodammodo Caſſ. Aug., qui habent περιοργῆς. Lectio quorundam codicum ὑπὸ ὀργῆς e Scholio nata. Suidas περιοργής, ὠργισμένος. cf. Ducker. Certiſſimum autem teſtimonium receptae a nobis lectionis attulit Poppo ex Photio (Lex. p. 503.), qui noſtro loco diſerte vindicat περιοργής, ὀργιζόμενος, et comparat περιχαρής.

131. ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ. Hunc verborum ordinem codicum auctoritate recepimus, pro ἐπὶ καρτεροῦ λόφου. Poppo vocem καρτεροῦ e c. 129. repetitam ſuſpicatur, et propter incertam huius vocis ſedem, et quia in tribus codicibus pro ea legitur ὑψηλοῦ, in Gr. utrumque omittatur. Secundum argumentum potius vocabulum tuetur, cum ὑψηλοῦ ſit eius interpretamentum. Cetera per ſe rem non conficiunt, quia nihil frequentius eſt in codd., quam verborum in ſingulis transpoſitiones et omiſſiones. Hoc autem

πόλεως· ὃν εἰ μὴ ἕλοιεν οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις. Προσβαλόντες δ' αὐτῷ κατὰ κράτος οἱ Ἀθηναῖοι, καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπόντας, ἐστρατοπεδεύσαντό τε, καὶ ἐς τὸν περιτειχισμὸν, τροπαῖον στήσαντες, παρεσκευάζοντο. Καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων, οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι, βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν, νυκτὸς ἀφικνοῦνται. Καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ τῇ Σκιώνῃ στρατόπεδον, ἐσῆλθον ἐς αὐτήν.

132. Περιτειχιζομένης δὲ τῆς Σκιώνης, Περδίκκας, τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἐπικηρυκευσάμενος, ὁμολογίαν ποιεῖται πρὸς τοὺς Ἀθηναίους, διὰ τὴν τοῦ Βρασίδου ἔχθραν περὶ τῆς ἐκ τῆς Λύγκου ἀναχωρήσεως, εὐθὺς τότε ἀρξάμενος πράσσειν. Καὶ (ἐτύγχανε γὰρ τότε Ἰσχαγόρας ὁ Λακεδαιμόνιος στρατιὰν μέλλων πεζῇ πορεύσειν ὡς Βρασίδαν) ὁ δὲ Περ-

Scione oppugnatur ab Athenienſibus, quo auxiliarii milites ex acropoli Mendae fuga ſecunda ſe recipiunt. 132. Pactione facta inter Perdiccam et Athenienſes, ille

loco ſequentia quoque vocem καρτεροῦ defendere videntur.

καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπόντας. Recepi Popponis emendationem ἐπόντας pro vulgato ἐπιόντας. Qui enim in colle conſederant (ἱδρύθησαν), non ἐπιόντες ſed ἐπόντες videntur eſſe appellandi. Bredovius interpretatur *aggredientes*, Heilmannum corrigens, qui verterat, quaſi legiſſet οἱ ἐπόντες. Fortaſſe lectio ἐπιόντας e cap. 128. orta eſt, ubi in ſimili re recte habet vulgata.

οἱ ἐκ τῆς ἀκροπόλεως — ἐπίκουροι, auxiliarii Peloponneſii, qui in acropolin fugerant. cf. c. 130. De ſtructura hac expoſui ad 2, 83. — τὴν φυλακήν, int. Athenienſium, circa Mendae acropolin. — διαφυγόντες — στρατόπεδον, fuga praeterlapſi exercitum Scionen obſidentem. Nondum enim urbs circumcirca circumvallata erat, ſed ſtationibus tantum, vel praeſidiis cincta.

132. καὶ (ἐτύγχανε γὰρ — Βρασίδαν) ὁ δὲ Περδίκκας. Huius loci interpunctionem docuit Poppo, quem ſecutus ſum. Particulam γάρ ei vocabulo, quod explicatur, praemiſſam ſaepiſſime invenies apud Thucydidem et Herodotum. Cf. 3, 70. 107. 4, 67. Quod ſequitur δέ in verbis ὁ δὲ Περδίκκας, id anſam quidem perverſae diſtinctionis dedit, ſed poſt parentheſin vel bre-

δίκκας, ἅμα μὲν κελεύοντος τοῦ Νικίου, ἐπειδὴ ξυνεβεβήκει, ἔνδηλόν τι ποιεῖν τοῖς Ἀθηναίοις βεβαιότητος πέρι, ἅμα δ᾽ αὐτὸς οὐκέτι βουλόμενος Πελοποννησίους ἐς τὴν αὐτοῦ ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν Θεσσαλίᾳ ξένους, χρώμενος ἀεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα καὶ τὴν παρασκευὴν, ὥςτε μηδὲ πειρᾶσθαι Θεσσαλῶν. Ἰσχαγόρας μέντοι, καὶ Ἀμεινίας, καὶ Ἀριστεὺς, αὐτοί τε ὡς Βρασίδαν ἀφίκοντο, ἐπιδεῖν πεμψάντων Λακεδαιμονίων τὰ πράγματα, καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας ἐξῆγον ἐκ Σπάρτης, ὥςτε τῶν πόλεων ἄρχοντας καθιστάναι, καὶ μὴ τοῖς ἐντυχοῦσιν ἐπιτρέπειν. Καὶ Κλεαρίδαν μὲν τὸν Κλεωνύμου καθίστησιν ἐν Ἀμφιπόλει, Ἐπιτελίδαν δὲ τὸν Ἡγησάνδρου ἐν Τορώνῃ.

133. Ἐν δὲ τῷ αὐτῷ θέρει Θηβαῖοι Θεσπιέων τεῖχος περιεῖλον, ἐπικαλέσαντες Ἀττικισμὸν, βουλόμενοι μὲν καὶ ἀεὶ, παρεστηκὸς δὲ ῥᾷον, ἐπειδὴ καὶ ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ ὅ, τι ἦν αὐτῶν ἄνθος ἀπολώλει. Καὶ ὁ νεὼς τῆς Ἥρας τοῦ αὐτοῦ θέρους ἐν Ἄργει κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα, καὶ ἐπικαταδαρ-

per amicos ſuos in Theſſalia efficit, ut exercitus Lacedaemoniorum, Braſidae ſubmittendus, arceatur. 133. Thebani diruunt Theſpienſium muros. Iunonis

viorem, vel longiorem non raro adiicitur. Plato Apol. 20. τούτου δὲ τὸ πᾶν μέλει et 28. ταῦτα δ᾽ ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. Etiam voculae καὶ γάρ, quae, verbo ἐτύγχανε ſecreto, ex vulgatae interpunctionis ratione iungendae eſſent, cum per linguae uſum distrahi nequeant, vulgatam diſtinctionem ſalſam eſſe arguunt.

καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας ἐξῆγον. Contra leges Spartanorum hoc dicit factum, propterea quod iuniores erant, quam quibus magiſtratus committerentur. Cf. Schol.

133. παρεστηκός. Cf. ad c. 106. — ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ, v. ſupra c. 96.

ἐν Ἄργει, non in urbe Argis, ſed in eius regione. Quadraginta enim ſtadia aberat ab Argis hoc templum, decem a Mycenis, ut Strabo p. 368. teſtatur. Cf. ad 5, 18.

θούσης· ὥστε ἔλαθεν ἀφθέντα πάντα, καὶ καταφλεχθέντα. Καὶ ἡ Χρυσὶς μὲν εὐθὺς τῆς νυκτὸς, δείσασα τοὺς Ἀργείους, ἐς Φλιοῦντα φεύγει· οἱ δὲ ἄλλην ἱέρειαν ἐκ τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο, Φαεινίδα ὄνομα. Ἔτη δὲ Χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ, καὶ ἔνατον ἐκ μέσου, ὅτε ἐπεφεύγει. Καὶ ἡ Σκιώνη τοῦ θέρους ἤδη τελευτῶντος περιετετείχιστό τε παντελῶς, καὶ οἱ Ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ.

134. Ἐν δὲ τῷ ἐπιόντι χειμῶνι τὰ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων ἡσύχαζε διὰ τὴν ἐκεχειρίαν. Μαντινεῖς δὲ καὶ Τεγεᾶται, καὶ οἱ ξύμμαχοι ἑκατέρων ξυνέβαλον ἐν Λαοδικίῳ τῆς Ὀρεστίδος· καὶ νίκη ἀμφιδήριτος ἐγένετο. Κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτοὺς, τροπαῖά τε ἀμφότεροι ἔστησαν, καὶ σκῦλα ἐς Δελφοὺς ἀπέπεμψαν. Διαφθαρέντων μέντοι πολλῶν ἑκατέροις, καὶ ἀγχωμάλου τῆς μάχης γενομένης, καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον, οἱ Τεγεᾶται μὲν ἐπηυλίσαντό τε, καὶ εὐθὺς ἔστησαν τροπαῖον· Μαντινεῖς δὲ ἀπεχώρησάν τε ἐς Βουκολίωνα, καὶ ὕστερον ἀντέστησαν.

135. Ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ Βρασίδας τελευτῶντος, καὶ πρὸς ἔαρ ἤδη, Ποτιδαίας.

Argivae templum incendio deletum negligentia Chryſidis ſacerdotis. 134. Bellum inter Mantinenſes et Tegeatas ancipiti proelio conficitur. 135. Braſidas Poti-

134. *ἐν Λαοδικίῳ.* Ita exhibent praeſtantiſſimi codices Cl. Reg. Gr. Caſſ. Aug. Et Polyb. 2, 51. ſcribit *ἡττήθησαν ἐν τοῖς Λαοδικίοις καλουμένοις τῆς Μεγαλοπολίτιδος.* Quare cum Duckero hanc lectionem vulgatae *ἐν Λαοδικείᾳ* praetuli, quod librariis multo familiarius vocabulum eſt. Supplendum *πεδίῳ*, et notandum, dimidiam Megalopoleos partem *Ὀρεστίαν* vocatam eſſe, auctore Stephano. Vid. Duck.

κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτούς. Haud dubie ita utrorumque acies conſtitutae erant, ut copiae auxiliariae ſociorum non inter ſe, ſed alterae cum Mantinenſibus, alterae cum Tegeatis confligerent. Cf. ſupra c. 96.

Προσελθὼν γὰρ νυκτὸς, καὶ κλίμακα προσθεὶς, μέχρι μὲν τούτου ἔλαθε· (τοῦ γὰρ κώδωνος παρενεχθέντος, οὕτως ἐς τὸ διάκενον, πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτὸν, ἡ πρόσθεσις ἐγένετο·) ἔπειτα μέντοι, εὐθὺς αἰσθομένων, πρὶν προσβῆναι, ἀπήγαγε πάλιν κατὰ τάχος τὴν στρατιὰν, καὶ οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι. Καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἔννατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

daeam nocturno impetu capere tentat; ſed abſiſtit a conatu et repente reducit exercitum. Finis anni noni.

135. *κώδωνος παρενεχθέντος.* *Κώδων*, tintinnabulum, circumferebatur noctu, ut cuſtodes ad vigilantiam excitarentur. Cuſtos autem cuſtodi tradebat, ita ut, altero ad ſuam ſtationem revertente, altero ad proximam progrediente ad tintinnabulum reddendum, longius eo tempore muri intervallum cuſtode vacuum eſſet, donec miles in ſuam ſtationem revertiſſet. Bredovius non tintinnabulum, ſed *tubam* intelligendam eſſe contendit, quia Schol., licet aliud agens, Sophoclis locum comparet (Aiace v. 17.) *χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.*

CORRIGENDA.

I. In Textu.

Pag. 41 lin. 11 legend. παραγίγνονται pro παραγίν.
— 81 — 10 posterior lineola delenda.
— 99 — 15 } signa, quibus verba aliorum notantur, del.
— 103 — 10 }
— 106 — 11 leg. κατεστρέψαντο pro κατεστέψ.
— 110 — 21 leg. ξυμφέροιεν pro ξυμμέροιεν.
— 117 — 12 signum, quo finis orationis notatur, del.
— 135 — 9 leg. ἄλλα τε pro ἄλλά, τε, commate deleto.
— 149 — 10 deest lineola ante Τοῦ δὲ Μηδ.
— 156 — 16 post βοηθεῖν colon sit pro puncto.
— 166 — 19 leg. ἐποιοῦντο pro ἐποιοῦτο.
— 170 — 12 del. comma post εἰρήνῃ.
— 183 — 20 post τετραμμένον punctum sit pro commate.
— 187 — 11 leg. δεξιᾷ pro δεξιῇ.
— 201 — 7 del. colon post προγόνων.
— — — 8 leg. τῷ pro τῶ.
— 207 — 1 leg. ξυμφέροντος pro ξυμφέροντες.
— 217 — 11 leg. ἀκράτου pro ἀκράτυ.
— 235 — 12 ante ἐπ' οἶκον excidit ἀπέπλευσαν.
— 257 — 9 leg. σημήνῃ pro σημήνη.
— 277 — 5 leg. ἐπιόντος pro ἐπιόντες.
— 313 — 6 leg. προσχὼν pro προσχών.
— 322 — 11 leg. ἢ pro ἦν.
— 328 — 1 leg. τῷ pro τῳ.
— 362 — 9 leg. κινήσει pro κικήσει.
— 366 — 9 leg. ἀναλοῦντο pro ἀνηλ.
— 383 — 22 leg. ποδώκεις pro ποθωκ.
— 412 — 19 leg. προσχεῖν pro προσ;χεῖν.
— 447 — 7 leg. ἐσκύλευον pro ἐσχύλ.
— 474 — 10 leg. πῃ pro πη (et aliquoties alibi).
— 494 — 15 leg. ἐς pro εἰς, (item p. 515 lin. 10).
— 499 — 12 leg. προσέμιξεν pro προσέμιξιν.
— 507 — 5 leg. ἐσεσιδήρωντο pro ἐσεσιδ.
— 529 — 11 leg. ἀποπειρᾶσαι pro ἀποπειράσαι.

II. In Summariis.

Pag. 64 leg. *diruerent* pro diruerunt.
— 110 — *Eïum* pro Eïam.
— 165 et 198 leg. *hiemem* pro hiemen.
— 240 — *Chalcidicen* pro Chalcidicem.
— 252 — *ferant* pro ferunt.
— 424 — *Messenam* pro Messanam (et alibi).
— 364 — *suos* pro suas.

III. In Notis.

Pag. 16 Col. 2 lin. 26 leg. 6, 54 pro 4, 54.
— 32 — 1 — 16 leg. *vice* pro vico.
— 41 — 1 — 12 leg. εἰ, ἦν pro εἰ ἦν.
— 44 — 1 — 3 deest *post* ante ἀλλοτρίοις

Pag.	76	Col. 1	lin. 29	leg. *Lacedaemonios* pro Lacedaemoniis.
—	82	— 1	— 5	leg. *πλειόνων* pro *πλεώνιων*.
—	83	— 2	— 10	leg. *involvit* pro involvi.
—	89	— 2	— 4	leg. *numquam πλέους, rarius πλέω*.
—	112	— 1	— 14	leg. *rurſus* pro curſus.
—	151	— 1	— 10 et 11	leg. *ἀσθενέστερος* pro *ἀσθενέσθερος*.
—	160	— 2	— 7	leg. *conveniebant* pro convenieunt.
—	168	— 1	— 13	leg. *ad* pro *ab*.
—	—	— 2	— 15	leg. *quae* pro qui.
—	169	— 2	— 1	excidit *quae* ante *ſane*.
—	172	— 1	— 16	leg. *Qua* pro quam.
—	174	— 2	— 15	excidit *ut* ante *curem*.
—	—	— —	— 18	poſt *putem* punctum ſit pro colo.
—	190	— 2	— 8	leg. *eundem* pro eandem.
—	200	— 1	— 5	leg. *ἀνῃρῆσθαι* pro *ἀνῃρ*.
—	—	— 2	— 14	leg. *earum* pro eorum.
—	212	— 2	— 11	leg. *ad* pro at.
—	221	— 2	— 33	leg. *apponere* pro opponere.
—	263	— 1	— 6	poſt *καὶ* comma ſit, et poſt *quamquam* inſeratur *id*.
—	—	— —	— 12	leg. *τι* pro *τε*.
—	274	— 2	— 1	leg. *Κόλχοι* pro *Κόλλοι*.
—	287	— 1	— 15	leg. *Athenas* pro Athenos.
—	302	— 1	— 9	leg. *ἐχρῆν* pro *ἔχρῃ*.
—	305	— 2	— 7	primum parentheſeos ſignum ſit ante *τῆς διαβάσεως*.
—	306	— 2	— 13	del. punctum poſt *κεφαλαί*.
—	313	— 1	— 17	leg. *Μιτυληναίοις* pro *Μιτυληναίους*.
—	326	— 1	— 4	leg. 38 pro 35.
—	335	— 2	— 28	ut *τῆς δευτέρας* ſuam vim retineat, refer *μὴ* non ſolum ad *εὕρωσι*, ſed etiam ad *φθασάσῃς*. Vid. ad 1, 141.
—	357	— 2	— 18	leg. *transponendam* pro transponendum.
—	380	— 2	— 1	leg. *tum* pro cum
—	391	— 1	— 11	leg. *Maxime* pro Maximae.
—	—	— —	— 16	leg. *eam ſitam* pro eum ſitum.
—	406	— 1	— 14	monendum erat, hanc *Eïonem* diverſam eſſe ab Eïone ad Strymonis oſtium ſita, quae ſemper erat Athenienſium. Vid. Index.
—	420	— 1	— 2	leg. *quoad* pro quod.
—	428	— 2	— 8	Sanum puto locum, cui ſimillimus exſtat 4, 39 init. *χρόνος δὲ ὁ ξύμπας ἐγένετο — ἑβδομήκοντα ἡμέραι καὶ δύο*. Cf. ad 4, 102.
—	436	— 2	— 17	deeſt comma poſt *tantum*.
—	445	— 2	— 17	leg. *codd.* et in ſeq. *habent*.
—	451	— 2	— 25	leg. *iugulis* pro ingulis.
—	457	— 1	— 13	leg. *compoſitio* pro compoſito.
—	464	— 2	— 21	leg. *Verbi pluralem* pro Neutrum pluralis.
—	471	— 1	— 26	leg. *intervallum* pro inervallum.
—	487	— 2	— 15	leg. *et Callicratidas* pro cum Call.
—	500	— 1	— 14	leg. *quinque et viginti* pro quinquaginta.

Saepius minus accurate ſ pro s poſitum.